Ἀλλ' ἴσως εἶναι πιθανώτερον ἄλλο τοῦτο. Γνωστὸν εἶναι εἰς τοὺς ἐπιστήμονας τῆς φυσικῆς ἱστορίας, ὅτι πολλὰ ζῶα τῆς θαλάσσης εἶναι ὁμώνυμα μὲ πολλὰ χερσαῖα ἢ πτηνὰ ἄλλα· ἤγουν εὑρίσκονται καὶ εἰς τὴν θάλασσαν ζῶα ὀνομαζόμενα Ἀ ε τ ό ς, Ἀ λ ώ π η ξ, Β ο ῦ ς κ. τ. λ. ὡς καὶ εἰς τὴν γῆν. Ἐξ αὐτῶν τινὰ ἔχουσι καὶ δύο, ἢ καὶ περισσότερα ὀνόματα, κατὰ τοὺς διαφόρους τόπους, εἰς τοὺς ὁποίους ὀψαρεύονται. Τούτων

(1) Ἴδε Σχολ. Ἀριστοφάν. Εἰρήν. 81, καὶ Σουΐδ. λέξ. Κάνθαρος.

εἶναι καὶ ὁ ἰχθὺς ὁ ἀπὸ τοὺς παλαιοὺς ὀνομαζόμενος Ὄνος, ἢ Ὀνίσκος, ἢ Γάδος (1), τὸν ὁποῖον οἱ νεώτεροι τῆς φυσικῆς ἱστορίας συγγραφεῖς ἀκόμη καθαρὰ δὲν ἐξήγησαν τίς τῶν σήμερον γνωστῶν ἰχθύων εἶναι. Ὅστις ἂν ἦναι, ἐὰν ὁ θαλάσσιος ὄνος ἦσαν μέρη τῆς Ἑλλάδος ὅπου ὠνομάζετο Γάδος, τί παράδοξον ἐὰν καὶ ὁ χερσαῖος ὄνος, ἔφερε καὶ τὄνομα τοῦ Γάδου, ἀπὸ τὸ ὁποῖον ἐγεννήθη τῆς γλώσσης ἡμῶν τὸ Γάδαρος; Αὐξάνει τὴν πιθανότητα ταύτην καὶ τὄνομα Γαϊδαρόψαρον, τὸ ὁποῖον εἰς τὴν Κρήτην δίδουσιν εἰς τὸν θαλάσσιον Ὄνον ἢ Γάδον, κατὰ τὴν μαρτυρίαν τοῦ ἰατροῦ Βελῶνος (2).

---

(1) Ἀθην. βιβλ. ζ', σελ. 315. "Διαφέρει δὲ ὄνος ὀνίσκου, ὥς φησι » Δωρίων ἐν τῷ περὶ ἰχθύων, γράφων οὕτως· Ὄνος, ὃν καλέουσί τινες Γάδον. Γαλλερίδας, ὃν καλέουσί τινες Ὀνίσκον τε καὶ » Μάξεινον.» Φαίνεται ὅμως ὅτι ἦσαν τοῦ αὐτοῦ γένους δύο εἴδη διάφορα, τοῦ Γάδου, τοῦ ὀνομαζομένου σήμερον Cabillaud ἢ Bacaliau. Ἴδ. Σνεΐδέρ. Λεξικὸν, λέξ. Ὀνίσκος καὶ Ὄνος. Ἀπὸ τὸ Bacaliau, ὠνομάσθη εἰς ἡμᾶς ὁ ταριχοπώλης Βακάλιος, ἢ Βακάλις.

(2) Observations par Pierre Belon, liv. 1, chap. 3, pag. 10. Τὸ ὀνομάζει Γαϊδαρόψαρο, ἐπειδὴ πολλοὶ εἰς ἡμᾶς ἀντὶ τοῦ Γάδαρος, γράφουν καὶ προφέρουν Γαΐδαρος. Τοῦτο, ἂν δὲν ἦναι πλάσμα τῶν Γραμματικῶν, ἔδωκε κἂν ἀφορμὴν εἰς αὐτοὺς νὰ πλάσωσι τὴν ἐτυμολογίαν τοῦ ὀνόματος τοῦ ζώου, "Ἀείδαρος, διὰ τὸ ἀεὶ » δέρεσθαι», ἐτυμολογίαν ἐπίσης ἄλογον, ὡς εἶναι κ' ἐκείνη τοῦ "Γάδα-» ρος, ἀπὸ τοῦ τὴν γῆν δέρειν τοῖς πολλοῖς μόχθοις καὶ κόποις». Ἴδε Δουκάγγιον, Τόμ. Α, σελ. 28.

Τὸ θηλυκὸν ὅμως τοῦ Γάδαρος εἶναι Γαδάρα, καὶ Γαδούρα, τὸ οὐδέτερον, Γαδούριον, τὸ σύνθετον μὲ τὸ Ἐλαύνω, Γαδουρελάτης (χυδ. Γαδουρολάτης), καὶ τὸ παράγωγον ῥῆμα Γαδουρίζω. Ἀπὸ ταῦτα φαίνεται, ὅτι ἦτο ποτὲ καὶ Γάδουρος ἢ Γαδοῦρος, ἀρσενικῶς, τὸ ὁποῖον σήμερον εἶναι ἄχρηστον.

Ὁ διὰ τῆς διφθόγγου σχηματισμὸς οὗτος γεννᾷ ὑποψίαν εὔλογον μὴν ἦναι ὁ Γάδουρος σύνθετον ὄνομα ἀπὸ τὸ Γάδος καὶ τὸ Οὖρος, ἢ Οὐρεὺς (1), τὸ ὁποῖον εἰς τὸν Ὅμηρον,

Οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργοὺς (2),

οἱ σχολιασταὶ ἐξήγησαν διὰ τοῦ Ἡμίονος. Δὲν εἶναι παράξενον ἂν ὠνομάσθησαν καταρχὰς ἀπὸ τοὺς Ἕλληνας, διὰ τὴν ἄγνοιαν τῆς φυσικῆς ἱςορίας (τὸ ὁποῖον συνέβη καὶ εἰς ἄλλα ζῶα), καὶ ὁ Ὄνος καὶ ὁ Ἡμίονος ἀδιαφόρως Γάδος· ἔπειτα μὲ τὸν καιρὸν ἂν ἔλαβεν ὁ Ὄνος τὄνομα Γάδος οὖρος (3), καὶ συνθέτως Γάδουρος, εἰς διάκρισιν τοῦ Ἡμιόνου, ὡς καὶ τὸ ἄγριον βῴδιον ὠνομάσθη, Βοῦς οὖρος,

. . . . . . . . . . . . . Καὶ βοὸς οὔρου
Ἀσκητὸν χρυσῷ παμφανόωντι κέρας (4).

---

(1) Ὡς Ἡνίοχος Ἡνιοχεύς, Υἱὸς Υἱεύς, Ὑδροχόος Ὑδροχοεύς, Πατροφόνος Πατροφονεύς. Ἴδε τὸν Εὐςάθιον εἰς τὴν Κ ῥαψῳδ. τῆς Ἰλιάδ. σελ. 791.

(2) Ἰλιάδ. Α, 50.

(3) Ἂν καὶ τοῦτο ἅρμοζε πλέον εἰς τὸν ἡμίονον παρὰ εἰς τὸν Ὄνον.

(4) Ἀναλέκτ. Βρυγκ. Τόμ. Β, σελ. 285.

Ἀρκοῦν τοσαῦτα περὶ τῆς ἀμφιβόλου ἐτυμολογίας τοῦ ὀνόματος τοῦ Γαδάρου.

Γάδαρος φορτωμένος χρυσίον. Φράσις παροιμιώδης, σημαίνουσα πλούσιον, ὅςις παρὰ τὸν πλοῦτον ἄλλο τί καλὸν ἀπὸ παιδείαν ἢ ἀρετὴν δὲν ἔχει. Ἡ προσαρμογή της ὅμως δὲν εἶναι τόσον ἀκριβής. Ὁ φορτωμένος γάδαρος, ἂν αὐτὸς δὲν ὠφελῆται ἀπὸ τὸ φορτίον του, ὠφελεῖ κἂν τοὺς ἀνθρώπους μεταφέρων ἀπὸ τόπον εἰς τόπον τὰ εἰς αὐτοὺς ἀναγκαῖα ἢ χρήσιμα· ὁ δὲ γυμνὸς ἀπ' ἀρετὴν πλούσιος φέρει τὸν πλοῦτον βάρος ἀνωφελέςατον καὶ εἰς ἑαυτὸν καὶ εἰς τοὺς συμπολίτας του. Εἰς τοιοῦτον λοιπὸν ἄθλιον ἄνθρωπον, ὅταν μάλιςα μὲ τὸ φορτίον τοῦ πλούτου φέρῃ συμφορτωμένην καὶ κενοδοξίαν καὶ καταφρόνησιν τῶν ὅσους ἡ τύχη δὲν ἐφόρτωσε χρυσίον, τί ὄνομα πρέπει; Γάδαρον νὰ τὸν ὀνομάσω δὲν τολμῶ, φοβούμενος μὴν ἀδικήσω τὸ ταλαίπωρον τοῦτο ζῶον.

Ἀπορίας ἄξιον εἶναι τί ἐσυλλογίζετο ὁ Πίνδαρος, ὅταν διηγούμενος τὰς ὁποίας οἱ Ὑπερβόρειοι ἐθυσίαζον εἰς τὸν Ἀπόλλωνα Γαδάρων ἑκατόμβας (1), ἔλεγεν, ὅτι ἐνῷ τὰ ταλαίπωρα ταῦτα ζῶα ἐσφάζοντο, ὁ Ἀπόλλων αἰσθάνετο τόσην ἡδονὴν εἰς τὰ σκιρτήματα καὶ τοὺς ὀγκανισμούς των, ὥςε δὲν ἐμπόρει νὰ κρατήσῃ τὰ γέλια·

Εὕροις ἂν ἐς Ὑπερβορέων ἀγῶ-
    να θαυμαστὰν ὁδόν·
Παρ' οἷς ποτε Περσεὺς
Ἐδαίσατο λαγέτας, δώματ' ἐσελθών,

(1) Ἤγουν ἑκατὸν γαδάρους τὴν φοράν.

Κλειτὰς ὄνων ἑκατόμβας
Ἐπιτόσσαις θεῷ
Ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
Εὐφαμίαις τε μάλιςʼ Ἀπόλλων
Χαίρει, γελᾷ θʼ ὁρῶν ὕβριν
Ὀρθιᾶν κνωδάλων (1).

Τοῦτο ἐσκανδάλισε τοὺς παλαιοὺς κριτικοὺς ὡς βωμολοχικὸν, ὡς ἄσεμνον, ὡς ἀνάξιον καὶ τοῦ θεοῦ, ἀνάξιον καὶ τοῦ διηγουμένου ποιητοῦ (2). Ἀλλʼ εἶναι τάχα βωμολοχία, ὡς ἐνόμισαν οἱ κριτικοὶ, ἢ κρύπτεται ἴσως εἰς τὴν παράξενον ταύτην διήγησιν εὐφυὴς καὶ νόςιμος ἀλληγορία, μὲ τὴν ὁποίαν ὁ Θηβαῖος Πίνδαρος ἠθέλησε νὰ ἐλέγξῃ τῶν συμπολιτῶν αὐτοῦ τὴν ἀπαιδευσίαν;

Τὸ πρὸς τὴν παιδείαν καὶ τὴν φιλοσοφίαν μῖσος τῶν Θηβαίων, καὶ ἁπλῶς ὅλων τῶν Βοιωτῶν, ἦτο τόσον πολὺ, ὥςε ἔδωκεν ἀφορμὴν εἰς τὴν γνωςὴν εἰς ὅλους παροιμίαν ταύτην, Σῦς Βοιωτία, ἤγουν Γουρούνιον τῆς Βοιωτίας. Τοῦτο τὄνομα ἔδιδαν οἱ ἄλλοι Ἕλληνες εἰς τοὺς μισητὰς τῆς παιδείας· καὶ δικαίως. Ἐνόσῳ οἱ Ἀθηναῖοι ἐγύμναζαν τὸ λογικὸν μέρος τῆς ψυχῆς αὐτῶν διὰ τῆς καθημερινῆς μὲ ποιητὰς,

(1) Πινδάρ. Πυθ. ί, 47-56. Ἴδε καὶ Ἀντων. Λιβεράλ. Μεταμορφώσ. κ´.

(2) Εἰς τὸν σχολιαςὴν τοῦ Πινδάρου, ἄλλος ἀρχαιότερος σχολιαστὴς, ὁ Δίδυμος, λέγει, " Ταῦτα μετὰ τοῦ γελοίου καὶ ἄσεμνά ἐςι· τίνα γὰρ » λόγον ἂν ἔχοι ἥδεσθαι τὸν Ἀπόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις; ".

μὲ ῥήτορας, μὲ φιλοσόφους ἀναστροφῆς, εἰς βραχυλογίαν, διὰ τῆς θεωρίας τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν, ὡς ἄνθρωποι, οἱ καλοί σου Θηβαῖοι ἐξόδευαν τὸν καιρὸν εἰς τὰ συμπόσια, ἐπάχυναν τὸ σῶμα των, ὡς χοῖροι, καὶ ἔκτιζαν ὅλην αὐτῶν τὴν εὐδαιμονίαν εἰς τὰ σαθρὰ τῆς ἀσωτίας θεμέλια. Τοιούτους χοίρους τοιοῦτοι ἄνθρωποι, ὁποῖοι ἦσαν οἱ Ἀθηναῖοι, φυσικὰ ἔπρεπε νὰ τοὺς καταφρονῶσιν· ὅθεν καὶ συχνὰ τοὺς ἐκωμῴδουν εἰς τὰ θέατρα, ὡς πολυφάγους, ὡς πολυπότας, ὡς τοιούτους, οἱ ὁποῖοι ἐγέμιζαν τόσον πολλὰ τὴν κοιλίαν, ὥστ' ἀναγκάζοντο νὰ ἔχωσι σιμὰ τῆς τραπέζης καὶ τὴν πόρευσιν διὰ τὰς συχνὰς τῆς κοιλίας κενώσεις·

*Μετὰ ταῦτα Θήβας ἦλθον· οὗ τὴν νύχθ' ὅλην*
*Τήν θ' ἡμέραν δειπνοῦσι, καὶ κοπρῶν' ἔχει*
*Ἐπὶ ταῖς θύραις ἕκαστος· οὗ πλήρει βροτῷ*
*Οὐκ ἔστι μεῖζον ἀγαθόν. Ὡς χεζητιῶν*
*Μακρὰν βαδίζων, πολλὰ δ' ἐσθίων ἀνὴρ,*
*Δάκνων τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν* (1).

---

(1) Εὔβουλος ὁ Κωμικὸς παρ' Ἀθην. *βιβλ. ι, σελ.* 417. *Ὅλων σχεδὸν τῶν ἀπαιδεύτων ἐθνῶν, ἂν παρατηρήσῃς, ἡ εὐδαιμονία στηρίζεται εἰς τὴν τρυφήν. Συμπόσια, ἑορταὶ, στολισμοὶ, ἐπισκέψεις ἀμοιβαῖαι, καφὲς, γλυκίσματα, μυρίσματα, καπνίσματα, συνομιλίαι καὶ διάλογοι, εἰς τοὺς ὁποίους μήτ' ὁ λέγων, τί λέγει, μήτ' ὁ ἀκούων, τί ἀκούει, δὲν καταλαμβάνει.* Εἰς *ἀπὸ τοιαῦτα σώματα παχέα καὶ λαμπροφορημένα, καὶ ψυχάρια γυμνὰ καὶ κατάξηρα, κατοικημένην* Χοιρόπολιν *ὑπόθεσε καὶ* Θηβαίους *χοιροβοσκοὺς τρεῖς, ἢ τέσσαρας, ἐπαγγελλομένους γνῶσιν ἀπὸ τὰ χοιρίδια περισσοτέραν, καὶ θέλεις ἰδεῖν κατὰ τῶν φίλων τῆς σοφίας (ἂν εὑρίσκωνται τοιοῦτοι τινὲς εἰς αὐτὴν) πόλεμον ἄσπονδον.*

Ἀπὸ

Ἀπὸ τἄλλο μέρος οἱ Θηβαῖοι ἔπρεπε καὶ αὐτοὶ φυσικὰ νὰ μισῶσιν ὄχι μόνον τοὺς Ἀθηναίους, ἀλλὰ καὶ ἀπὸ τοὺς συμπολίτας αὐτῶν ὅσοι ἐπαινοῦσαν τὴν σοφίαν τῶν Ἀθηναίων, ὅσοι ἀφίνοντες τὴν πατρίδα ἔτρεχαν εἰς τὰς Ἀθήνας νὰ φωτισθῶσιν (1). Οἱ πένητες Θηβαῖοι, εὐχαριστοῦντο νὰ τοὺς ὀνομάζωσι μωροὺς, μὴ καταλαμβάνοντες οἱ ταλαίπωροι, ὅτι ἡ ἀπαιδευσία ἦτο τῆς πτωχείας αὐτῶν τὸ γονιμώτερον αἴτιον· οἱ λαμπροφόροι καὶ λαμπροτράπεζοι πλούσιοι (2) τοὺς ὠνόμαζαν ἀσεβεῖς, ὑλικοὺς, ἀθέους, καὶ ἄλλα τοιαῦτα φιλάνθρωπα ὀνόματα.

Εἷς ἀπὸ τοὺς ὀλίγους τούτους φωτισμένους ἄνδρας τῶν

---

(1) Τοιοῦτοι ἐστάθησαν ὁ Σιμμίας καὶ ὁ Κέβης οἱ Θηβαῖοι, οἱ χρηματίσαντες εἰς τὰς Ἀθήνας μαθηταὶ τοῦ Σωκράτους. Τοῦ Κέβητος σώζεται ἀκόμη ὁ πολυθρύλλητος Π ί ν α ξ, εἰς τὸν ὁποῖον λάμπει ἡ φιλοσοφία καὶ τοῦ διδασκάλου καὶ τοῦ μαθητοῦ.

(2) Ἂν εὑρίσκεσθε τινὲς μεταξύ μας τοιοῦτοι πλούσιοι, σᾶς παρακαλῶ νὰ ςοχασθῆτε τὸν ἁπλούστατον τοῦτον στοχασμὸν, κἂν ὅταν ἦσθε νηστικοί. Οἱ ἀπὸ σᾶς νομιζόμενοι καὶ ὀνομαζόμενοι ἄθεοι, ἔγιναν τοιοῦτοι διὰ τὴν μὲ τὰ φωτισμένα ἔθνη ἀναστροφήν. Ἀλλὰ ταῦτα, φίλοι, τὰ ἔθνη εἶναι οἱ προστάται σας· χωρὶς αὐτοὺς (τὸ ἐξεύρετε καλὰ) ἠθέλετε ξυλοκοπεῖσθαι καὶ σεῖς καθημέραν, ὡς ξυλοκοποῦνται οἱ πτωχοί σας ἀδελφοί. Διὰ νὰ ἐλευθερώσετε τοὺς ὤμους σας ἀπὸ τῆς μισανθρώπου βαρβαρότητος τοὺς ῥαβδισμοὺς, ἐπροσδράμετε εἰς τὴν προστασίαν τῶν φωτισμένων ἐθνῶν τῆς Εὐρώπης. Τὰ ΒΑΡΑΤΙΑ δὲν σᾶς ἔρχονται ἀπὸ τοὺς ἀγρίους τῆς Ἀφρικῆς, ἀλλ' ἀπὸ τοὺς σοφισμένους Εὐρωπαίους, τοὺς ὁποίους τὰ φῶτα τῶν ἐπιστημῶν ὄχι μόνον ἐλευθέρωσαν, ἀλλὰ κ' ἔκαμαν καλοὺς νὰ ἐλευθερόνωσιν ἄλλους ἀπὸ τὰ ξυλοκοπήματα. Ὄχι, φίλοι! τόσον ἀχάριςοι δὲν εἶσθε σεῖς, ὥςε νὰ ὀνομάζετε ἀθέους τοὺς εὐεργέτας σας.

Θηβῶν ἦτο καὶ ὁ Πίνδαρος. Τοιοῦτος ποιητὴς, στολισμένος μὲ τῆς φύσεως καὶ τῆς παιδείας προτερήματα πολλὰ, ἔπρεπε ν' ἀγαπᾷ καὶ νὰ τιμᾷ τοὺς Ἀθηναίους, εἰς τοὺς ὁποίους ἦτον ἄξιος νὰ γεννηθῇ, καὶ νὰ ταλανίζῃ τοὺς ἀναξίους νὰ τὸν ἔχωσι Θηβαίους. Ἀλλὰ διὰ τοὺς ὁποίους ἔκαμνε συχνοὺς ἐπαίνους τῶν Ἀθηναίων, μὲ σκοπὸν νὰ διεγείρῃ εἰς ζῆλον τοὺς μεθυσμένους συμπολίτας του, οἱ συμπολῖται τὸν ἐζημίωσαν χιλίας δραχμὰς (1), καὶ τὸν ἐκατάτρεξαν μὲ τρόπους ἄλλους πολλούς. Ἐκατάλαβεν ὁ Πίνδαρος ἀπὸ τοῦτο, πόσον κίνδυνον τρέχει ὅστις μεταξὺ μωρῶν τολμᾷ νὰ γίνεται φρόνιμος, καὶ ἀφήσας τοὺς ἐπαίνους τῶν Ἀθηναίων, ἐσπούδαζε νὰ σωφρονίζῃ τοὺς Θηβαίους μὲ τὰς ἀλληγορίας.

Μί' ἀπὸ τὰς ἀλληγορίας ταύτας εἶναι καὶ ἡ, τὴν ὁποίαν κακῶς οἱ κριτικοὶ βωμολοχίαν ἐνόμισαν, περὶ τῆς εἰς τὸν Ἀπόλλωνα ἑκατόμβης τῶν ὄνων διήγησις. Ἐδίδασκε μὲ ταύτην ὁ Πίνδαρος ὅτι εἶναι καιροὶ καὶ περιστάσεις, ὁπόταν ἡ ἀπαιδευσία, χάνουσα πλέον τὴν ἰσχύν της, ἄλλο δὲν προξενεῖ παρὰ γέλωτα εἰς τὴν ὁποίαν θυσιάζεται φιλοσοφίαν, καθὼς καὶ τῶν εἰς τὸν θεὸν τῆς σοφίας Ἀπόλλωνα θυσιαζομένων γαδάρων οἱ ὀγκανισμοὶ καὶ τὰ σκιρτήματα (2).

---

(1) Ἡ ζημία ἔγινεν εἰς τὸν ποιητὴν, διότι ὠνόμασε τὰς Ἀθήνας Ἀοιδίμους, διότι καὶ τὰς εἶπεν Ἔρεισμα τῆς Ἑλλάδος. Ἴδε τὰς περὶ τούτου μαρτυρίας συναθροισμένας εἰς τὴν τελευταίαν ἔκδοσιν τοῦ Πινδάρου Τόμ. Γ, σελ. 74-75.

(2) Τοῦ εἰς τὰς Θήβας κατατρεχομένου Πινδάρου ὁ εἰς τὰς Ἀθήνας κατασκευαζόμενος ἀνδριὰς (Παυσαν. Α, 8), τί ἄλλο ἦτο παρὰ γέ-

Εἰς παρομοίαν περίστασιν εὑρισκόμεθα σήμερον καὶ ἡμεῖς· ἂς ὠφεληθῶμεν ἀπὸ τὴν εὐφυῆ ἀλληγορίαν τοῦ Πινδάρου, καὶ ἂς μὴ δίδωμεν αἰτίαν γέλωτος εἰς τὴν φιλοσοφίαν μιμούμενοι τὴν ὀνικὴν ἀναισθησίαν τῶν Θηβαίων.

Ἐδῶ παύω κατὰ τὸ παρὸν τὰς λεξικὰς σημειώσεις διὰ νὰ εἴπω ὀλίγα τινὰ περὶ τῶν χαλκογραφημένων εἰκόνων τοῦ τρίτου τόμου τοῦ Πλουτάρχου.

Ἡ πρώτη εἰκὼν εἶναι τοῦ Πύῤῥου, περιφήμου βασιλέως τῆς Ἠπείρου, ὅστις σιμὰ τῶν πολλῶν αὐτοῦ στρατηγικῶν προτερημάτων, ἐὰν εἶχε καὶ τὴν φρόνησιν τῶν Ῥωμαίων, καὶ τοὺς Ῥωμαίους ἤθελε κατατροπώσειν, καὶ τὸν ὁποῖον ἑτοιμάζοντο νὰ βάλωσιν ἔπειτα ζυγὸν εἰς τῆς Ἑλλάδος τὸν τράχηλον ἤθελε συντρίψειν.

Ἡ δευτέρα καὶ τρίτη, δύο Ῥωμαίων μιασμένων ἀπὸ τῶν συμπολιτῶν αὐτῶν τὰ αἵματα. Κλαίει ἡ φιλοσοφία, περὶ τοῦ Μαρίου, ὅτι κατεφρόνησε παντάπασι τὴν Ἑλληνικὴν παιδείαν (1), ἥτις ἐδύνατο νὰ μαλάξῃ ἴσως τὸν ἄγριον τῆς ψυχῆς του χαρακτῆρα· περὶ τοῦ Σύλλα, ὅτι ἐπέρασε τὴν νεαρὰν αὐτοῦ ἡλικίαν μὲ γελωτοποιοὺς καὶ μίμους (2), καὶ ὄχι μὲ φρονίμους ἄνδρας, δυνατοὺς νὰ τὸν ἐμποδίσωσι νὰ καταντήσῃ εἰς τόσην θηριωδίαν.

---

λως τοῦ Ἀπόλλωνος διὰ τὰ ὀνικὰ σκιρτήματα τῶν Θηβαίων; Ἐκατάσκαψεν ἀδίκως ἔπειτα τὴν πόλιν ὅλην τῶν Θηβαίων ὁ Ἀλέξανδρος· ἀλλ' ὅμως ἐσεβάσθη τὴν οἰκίαν μόνην τοῦ Πινδάρου (Αἰλ. ποικ. ἱςορ. ΙΓ, ζ´). Δὲν ἦτο καὶ τοῦτο γαδάρων ἀμούσων ἑκατόμβη προσφερομένη εἰς τὸν θεὸν τῆς μουσικῆς Ἀπόλλωνα;

(1) Ἴδε κατωτέρω σελ. 45 - 46.

(2) Ἴδε κατωτέρω σελ. 128.

Ἡ τετάρτη τοῦ Σοφοκλέους. Πρῶτος οὗτος ὁ περίφημος ποιητὴς τῆς Ἑλλάδος ἐτελειοποίησε τὴν τέχνην τῆς τραγικῆς ποιήσεως, ὥστε εἰς αὐτοῦ μόνου τὰς τραγῳδίας εὑρίσκονται τινὲς ἄξιαι νὰ παρασταθῶσι καὶ εἰς τῶν πλέον φωτισμένων ἐθνῶν τὰ σημερινὰ θέατρα (1).

Ἡ πέμπτη εἶναι Ἀσιανοῦ δεσπότου, Μιθριδάτου τοῦ Εὐπάτορος, στολισμένου μὲ παιδείαν Ἑλληνικὴν, ἡ ὁποία ὅμως δὲν ἴσχυσε νὰ τὸν ἐξημερώσῃ. Ἡ αἰτία εἶναι φανερά. Τότε μόνον δείχνει τὴν ἰσχύν της ἡ παιδεία, ὡς τὸ εἶπα πολλάκις, ὅταν στηρίζεται εἰς θεμέλιον καλὸν, τὴν παιδικὴν ἀνατροφὴν, καὶ ὅταν γένῃ τρόπον τινὰ κοινὴ εἰς ἓν ὁλόκληρον ἔθνος. Δὲν ἀρκεῖ νὰ ἦναι τὶς ἥμερος διὰ νὰ φυλάσσῃ τὴν ἡμερότητά του, πρέπει νὰ ἦναι καὶ ἀπὸ ἡμέρους περικυκλωμένος. Τὰ ἀνθρώπινα πάθη τόσον εὔκολα ἐξάπτονται, καὶ πάλιν κοιμίζονται, ἀπὸ τὰ παραδείγματα, ὥστε μήτε τοῦ Σωκράτους τὴν ἡμερότητα νὰ ἐγγυηθῶ ἤθελα τολμήσειν, ἐὰν ἐγεννᾶτο εἰς τὸν Πόντον, μήτε τοῦ Ποντικοῦ βασιλέως Μιθριδάτου τὴν κακίαν ἀθεράπευτον νὰ νομίσω, ἐὰν ἔβλεπε τὸ φῶς εἰς τὰς Ἀθήνας.

---

(1) Πρὸ πολλῶν χρόνων εἶναι γνωστὸς ὁ Φιλοκτήτης τοῦ Σοφοκλέους εἰς τῶν Παρισίων τὸ θέατρον, ἂν καὶ ὄχι ἀκριβῶς μεταφρασμένος. Εἰς τοῦ πρὸ μηνῶν ὀλίγων ἀποθανόντος τραγικοῦ ποιητοῦ τῶν Γάλλων Χενιέρου (Chenier) τὰ χαρτία εὑρέθησαν ἄλλαι δύο τραγῳδίαι μεταφρασμέναι τοῦ Σοφοκλέους, ὁ Οἰδίπους τύραννος, καὶ ὁ Οἰδίπους ἐπὶ Κολωνῷ. Τίς ἤθελε προφητεύσειν εἰς τὸν Σοφοκλέα ὅτι μετὰ σχεδὸν δύο χιλιάδας καὶ διακόσια ἔτη τὸ πλέον φωτισμένον ἔθνος τῆς Εὐρώπης ἔμελλε νὰ καταγίνεται εἰς τῶν τραγῳδιῶν αὐτοῦ τὴν μετάφρασιν;

Ἡ ἕκτη εἶναι τοῦ Εὐριπίδου. Ἄλλος οὗτος τραγικὸς ποιητὴς τῆς Ἑλλάδος, ἔνδοξος εἰς τὸ γένος του δι' ὅσην ἐπροξένησε δόξαν εἰς αὐτό. Ποίαν καὶ πόσην εἶχαν δι' αὐτὸν οἱ Ἕλληνες ὑπόληψιν, ἐφάνη μάλιστα εἰς δύο περιστάσεις, ὅταν ἡ ἀμίμητος γλυκύτης τῶν ᾀσμάτων αὐτοῦ ἔσωσε τοὺς συμπολίτας του (1). Διὰ ταύτην τὴν γλυκύτητα ἔλεγεν ὁ μίαν σχεδὸν ἑκατονταετηρίδα μεταγενέστερός του, Φιλήμων ὁ Κωμικὸς, ὅτι ἤθελε γρηγορεύσειν διὰ τῆς ἀγχόνης τὸ τέλος τῆς ζωῆς του, ἐὰν ἦτο βέβαιος νὰ ἴδῃ τὸν Εὐριπίδην·

> *Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες*
> *Αἴσθησιν εἶχον, ἄνδρες, ὥς φασίν τινες,*
> *'Απηγξάμην ἂν, ὥστ' ἰδεῖν Εὐριπίδην* (2).

Εἰς τὴν γλυκύτητα ταύτην χρεωστοῦν αἱ Γάλλοι τὸν γλυκύτατον αὐτῶν τραγικὸν Ῥακίναν. Εἶναι βέβαιον ὅτι ἡ καθημερινὴ ἀνάγνωσις τοῦ Ἕλληνος τραγικοῦ ἐμελίτωσε τὰς τραγῳδίας τοῦ Ῥακίνα, καὶ ἐκοινώνησεν εἰς ὅλην τὴν γλῶσσαν ἁρμονίαν καὶ ῥυθμὸν ἄγνωστον ἀκόμη τότε εἰς αὐτήν.

Ἡ ἑβδόμη εἰκὼν εἶναι τοῦ Ὀρώδου, βασιλέως τῶν Πάρθων. Πρᾶγμα ἀξιοσημείωτον, χαρᾶς ἄξιον πολλῆς διὰ τοὺς ἐπιθυμοῦντας τὴν ἀνάκτησιν τῆς προγονικῆς ἡμῶν δόξης, καὶ ὄχι ὀλιγωτέρας αἰσχύνης διὰ τοὺς ἐμποδίζοντας αὐτήν· ὁ ὑπερηφάνως ὀνομαζόμενος ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ, βάρβαρος οὗτος δεσπότης, καυχᾶται ὅμως ὡς ΦΙΛΕΛΛΗΝ, καὶ στολίζει μὲ

(1) Ἴδε τὰς σημειώσεις κατωτέρ. σελ. 370.

(2) Φιλήμον. λείψαν. σελ. 364.

τὸ ἐπίθετον τοῦτο τὰ νομίσματα, ὡς ἐστόλιζε καὶ τὴν αὐλήν του μὲ τὰς τραγῳδίας τοῦ Εὐριπίδου (1).

Ἡ ὀγδόη εἶναι τοῦ Ἀρταουάσδου, ἢ Ἀρταβάζου (2). Ὁ σύγχρονος καὶ φίλος τοῦ βασιλέως Ὀρώδου βασιλεὺς τῆς Ἀρμενίας οὗτος ἦτο πολὺ ἑλληνικώτερος ἀπὸ τὸν Ὀρώδην, ἐπειδὴ, κατὰ τὸν Πλούταρχον, ἔγραφε τραγῳδίας καὶ ἱςορίας ἑλληνιςί.

Ἡ σοφία τῶν δύο τούτων Ἀσιανῶν τυράννων γεννᾷ τὸν ἁπλοῦν τοῦτον στοχασμόν· ἡ τόσον ἐξαπλωθεῖσα σήμερον καὶ κατακυριεύσασα δικαίως τὰς ἄλλας Γαλατικὴ γλῶσσα, δὲν ἔφθασεν ἀκόμη εἰς τὸν ὁποῖον ἀνέβη ἡ Ἑλληνικὴ βαθμόν· ἀκόμη εἰς Ἀσιανὴν κἀμμίαν αὐλὴν δὲν ἐγνωρίσθησαν αἱ τραγῳδίαι τοῦ Ῥακίνα· ἀκόμη κανεὶς ἀπὸ τοὺς Ἀσιανοὺς δεσπότας δὲν ἐκαταδέχθη νὰ μάθῃ τῶν Γάλλων τὴν γλῶσσαν. . . . Ὦ φίλοι νέοι τῆς Ἑλλάδος! συλλογίσθητε τίνων ἀπόγονοι εἶσθε, συλλογίσθητε ὅτι ἡ εὐγένειά σας ὑπερβαίνει ὅλας τὰς θαυμαζομένας εὐγενείας τοῦ κόσμου, καὶ προσέχετε καλὰ μὴ φανῆτε τοσαύτης καὶ τοιαύτης εὐγενείας ἀνάξιοι, ἐὰν δὲν δείξετε κἂν ὅσον ἔδειξαν οἱ ἄγριοι Πάρθοι καὶ Ἀρμένιοι ζῆλον τῆς ἑλληνικῆς σοφίας. Προσέχετε μὴ σᾶς ἀπατήσῃ ἡ ὑπόκρισις ὀλίγων τινῶν μισελ-

---

(1) Θέλει μάθειν ὁ ἀναγνώςης ἀπὸ τὸν Πλούταρχον (κατωτέρ. σελ. 336) ὅτι τὴν ὥραν ὅταν ἔφεραν εἰς τὸν Ὀρώδην τὴν κεφαλὴν τοῦ δυστυχοῦς Κράσσου, ἀσχολεῖτο ὁ βασιλεὺς εἰς τὴν θέαν καὶ ἀκρόασιν τῶν Βακχῶν τοῦ Εὐριπίδου.

(2) Εἰς τὸν Ἀππιανὸν γράφεται Ἀρταβάζης, εἰς τὸν Πλούταρχον, Ἀρταουάσδης, καὶ μίαν φορὰν (σελ. 318) Ἀρταβάζης. Ἡ ἀληθὴς γραφὴ εἶναι ἡ γραφὴ τῆς χαλκογραφίας, Ἀρταυάσδης.

λήνων Σκυθῶν, τοὺς ὁποίους ἡ ὀργὴ τοῦ θεοῦ ἐμεταφύτευσεν ἀπὸ τὸν Καύκασον εἰς τὴν Ἑλλάδα· ἐπικινδυνωτέρους ἐχθροὺς παρ᾽ αὐτοὺς ἄλλους δὲν ἔχετε, ἐπειδὴ ζητοῦν νὰ καταστήσωσι μισητοὺς τοὺς ἀληθινοὺς τῆς δόξης καὶ τῆς εὐδαιμονίας τῆς Ἑλλάδος φίλους, ὀνομάζοντες αὐτοὺς ἀθέους. Οἱ ἄθεοι τῶν καλῶν καὶ φιλανθρώπων χριστιανῶν τούτων δὲν εἶναι οἱ μὴ πιστεύοντες τὸν ἀληθῆ θεὸν, ὅστις, ἐπειδὴ εἶναι ἡ Αὐτοσοφία, πρέπει νὰ ἀγαπᾷ καὶ τὴν φιλοσοφίαν καὶ τοὺς ἐπαινέτας αὐτῆς· ὄχι, μὴ πλανᾶσθε! Ἀθέους ὀνομάζουσι τοὺς μὴ πιστεύοντας τὸν ὁποῖον αὐτοὶ ἔπλασαν, καὶ ἐθρόνισαν ἀθέως εἰς τόπον τοῦ ἀληθινοῦ θεοῦ, κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἰδίαν, ἴδιον αὐτῶν θεόν.

---

# ΠΙΝΑΞ ΤΩΝ ΒΙΩΝ ΠΛΟΥΤΑΡΧΟΥ.


| | | |
|---|---|---|
| ΠΥΡΡΟΣ. | Σελίδι | 1 |
| Γάϊος Μάριος. | | 45 |
| Λύσανδρος | | 95 |
| Σύλλας. | | 127 |
| Λυσάνδρου καὶ Σύλλα σύγκρισις. | | 173 |
| Κίμων. | | 179 |
| Λούκουλλος. | | 203 |
| Κίμωνος καὶ Λουκούλλου Σύγκρισις. | | 257 |
| Νικίας. | | 261 |
| Μάρκος Κράσσος. | | 297 |
| Νικίου καὶ Κράσσου Σύγκρισις. | | 338 |




ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘ.

Σελ. 1. Τομ. 3

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΤΤ

# ΠΛΟΥΤΑΡΧΟΥ

# ΠΑΡΑΛΛΗΛΑ,

Η

# ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

## ΠΥΡΡΟΣ.

Θεσπρωτῶν καὶ Μολοσσῶν μετὰ τὸν κατακλυσμὸν ἱστοροῦσι Φαέθοντα βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ Πελασγοῦ παραγενομένων εἰς τὴν Ἤπειρον· ἔνιοι δὲ Δευκαλίωνα καὶ Πύῤῥαν, εἰσαμένους τὸ περὶ Δωδώνην ἱερὸν, αὐτόθι κατοικεῖν ἐν Μολοσσοῖς. Χρόνῳ δ' ὕστερον Νεοπτόλεμος ὁ Ἀχιλλέως, λαὸν ἀγαγὼν, αὐτός τε τὴν χώραν κατέσχε, καὶ διαδοχὴν βασιλέων ἀφ' αὑτοῦ κατέλιπε, Πυῤῥίδας ἐπικαλουμένους. Καὶ γὰρ αὐτῷ Πύῤῥος ἦν παιδικὸν ἐπωνύμιον, καὶ τῶν γνησίων παίδων ἐκ Λανάσσης τῆς Κλεοδέου τοῦ Ὕλλου γενομένων ἕνα, Πύῤῥον ὠνόμασεν. Ἐκ τούτου δὲ καὶ Ἀχιλλεὺς ἐν Ἠπείρῳ τιμὰς ἰσοθέους ἔσχεν, Ἄσπετος ἐπιχωρίῳ φωνῇ προσαγορευόμενος. Μετὰ δὲ

τοὺς πρώτους, τῶν διὰ μέσου βασιλέων ἐκβαρβαρωθέντων, καὶ γενομένων τῇ τε δυνάμει καὶ τοῖς βίοις ἀμαυροτέρων, Θαῤῥύταν πρῶτον ἱςοροῦσιν, Ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις διακοσμήσαντα τὰς πόλεις, ὀνομαςὸν γενέσθαι. Θαῤῥύτου δ' Ἀλκέτας υἱὸς ἦν, Ἀλκέτου δ' Ἀρύβας, Ἀρύβα δὲ καὶ Τρωϊάδος Αἰακίδης. Οὗτος ἔγημε τὴν Μένωνος τοῦ Θεσσαλοῦ θυγατέρα, Φθίαν, ἀνδρὸς εὐδοκίμου περὶ τὸν Λαμιακὸν πόλεμον γενομένου, καὶ μέγιςον ἀξίωμα τῶν συμμάχων μετὰ Λεωσθένην λαβόντος. Ἐκ δὲ τῆς Φθίας τῷ Αἰακίδῃ γίνονται θυγατέρες Δηϊδάμεια καὶ Τρωϊὰς, υἱὸς δὲ Πύῤῥος.

Β. Ἐπεὶ δὲ ςασιάσαντες οἱ Μολοσσοὶ, καὶ τὸν Αἰακίδην ἐκβαλόντες, ἐπηγάγοντο τοὺς Νεοπτολέμου παῖδας, οἱ μὲν φίλοι τοῦ Αἰακίδου διεφθάρησαν καταληφθέντες, τὸν δὲ Πύῤῥον ἔτι νήπιον ὄντα, καὶ ζητούμενον ὑπὸ τῶν πολεμίων, ἐκκλέψαντες οἱ περὶ Ἀνδροκλείδην καὶ Ἄγγελον ἔφευγον, οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον ἀναγκαίως ἐφελκόμενοι. Καὶ διὰ τοῦτο τῆς φυγῆς γενομένης αὐτοῖς δυσέργου καὶ βραδείας, καταλαμβανόμενοι, τὸ μὲν παιδίον ἐγχειρίζουσιν Ἀνδροκλείωνι καὶ Ἱππίᾳ καὶ Νεάνδρῳ, νεανίσκοις οὖσι πιςοῖς καὶ ῥωμαλέοις, ἀνὰ κράτος φεύγειν καὶ Μεγάρων ἔχεσθαι, χωρίου Μακεδονικοῦ, προςάξαντες. Αὐτοὶ δὲ, τὰ μὲν δεόμενοι, τὰ δ' ἀπομαχόμενοι, τοῖς διώκουσιν ἐμποδὼν ἦσαν ἄχρι δείλης ὀψίας. Ἀποτραπομένων δὲ μόλις ἐκείνων, μετέθεον τοὺς τὸν Πύῤῥον κομίζοντας. Ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος, ἐγγὺς γενόμενοι τῆς ἐλπίδος, ἐξαίφνης ἀπεκόπησαν, ἐντυχόντες τῷ παρὰ τὴν πόλιν παραῤῥέοντι ποταμῷ, χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ, πειρωμένοις δὲ διαβῆναι παντάπασιν ἀπορωτάτῳ. Πολύ τε γὰρ ἐξέπιπτε ῥεῦμα καὶ θολερὸν, ὄμβρων ἐπιγενομένων, καὶ τὸ σκότος ἐποίει πάντα φοβερώτερα. Καθ' αὑτοὺς μὲν οὖν ἀπέγνωσαν ἐπιχειρεῖν, παιδίον φερόμενοι, καὶ γύναια τὰ

τρέφοντα τὸ παιδίον· αἰσθόμενοι δὲ τῶν ἐπιχωρίων τινὰς ἐν τῷ πέραν ἑστῶτας, ἐδέοντο συλλαβέσθαι πρὸς τὴν διάβασιν, καὶ τὸν Πύῤῥον ἀνεδείκνυσαν, βοῶντες καὶ ἱκετεύοντες. Οἱ δὲ οὐ κατήκουον διὰ τραχύτητα καὶ πάταγον τοῦ ῥεύματος· ἀλλ' ἦν διατριβὴ, τῶν μὲν βοώντων, τῶν δὲ μὴ συνιέντων. Ἄχρι τις ἐννοήσας, καὶ περιελὼν δρυὸς φλοιὸν, ἐνέγραψε πόρπῃ γράμματα φράζοντα τήν τε χρείαν καὶ τὴν τύχην τοῦ παιδός· εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας, καὶ χρησάμενος οἷον ἕρματι τῆς βολῆς, ἀφῆκεν εἰς τὸ πέραν. Ἔνιοι δέ φασι, σαυνίῳ περιπήξαντας ἀκοντίσαι τὸν φλοιόν. Ὡς δ' οὖν ἀνέγνωσαν οἱ πέραν τὰ γράμματα, καὶ συνεῖδον τὴν ὀξύτητα τοῦ καιροῦ, κόπτοντες ξύλα καὶ πρὸς ἄλληλα συνδέοντες ἐπεραιοῦντο. Καὶ κατὰ τύχην ὁ πρῶτος αὐτῶν περαιωθεὶς, Ἀχιλλεὺς τοὔνομα, τὸν Πύῤῥον ἐδέξατο· τοὺς δ' ἄλλους, ὡς ἔτυχον, οἱ ἄλλοι διεκόμιζον.

Γ. Οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν, εἰς Ἰλλυριοὺς παρεγένοντο πρὸς Γλαυκίαν τὸν βασιλέα· καὶ καθεζόμενον εὑρόντες οἴκοι μετὰ τῆς γυναικὸς, ἐν μέσῳ τὸ παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν. Ὁ δ' ἦν ἐπὶ γνώμης, Κάσσανδρον δεδοικὼς, ἐχθρὸν ὄντα τοῦ Αἰακίδου, καὶ σιωπὴν εἶχε πολὺν χρόνον βουλευόμενος. Ἐν τούτῳ δ' ὁ Πύῤῥος ἀπ' αὐτομάτου προσερπύσας, καὶ λαβόμενος τοῦ ἱματίου ταῖς χερσὶ, καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ Γλαυκίου, γέλωτα πρῶτον, εἶτ' οἶκτον παρέσχεν, ὥσπερ τις ἱκέτης δεόμενος καὶ δακρύων. Ἔνιοι δέ φασιν οὐ τῷ Γλαυκίᾳ προσπεσεῖν αὐτὸν, ἀλλὰ βωμοῦ θεῶν προσαψάμενον, ἑστάναι πρὸς αὐτῷ περιβαλόντα τὰς χεῖρας· καὶ τὸ πρᾶγμα τῷ Γλαυκίᾳ θεῖον φανῆναι. Διὸ καὶ παραυτίκα τὸν Πύῤῥον ἐνεχείρισε τῇ γυναικὶ, κελεύσας ἅμα τοῖς τέκνοις τρέφεσθαι, καὶ μικρὸν ὕστερον ἐξαιτουμένων τῶν πολεμίων, Κασσάνδρου δὲ καὶ διακόσια τάλαντα διδόντος, οὐκ ἐξέδωκεν· ἀλλὰ καὶ γενόμενον δυοκαίδεκα ἐτῶν, καταγαγὼν εἰς τὴν Ἤπειρον μετὰ δυ-

νάμεως, βασιλέα κατέστησεν. Ἦν δ' ὁ Πύῤῥος τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἔχων, ἢ σεμνότερον, τὸ βασιλικόν· πολλοὺς δ' ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν, οἷον λεπταῖς ἀμυχαῖς ταῖς διαφυαῖς ἐπιγεγραμμένον τῶν ὀδόντων. Τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. Οὐδεὶς δ' ἦν πένης, οὐδ' ἄδοξος οὕτως, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. Ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. Λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν θείαν, ὥστε μετὰ τὴν τελευτὴν, τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι. Ταῦτα μὲν οὖν ὕςερον.

Δ. Γενομένῳ δὲ περὶ ἑπτακαίδεκα ἔτη, καὶ δοκοῦντι τὴν ἀρχὴν ἔχειν βεβαίως, ἀποδημία τις συνέτυχε, τῶν Γλαυκίου παίδων ἑνὸς, οἷς συνετέθραπτο, γυναῖκα λαμβάνοντος. Πάλιν οὖν οἱ Μολοττοὶ συςάντες ἐξέβαλον τοὺς φίλους αὐτοῦ, καὶ τὰ χρήματα διήρπασαν, καὶ Νεοπτολέμῳ παρέδωκαν ἑαυτούς. Ὁ δὲ Πύῤῥος οὕτω τὴν ἀρχὴν ἀποβαλὼν, καὶ γενόμενος πάντων ἔρημος, Δημητρίῳ τῷ Ἀντιγόνου προσέμιξεν ἑαυτὸν, ἔχοντι τὴν ἀδελφὴν αὐτοῦ, Δηϊδάμειαν· ἣν ἔτι μὲν οὖσαν κόρην ὠνόμαζον Ἀλεξάνδρου τοῦ Ῥωξάνης γυναῖκα, τῶν δὲ κατ' ἐκείνους δυςυχηθέντων, ὥραν ἔχουσαν αὐτὴν ἔγημεν ὁ Δημήτριος. Τῆς δὲ μεγάλης μάχης, ἣν ἐν Ἰψῷ πάντες οἱ βασιλεῖς *τῆς γῆς* ἠγωνίσαντο, παρὼν ὁ Πύῤῥος τοῖς περὶ Δημήτριον συμμετεῖχε, μειράκιον ὢν ἔτι, καὶ τοὺς καθ' αὑτὸν ἐτρέψατο, καὶ διεφάνη λαμπρὸς ἐν τοῖς μαχομένοις. Πταίσαντα δὲ Δημήτριον οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ Ἑλλάδι πόλεις πιστευθεὶς διεφύλαξε· καὶ συμβάσεων αὐτῷ γενομένων πρὸς Πτολεμαῖον, ἔπλευσεν εἰς Αἴγυπτον ὁμηρεύσων. Καὶ Πτολεμαίῳ μὲν ἔν τε θήραις καὶ γυμνασίοις ἐπίδειξιν ἀλκῆς καὶ καρτερίας παρεῖχε.

Τὴν δὲ Βερενίκην ὁρῶν μέγιστον δυναμένην, καὶ πρωτεύουσαν ἀρετῇ καὶ φρονήσει τῶν Πτολεμαίου γυναικῶν, ἐθεράπευε μάλιστα· καὶ δεινὸς ὢν ὑπελθεῖν ἐπ' ὠφελείᾳ τοὺς κρείττονας, ὥσπερ ὑπερόπτης τῶν ταπεινοτέρων, κόσμιος δὲ καὶ σώφρων περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη λαβεῖν Ἀντιγόνην γυναῖκα, τῶν Βερενίκης θυγατέρων, ἣν ἔσχεν ἐκ Φιλίππου, πρὶν ἢ Πτολεμαίῳ συνοικεῖν.

Ε. Μετὰ δὲ τὸν γάμον τοῦτον, ἔτι μᾶλλον εὐδοκιμῶν, καὶ γυναικὸς ἀγαθῆς τῆς Ἀντιγόνης περὶ αὐτὸν οὔσης, διεπράξατο, χρήματα λαβὼν καὶ δύναμιν, εἰς Ἤπειρον ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι. Καὶ παρῆν οὐκ ἄκουσι [τοῖς] πολλοῖς, διὰ τὴν ἀπέχθειαν τοῦ Νεοπτολέμου, χαλεπῶς καὶ βιαίως ἄρχοντος. Πλὴν ἀλλὰ δείσας, μὴ πρός τινα τῶν ἄλλων βασιλέων ὁ Νεοπτόλεμος τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτὸν ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς. Χρόνου δὲ προϊόντος ἦσαν οἱ παροξύνοντες αὐτοὺς κρύφα, καὶ κατ' ἀλλήλων ἐμποιοῦντες ὑποψίας. Ἡ μέντοι μάλιστα κινήσασα τὸν Πύῤῥον αἰτία λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. Εἰώθεισαν οἱ βασιλεῖς ἐν Πασσαρῶνι, χωρίῳ τῆς Μολοττίδος, Ἀρείῳ Διὶ θύσαντες, ὁρκωμοτεῖν τοῖς Ἠπειρώταις καὶ ὁρκίζειν, αὐτοὶ μὲν ἄρξειν κατὰ τοὺς νόμους, ἐκείνους δὲ τὴν βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. Ταῦτ' οὖν ἐδρᾶτο ἀμφοτέρων τῶν βασιλέων παρόντων, καὶ συνῆσαν ἀλλήλοις μετὰ τῶν φίλων, δῶρα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ λαμβάνοντες. Ἐνταῦθα δὴ Γέλων, ἀνὴρ πιστὸς Νεοπτολέμῳ, δεξιωσάμενος φιλοφρόνως τὸν Πύῤῥον, ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. Ταῦτα Μυρτίλος, ὁ ἐπὶ τοῦ οἴνου, παρὼν ᾔτει τὸν Πύῤῥον· ἐκείνου δὲ μὴ διδόντος, ἀλλ' ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ Μυρτίλος, οὐκ ἔλαθε τὸν Γέλωνα. Καλέσας οὖν αὐτὸν ἐπὶ δεῖπνον, ὡς δέ φασιν ἔνιοι, καὶ χρησάμενος παρ' οἶνον ὥραν ἔχοντι, λόγους προσήνεγκε, παρακαλῶν ἑλέσθαι τὰ τοῦ Νεοπτολέμου, καὶ φαρμάκοις

διαφθεῖραι τὸν Πύῤῥον. Ὁ δὲ Μυρτίλος ἐδέξατο μὲν τὴν πεῖραν, ὡς ἐπαινῶν καὶ συμπεπεισμένος, ἐμήνυσε δὲ τῷ Πύῤῥῳ· καὶ κελεύσαντος ἐκείνου, τὸν ἀρχιοινοχόον Ἀλεξικράτην τῷ Γέλωνι συνέστησεν, ὡς δὴ μεθέξοντα τῆς πράξεως αὐτοῖς. Ἐβούλετο γὰρ ἐν πλείοσιν ὁ Πύῤῥος τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήματος. Οὕτω δὲ τοῦ Γέλωνος ἐξαπατωμένου, συνεξαπατώμενος ὁ Νεοπτόλεμος, καὶ τὴν ἐπιβουλὴν ὁδῷ βαδίζειν οἰόμενος, οὐ κατεῖχεν, ἀλλ' ὑπὸ χαρᾶς ἐξέφερε πρὸς τοὺς φίλους. Καί ποτε κωμάσας παρὰ τὴν ἀδελφὴν Καδμείαν, ἐχρῆτο λαλιᾷ περὶ τούτων, οὐδένα συνακούειν οἰόμενος. Οὐδεὶς γὰρ ἦν πλησίον ἄλλος, ἢ Φαιναρέτη, γυνὴ Σάμωνος, τοῦ τὰ ποίμνια καὶ τὰ βουκόλια τῷ Νεοπτολέμῳ διοικοῦντος. Αὕτη δ' ἀπεστραμμένη πρὸς [τὸν] τοῖχον ἐπὶ κλίνης τινὸς, ἐδόκει καθεύδειν. Συνήκοος δὲ πάντων γενομένη καὶ λαθοῦσα, μεθ' ἡμέραν ἧκε πρὸς Ἀντιγόνην, τὴν Πύῤῥου γυναῖκα, καὶ πάντα κατεῖπεν, ὅσα τοῦ Νεοπτολέμου πρὸς τὴν ἀδελφὴν ἤκουσε λέγοντος. Πυθόμενος δ' ὁ Πύῤῥος, ἐκεῖ μὲν ἡσυχίαν ἦγεν· ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον τὸν Νεοπτόλεμον, ἀπέκτεινεν, αἰσθόμενος τῶν Ἠπειρωτῶν τοὺς κρατίστους προσέχοντας αὐτῷ, καὶ παρακελευομένους ἀπαλλαγῆναι τοῦ Νεοπτολέμου, καὶ μὴ μερίδα μικρὰν ἔχοντα βασιλείας ἀγαπᾶν, ἀλλὰ τῇ φύσει χρήσασθαι, μειζόνων πραγμάτων ἀντιλαμβανόμενον· καί τινος ὑποψίας ἅμα προσγενομένης, τὸν Νεοπτόλεμον φθάσας ἀνελεῖν.

ς. Μεμνημένος δὲ Βερενίκης καὶ Πτολεμαίου, παιδίον μὲν αὐτῷ γενόμενον ἐξ Ἀντιγόνης, Πτολεμαῖον ὠνόμασεν, οἰκίσας δὲ πόλιν ἐν τῇ χεῤῥονήσῳ τῆς Ἠπείρου, Βερενικίδα προσηγόρευσεν. Ἐκ δὲ τούτου, πολλὰ μὲν περινοῶν καὶ μεγάλα τῇ γνώμῃ, ταῖς δ' ἐλπίσι μάλιστα καὶ πρῶτον ἀντιλαμβανόμενος τῶν πλησίον, εὗρεν ἐμφῦναι τοῖς Μακεδόνων πράγμασιν ἐκ τοιᾶσδέ τινος προφάσεως. Τῶν Κασσάνδρου παίδων ὁ πρεσ-

δεύτερος Ἀντίπατρος τήν τε μητέρα Θεσσαλονίκην ἀνεῖλε, καὶ τὸν ἀδελφὸν Ἀλέξανδρον ἤλαυνεν. Ὁ δὲ πρός τε Δημήτριον ἔπεμψε, δεόμενος βοηθεῖν, καὶ Πύῤῥον ἐκάλει. Δημητρίου δὲ ὑπ' ἀσχολιῶν βραδύνοντος, ἐπελθὼν ὁ Πύῤῥος ᾔτησε μισθὸν τῆς συμμαχίας, τήν τε Νυμφαίαν καὶ τὴν παραλίαν τῆς Μακεδονίας, καὶ τῶν ἐπικτήτων ἐθνῶν, Ἀμβρακίαν, Ἀκαρνανίαν, Ἀμφιλοχίαν. Προεμένου δὲ τοῦ νεανίσκου, ταῦτα μὲν αὐτὸς εἶχε, φρουραῖς καταλαβών, τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ, περιέκοπτε τὸν Ἀντίπατρον. Λυσίμαχος δ' ὁ βασιλεὺς, αὐτὸς μὲν ἦν ἐν ἀσχολίαις, προθυμούμενος Ἀντιπάτρῳ βοηθεῖν, εἰδὼς δὲ τὸν Πύῤῥον οὐδὲν ἀχαριστεῖν, οὐδ' ἀρνεῖσθαι Πτολεμαίῳ βουλόμενον, ἔπεμψε πλαστὰ γράμματα πρὸς αὐτὸν, ὡς Πτολεμαίου κελεύοντος ἀπαλλάττεσθαι τῆς στρατείας, τριακόσια τάλαντα παρὰ τοῦ Ἀντιπάτρου λαβόντα. Λύσας δὲ τὴν ἐπιστολὴν ὁ Πύῤῥος, εὐθὺς τὸ ῥᾳδιούργημα τοῦ Λυσιμάχου συνεῖδεν· οὐ γὰρ ἦν ἡ συνήθης γεγραμμένη προσαγόρευσις· «Ὁ πατὴρ τῷ υἱῷ χαίρειν»· ἀλλὰ «Βασιλεὺς Πτολεμαῖος βασιλεῖ Πύῤῥῳ χαίρειν». Λοιδορήσας δὲ τὸν Λυσίμαχον, ὅμως ἐποιεῖτο τὴν εἰρήνην, καὶ συνῆσαν ὡς κατὰ σφαγίων ὁρκωμοτήσοντες. Ἐπεὶ δὲ, κάπρου καὶ ταύρου καὶ κριοῦ προσαχθέντος, ὁ κριὸς αὐτομάτως ἀπέθανε, τοῖς μὲν ἄλλοις γελᾷν ἐπῄει, τὸν δὲ Πύῤῥον ὁ μάντις Θεόδοτος ὀμόσαι διεκώλυσε, φήσας τὸ δαιμόνιον ἑνὶ προσημαίνειν τῶν τριῶν βασιλέων θάνατον. Ὁ μὲν οὖν Πύῤῥος οὕτως ἀπέστη τῆς εἰρήνης.

Ζ. Τῷ δ' Ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν ἐχόντων, ὅμως ὁ Δημήτριος ἀφίκετο, καὶ δῆλος μὲν ἦν εὐθὺς ἥκων μὴ δεομένῳ, καὶ φόβον παρεῖχεν. Ὀλίγαις δ' ἡμέραις συγγενόμενοι, δι' ἀπιστίας ἐπεβούλευσαν ἀλλήλοις ἀμφότεροι. Καιρῷ δὲ χρησάμενος καὶ φθάσας ἀποκτίννυσιν ὁ Δημήτριος τὸ μειράκιον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδονίας. Ἦν μὲν οὖν καὶ πρότερον

αὐτῷ πρὸς τὸν Πύῤῥον ἐγκλήματα, καὶ καταδρομαὶ τῆς Θεσσαλίας ἐγεγόνεισαν ὑπ' ἐκείνου, καὶ τὸ σύμφυτον νόσημα ταῖς δυναςείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν αὐτοῖς ἐπίφοβον καὶ ἄπιςον παρεῖχε, καὶ μᾶλλον ἔτι μετὰ τὴν τῆς Δηϊδαμείας τελευτήν. Ἐπεὶ δὲ * καὶ* κατασχόντες ἀμφότεροι Μακεδονίας, συνέπιπτον εἰς τὸ αὐτὸ, καὶ μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορὰ, Δημήτριος μὲν ἐπ' Αἰτωλοὺς στρατευσάμενος, καὶ κρατήσας, Πάνταυχον αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ Πύῤῥον, καὶ Πύῤῥος ἐπ' ἐκεῖνον, ὡς ᾔσθετο. Γενομένης δὲ διαμαρτίας καθ' ὁδὸν, ἀλλήλους παρήλλαξαν· καὶ Δημήτριος μὲν ἐμβαλὼν εἰς Ἤπειρον ἐλεηλάτει, Πύῤῥος δὲ Πανταύχῳ περιπεσὼν, εἰς μάχην κατέςη. Καὶ τῶν στρατιωτῶν συμπεσόντων, δεινὸς ἦν καὶ μέγας ἀγὼν, μάλιςα κατὰ τοὺς ἡγεμόνας. Ὅ τε γὰρ Πάνταυχος, ἀνδρείᾳ καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριςος ὢν ὁμολογουμένως τῶν περὶ Δημήτριον ςρατηγῶν, καὶ θάρσος ἔχων καὶ φρόνημα, προυκαλεῖτο τὸν Πύῤῥον εἰς τὰς χεῖρας· ὅ τε Πύῤῥος, οὐδενὶ τῶν βασιλέων ὑφιέμενος ἀλκῆς καὶ δόξης, καὶ τὴν Ἀχιλλέως δόξαν αὐτῷ δι' ἀρετὴν μᾶλλον, ἢ κατὰ γένος, συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τὸν Πάνταυχον. Ἦν δὲ δορατισμὸς τὸ πρῶτον, εἶτ' ἐν χεροῖν γενόμενοι, μετὰ τέχνης ἅμα καὶ βίας ἐχρῶντο τοῖς ξίφεσι. Λαβὼν δ' ὁ Πύῤῥος ἓν τραῦμα, δοὺς δὲ δύο, τὸ μὲν εἰς τὸν μηρὸν, τὸ δὲ παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν Πάνταυχον· οὐ μὴν ἀνεῖλεν· ἀνηρπάγη γὰρ ὑπὸ τῶν φίλων. Οἱ δ' Ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες, καὶ θαυμάσαντες τὴν ἀρετὴν, ἐβιάσαντο καὶ διέκοψαν τὴν φάλαγγα τῶν Μακεδόνων, καὶ φεύγοντας διώκοντες, ἀπέκτεινάν τε πολλοὺς, καὶ πεντακισχιλίους ζῶντας εἷλον.

Η. Ὁ δ' ἀγὼν οὗτος οὐ τοσοῦτον ὀργῆς, ὧν ἔπαθον, οὐδὲ μίσους ἐνέπλησε τοὺς Μακεδόνας πρὸς τὸν Πύῤῥον, ὅσην δόξαν

αὐτοῦ, καὶ θαῦμα τῆς ἀρετῆς, καὶ λόγον ἐνειργάσατο τοῖς ἰδοῦσι τὰ ἔργα, καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην. Καὶ γὰρ ὄψιν ᾤοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα τοῖς Ἀλεξάνδρου, καὶ τῆς φορᾶς ἐκείνου καὶ βίας παρὰ τοὺς ἀγῶνας ἐν τούτῳ σκιάς τινας ὁρᾶσθαι καὶ μιμήματα· τῶν μὲν ἄλλων βασιλέων ἐν πορφύραις καὶ δορυφόροις καὶ κλίσει τραχήλου, καὶ τῷ μεῖζον διαλέγεσθαι, μόνου δὲ Πύῤῥου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν Ἀλέξανδρον. Τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης αὐτοῦ καὶ δεινότητος ἔνεστι δείγματα λαβεῖν ἐκ τῶν γραμμάτων, ἃ περὶ τούτων ἀπολέλοιπε. Λέγεται δὲ καὶ Ἀντίγονος, ἐρωτηθεὶς, τίς ἄριστος τῶν στρατηγῶν, φάναι, Πύῤῥος, ἂν γηράσῃ, περὶ τῶν καθ' αὑτὸν οὕτως ἀποφηνάμενος μόνον. Ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν, πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι Πύῤῥον, Σκιπίωνα δὲ δεύτερον, ἑαυτὸν δὲ τρίτον, ὡς ἐν τοῖς περὶ Σκιπίωνος γέγραπται. Καὶ ὅλως τοῦτο μελετῶν ἔοικε καὶ φιλοσοφῶν ἀεὶ διατελεῖν ὁ Πύῤῥος, ὡς μαθημάτων βασιλικώτατον, τὰς δ' ἄλλας γλαφυρίας ἐν οὐδενὶ λόγῳ τίθεσθαι. Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ἔν τινι πότῳ, πότερον φαίνεται αὐτῷ, Πύθων αὐλητὴς ἀμείνων, ἢ Καφισίας, εἰπεῖν, ὅτι Πολυσπέρχων στρατηγός· ὡς ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν προσῆκον. Ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς, καὶ πρᾶος ὀργὴν, σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. Ἀερόπου γοῦν ἀποθανόντος, οὐκ ἤνεγκε μετρίως· ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων, ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων, χάριν οὐκ ἀπέδωκεν αὐτῷ. Τὰ μὲν γὰρ χρέα καὶ κληρονόμοις ἐστὶν ἀποδοῦναι τῶν δανεισάντων, αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους, ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. Ἐν δὲ Ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον οἰομένων δεῖν μεταστῆσαι τὸν Πύῤῥον· Αὐτοῦ μένων, ἔφη, μᾶλλον ἡμᾶς ἐν

ὀλίγοις, ἢ περιιὼν πρὸς ἅπαντας ἀνθρώπους κακῶς λεγέτω. Καὶ τοὺς παρ' οἶνον αὐτὸν λοιδορήσαντας, εἶτ' ἐλεγχομένους, ἠρώτησεν, εἰ ταῦτα εἶπον. Ἀποκριναμένου δὲ τῶν νεανίσκων ἑνὸς, « Ταῦτα, ὦ βασιλεῦ· πλείονα δ' ἂν ἔτι τούτων εἰρήκειμεν, » εἰ πλείων παρῆν οἶνος ἡμῖν », γελάσας ἀφῆκε.

Θ. Γυναῖκας δὲ, πραγμάτων ἕνεκα καὶ δυνάμεως, πλείονας ἔγημε μετὰ τὴν Ἀντιγόνης τελευτήν. Καὶ γὰρ Αὐτολέοντος, τοῦ Παιόνων βασιλέως, ἔλαβε θυγατέρα, καὶ Βιρκένναν τὴν Βαρδύλλιος τοῦ Ἰλλυριῶν, καὶ Λάνασσαν τὴν Ἀγαθοκλέους τοῦ Συρακουσίου, προῖκα προσφερομένην αὐτῷ τὴν Κερκυραίων πόλιν, ἡλωκυῖαν ὑπ' Ἀγαθοκλέους. Ἐκ μὲν οὖν Ἀντιγόνης Πτολεμαῖον υἱὸν ἔσχεν, ἐκ δὲ Λανάσσης Ἀλέξανδρον, Ἕλενον δὲ τὸν νεώτατον, ἐκ Βιρκέννης. Καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις ἐθρέψατο καὶ διαπύρους, εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους ὑπ' αὐτοῦ. Λέγεται γὰρ, ὡς ἐρωτηθεὶς ὑφ' ἑνὸς αὐτῶν ἔτι παιδὸς ὄντος, τίνι καταλείψει τὴν βασιλείαν, εἰπεῖν· Ὃς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ. Τοῦτο δ' οὐδὲν ἀποδεῖ τῆς τραγικῆς ἀρᾶς ἐκείνης·

*Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν . . .*

τοὺς ἀδελφούς. Οὕτως ἄμικτός ἐστι καὶ θηριώδης ἡ τῆς πλεονεξίας ὑπόθεσις.

Ι. Μετὰ δὲ τὴν μάχην ταύτην ὁ Πύῤῥος, ἐπανελθὼν οἴκαδε λαμπρὸς ὑπὸ δόξης καὶ φρονήματος, ἔχαιρε· καὶ Ἀετὸς ὑπὸ τῶν Ἠπειρωτῶν προσαγορευόμενος· Δι' ὑμᾶς, ἔλεγεν, Ἀετός εἰμι· πῶς γὰρ οὐ μέλλω τοῖς ὑμετέροις ὅπλοις, ὥσπερ ὠκυπτέροις, ἐπαιρόμενος; Ὀλίγῳ δ' ὕστερον πυθόμενος νοσεῖν τὸν Δημήτριον ἐπισφαλῶς, ἐνέβαλε μὲν ἐξαίφνης εἰς Μακεδονίαν, ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν ποιησόμενος. Παρ' ὀλίγον δ' ἦλθε πάντων ὁμοῦ κρατῆσαι, καὶ λαβεῖν ἀμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρις Ἐδέσσης, μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ συστρατευόντων. Αὐτόν τε δὴ τὸν Δημήτριον ὁ κίν-

δυνος ἐξανέστησε παρὰ δύναμιν, οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ χρόνῳ πολλοὺς ἀθροίσαντες, ἐῤῥωμένως καὶ προθύμως ἐπὶ τὸν Πύῤῥον ὥρμησαν. Ὁ δὲ λῃστρικώτερον ἀφιγμένος, οὐκ ἔμεινεν, ἀλλὰ φεύγων μέρος τι τῆς στρατιᾶς ἀπέβαλε, καθ' ὁδὸν ἐπιθεμένων τῶν Μακεδόνων. Οὐ μὴν, ὅτι ῥᾳδίως καὶ ταχὺ τὸν Πύῤῥον ἐξέβαλε τῆς χώρας ὁ Δημήτριος, ἠμέλησεν· ἐγνωκὼς δὲ μεγάλων πραγμάτων ἀντιλαμβάνεσθαι, καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι δέκα μυριάσι στρατοῦ, καὶ ναυσὶ πεντακοσίαις, οὐκ ἐβούλετο τῷ Πύῤῥῳ περιπταῖσαι, οὐδ' ἀπολιπεῖν Μακεδόσι πάροικον ἐργώδη καὶ χαλεπόν· ἀλλ', ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν πρὸς αὐτὸν, διαλυθεὶς καὶ θέμενος εἰρήνην, οὕτως ἐπὶ τοὺς ἄλλους βασιλεῖς τραπέσθαι. Γενομένων δὲ διὰ ταῦτα τῶν ὁμολογιῶν, καὶ τῆς γνώμης ἅμα τῷ μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ Δημητρίου, φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν Πύῤῥον ἀγγέλους καὶ γράμματα, θαυμάζειν φάσκοντες, εἰ τὸν αὑτοῦ προέμενος καιρὸν, ἐν τῷ Δημητρίου πολεμῆσαι περιμένει, καὶ δυνάμενος Μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ πράττοντα καὶ ταραττόμενον, ἐκδέχεται σχολάζοντι καὶ μεγάλῳ γενομένῳ περὶ τῶν ἐν Μολοττοῖς ἱερῶν καὶ τάφων διαγωνίσασθαι· καὶ ταῦτα, Κέρκυραν ἔναγχος ἀφῃρημένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. Ἡ γὰρ Λάνασσα μεμψαμένη τὸν Πύῤῥον, ὡς μᾶλλον προσέχοντα ταῖς βαρβάροις γυναιξὶν, εἰς Κέρκυραν ἀπεχώρησε, καὶ δεομένη γάμων βασιλικῶν, ἐκάλει Δημήτριον, ἐπισταμένη μάλιστα τῶν βασιλέων εὐκόλως ἔχοντα πρὸς γάμους γυναικῶν. Ἐκεῖνος δὲ πλεύσας τῇ τε Λανάσσῃ συνῆλθε, καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε.

ΙΑ. Ταῦτα πρὸς τὸν Πύῤῥον οἱ βασιλεῖς γράφοντες, ἅμα καὶ δι' ἑαυτῶν ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν Δημήτριον ἐκίνουν. Πτολεμαῖος μὲν γὰρ ἐπιπλεύσας μεγάλῳ στόλῳ, τὰς Ἑλληνίδας ἀφίστη πόλεις. Λυσίμαχος δὲ τὴν ἄνω Μακεδονίαν

ἐκ Θρᾴκης ἐμβαλὼν ἐπόρθει. Πύῤῥος δὲ τούτοις ἅμα συνεξαναστὰς, ἐπὶ Βέροιαν ἤλαυνε, προσδοκῶν, ὅπερ συνέβη, Δημήτριον, ὑπαντιάζοντα Λυσιμάχῳ, τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. Ἐκείνης δὲ τῆς νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους ὑπ' Ἀλεξάνδρου καλεῖσθαι τοῦ μεγάλου, καὶ παραγενόμενος, κλινήρη μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ φιλοφροσύνης, ἐπαγγελλομένου προθύμως βοηθήσειν. Αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν· Καὶ πῶς ἂν, ὦ βασιλεῦ, νοσῶν δυνατὸς εἴης ἐμοὶ βοηθεῖν; Αὐτῷ, φάναι, τῷ ὀνόματι· καὶ περιβάντα Νισαῖον ἵππον ἡγεῖσθαι. Ταύτην ἰδὼν τὴν ὄψιν ἐπεῤῥώσθη· τάχει δὲ χρησάμενος καὶ διαδραμὼν τὰ μεταξὺ, καταλαμβάνει τὴν Βέροιαν, καὶ τὸ πλεῖστον αὐτόθι τῆς στρατιᾶς ἱδρύσας, τὰ λοιπὰ προσήγετο διὰ τῶν στρατηγῶν. Ὁ δὲ Δημήτριος, ἐπεὶ ταῦτα ἤκουσε, καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον ᾔσθετο τῶν Μακεδόνων, ἔδεισε ποῤῥωτέρω προαγαγεῖν, μὴ πλησίον γενόμενοι βασιλέως Μακεδόνος καὶ δόξαν ἔχοντος μεταβάλωνται πρὸς αὐτόν. Ὅθεν ἐπιστρέψας, ἐπὶ τὸν Πύῤῥον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν Μακεδόνων. Ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ τῶν ἐκ τῆς Βεροίας ἀφικνούμενοι τὸν Πύῤῥον ἐνεκωμίαζον, ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις καὶ λαμπρὸν ἄνδρα, πρᾴως δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. Ἦσαν δέ τινες, οὓς αὐτὸς ὁ Πύῤῥος ἐγκαθίει, προσποιουμένους εἶναι Μακεδόνας, καὶ λέγοντας, ὅτι νῦν καιρός ἐστι τῆς Δημητρίου βαρύτητος ἀπαλλαγῆναι, πρὸς ἄνδρα δημοτικὸν καὶ φιλοστρατιώτην μεταβαλομένους, τὸν Πύῤῥον. Ἐκ τούτου τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατιᾶς, καὶ τὸν Πύῤῥον ἐζήτουν περισκοποῦντες· ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος. Ἄχρις οὗ πάλιν, συμφρονήσας καὶ περιθέμενος, ἐγνώσθη τῷ τε λόφῳ διαπρέποντι καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε τοὺς Μακεδόνας σύνθημα προστρέχοντας αἰτεῖν, ἄλλους δὲ κλάδους δρυὸς ἀναστέφεσθαι, διὰ τὸ καὶ τοὺς

περὶ ἐκεῖνον ἐστεφανωμένους ὁρᾷν. Ἤδη δὲ καὶ πρὸς αὐτόν τινες ἐτόλμων λέγειν τὸν Δημήτριον, ὡς ὑπεκστὰς καὶ προέμενος τὰ πράγματα, καλῶς δόξει βεβουλεῦσθαι. Τούτοις τοῖς λόγοις ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρατοπέδου, καὶ φοβηθεὶς, κρύφα διεξέπεσε, καυσίᾳ τινὶ καὶ λιτῷ χλαμυδίῳ περιστείλας ἑαυτόν. Ἐπελθὼν δ' ὁ Πύῤῥος, ἀμαχεὶ παρέλαβε τὸ στρατόπεδον, καὶ βασιλεὺς ἀνηγορεύθη Μακεδόνων.

ΙΒ. Ἐπιφανέντος δὲ Λυσιμάχου, καὶ κοινὸν ἔργον ἀμφοῖν ποιουμένου τὴν Δημητρίου κατάλυσιν, καὶ νέμεσθαι τὴν βασιλείαν ἀξιοῦντος, οὔπω πάνυ βεβαίως τοῖς Μακεδόσι πιστεύων ὁ Πύῤῥος, ἀλλ' ἀμφίβολος ὢν ἐν αὐτοῖς, ἐδέξατο τοῦ Λυσιμάχου τὴν πρόκλησιν, καὶ διενείμαντο τὴν χώραν καὶ τὰς πόλεις πρὸς ἀλλήλους. Τοῦτο δ' ὤνησε μὲν ἐν τῷ παρόντι, καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς, ὀλίγῳ δ' ὕστερον ἔγνωσαν οὐκ ἀπαλλαγὴν ἔχθρας, ἀλλ' ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν. Οἷς γὰρ οὐ πέλαγος, οὐκ ὄρος, οὐκ ἀοίκητος ἐρημία, πέρας ἐστὶ τῆς πλεονεξίας, οὐδ' οἱ διαιροῦντες Εὐρώπην καὶ Ἀσίαν τέρμονες ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἁπτόμενοι καὶ ψαύοντες ἀλλήλων, ἀτρεμοῖεν ἐν τοῖς παροῦσι, μὴ ἀδικοῦντες, οὐκ ἔστιν εἰπεῖν. Ἀλλὰ πολεμοῦσι μὲν ἀεὶ, τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες· δυεῖν δ' ὀνομάτων, ὥσπερ νομισμάτων, πολέμου καὶ εἰρήνης, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέρον, οὐ πρὸς τὸ δίκαιον. Ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντές εἰσιν, ἢ τῆς ἀδικίας τὸ ἀργοῦν καὶ σχολάζον δικαιοσύνην καὶ φιλίαν προσαγορεύοντες. Ἐδήλωσε δὲ ὁ Πύῤῥος· ἐμποδὼν γὰρ αὐξομένῳ τῷ Δημητρίῳ πάλιν ἱστάμενος, καὶ κολούων τὴν δύναμιν, ὥσπερ ἐξ ἀῤῥωστίας μεγάλης ἀναλαμβάνουσαν, ἐβοήθει τοῖς Ἕλλησι, καὶ παρῆλθεν εἰς τὰς Ἀθήνας. Ἀναβὰς δ' εἰς τὴν ἀκρόπολιν, καὶ θύσας τῇ θεῷ, καὶ καταβὰς αὐθημερὸν, ἀγαπᾷν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίσιν·

ἂν μέντοι σωφρονῶσι, μηδένα τῶν βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν, μηδὲ τὰς πύλας ἀνοίξειν. Ἐκ τούτου καὶ πρὸς τὸν Δημήτριον εἰρήνην ἐποιήσατο, καὶ μετ' ὀλίγον χρόνον, εἰς Ἀσίαν ἀπάραντος αὐτοῦ, πάλιν πεισθεὶς ὑπὸ Λυσιμάχου, Θετταλίαν ἀφίστη, καὶ ταῖς Ἑλληνικαῖς φρουραῖς προσεπολέμει, βελτίοσι χρώμενος τοῖς Μακεδόσι στρατευομένοις, ἢ σχολάζουσι· καὶ ὅλως, αὐτὸς οὐκ εὖ πρὸς ἡσυχίαν πεφυκώς. Τέλος δὲ, Δημητρίου καταπολεμηθέντος ἐν Συρίᾳ, Λυσίμαχος ἐπ' ἀδείας γενόμενος καὶ σχολάζων, εὐθὺς ἐπὶ τὸν Πύῤῥον ὥρμησε. Καὶ καθημένου περὶ τὴν Ἔδεσσαν αὐτοῦ, ταῖς ἀγοραῖς κομιζομέναις ἐπιπεσὼν καὶ κρατήσας, ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν· εἶτα γράμμασι καὶ λόγοις διέφθειρε τοὺς πρώτους τῶν Μακεδόνων, ὀνειδίζων, εἰ ξένον ἄνδρα, καὶ προγόνων ἀεὶ δεδουλευκότων Μακεδόσι, δεσπότην ἑλόμενοι, τοὺς Ἀλεξάνδρου φίλους καὶ συνήθεις ἀπωθοῦσι Μακεδονίας. Ἀναπειθομένων δὲ πολλῶν, δείσας ὁ Πύῤῥος ἀπηλλάγη μετὰ τῆς Ἠπειρωτικῆς καὶ συμμαχικῆς δυνάμεως, ἀποβαλὼν Μακεδονίαν ᾧ τρόπῳ παρέλαβεν. Ὅθεν οὐδ' αἰτιᾶσθαι τοὺς πολλοὺς ἔχουσιν οἱ βασιλεῖς, μετατιθεμένους πρὸς τὸ συμφέρον. Ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες, ἀπιστίας καὶ προδοσίας διδασκάλους ὄντας, καὶ πλεῖστα νομίζοντας ὠφελεῖσθαι τὸν ἐλάχιστα τῷ δικαίῳ χρώμενον.

ΙΓ. Τότε δ' οὖν εἰς Ἤπειρον ἐκπεσόντι τῷ Πύῤῥῳ, καὶ προεμένῳ Μακεδονίαν, ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς παροῦσιν ἀπραγμόνως, καὶ ζῆν ἐν εἰρήνῃ βασιλεύοντα τῶν οἰκείων· ὁ δὲ τὸ μὴ παρέχειν ἑτέροις κακὰ, μηδ' ἔχειν ὑφ' ἑτέρων, ἄλυν τινὰ ναυτιώδη νομίζων, ὥσπερ ὁ Ἀχιλλεὺς, οὐκ ἔφερε τὴν σχολὴν,

Ἀλλὰ φθινύθεσκε φίλον κῆρ,
Αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.

Δεόμενος δ' οὖν ἔλαβε πραγμάτων καινῶν τοιαύτην ὑπόθεσιν. Ῥωμαῖοι Ταραντίνοις ἐπολέμουν. Οἱ δὲ μήτε φέρειν τὸν πόλεμον

δυνάμενοι, μήτε θέσθαι, θρασύτητι καὶ μοχθηρίᾳ δημαγωγῶν, ἐβουλεύοντο ποιεῖσθαι Πύῤῥον ἡγεμόνα, καὶ καλεῖν ἐπὶ τὸν πόλεμον, ὡς σχολὴν ἄγοντα πλείστην τῶν βασιλέων, καὶ στρατηγὸν ὄντα δεινότατον. Τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν οἱ μὲν ἄντικρυς ἐνιστάμενοι πρὸς τὴν γνώμην, ἐξέπιπτον ὑπὸ κραυγῆς καὶ βίας τῶν πολεμοποιῶν. Οἱ δὲ, ταῦτα ὁρῶντες, ἀπέλειπον τὰς ἐκκλησίας. Εἷς δέ τις ἀνὴρ ἐπιεικὴς, Μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ τὸ δόγμα κυροῦν ἔμελλον, ἐνστάσης, καὶ τοῦ δήμου καθεζομένου, λαβὼν στέφανον τῶν ἑώλων, καὶ λαμπάδιον, ὥσπερ οἱ μεθύοντες, αὐλητρίδος ὑφηγουμένης αὐτῷ, πρὸς τὴν ἐκκλησίαν ἐκώμασεν. Οἷα δ' ἐν ὄχλῳ δημοκρατίας κόσμον οὐκ ἐχούσης, οἱ μὲν ἐκρότουν ἰδόντες, οἱ δ' ἐγέλων, ἐκώλυε δ' οὐδεὶς, ἀλλὰ καὶ τὸ γύναιον αὐλεῖν, κἀκεῖνον ᾄδειν ἐκέλευον εἰς μέσον προελθόντα· καὶ τοῦτο ποιήσειν ἐπίδοξος ἦν. Γενομένης δὲ σιωπῆς· Ἄνδρες, ἔφη, Ταραντῖνοι, καλῶς ποιεῖτε, [τοῦ] παίζειν καὶ κωμάζειν, ἕως ἔξεστι, τοῖς βουλομένοις μὴ φθονοῦντες. Ἐὰν δὲ σωφρονῆτε, καὶ πάντες ἀπολαύσετε *ἔτι* τῆς ἐλευθερίας, ὡς ἕτερα πράγματα καὶ βίον καὶ δίαιταν ἕξοντες, ὅταν Πύῤῥος εἰς τὴν πόλιν παραγένηται. Ταῦτα ῥηθέντα τοὺς πολλοὺς ἔπεισε τῶν Ταραντίνων, καὶ θροῦς διέδραμε τῆς ἐκκλησίας, ὡς εὖ λεγομένων. Οἱ δὲ τοὺς Ῥωμαίους δεδιότες, μὴ γενομένης εἰρήνης ἐκδοθῶσι, τόν τε δῆμον ἐλοιδόρουν, εἰ φέρει πρᾴως ἐπικωμαζόμενος οὕτως ἀσελγῶς, καὶ παροινούμενος, τόν τε Μέτωνα συστραφέντες ἐξέβαλον. Οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου, πρέσβεις ἔπεμψαν εἰς Ἤπειρον, οὐχ αὑτῶν μόνων, ἀλλὰ καὶ τῶν Ἰταλιωτῶν, δῶρα τῷ Πύῤῥῳ κομίζοντας, καὶ λέγοντας, ὡς ἡγεμόνος ἔμφρονος δέονται καὶ δόξαν ἔχοντος. Δυνάμεις δ' αὐτόθεν ὑπάρξουσι μεγάλαι παρά τε Λευκανῶν καὶ Μεσσαπίων, καὶ Σαυνιτῶν, καὶ Ταραντίνων εἰς δυσμυρίους ἱππεῖς· πεζῶν δ' ὁμοῦ πέντε καὶ τριάκοντα

μυριάδας. Ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν Πύῤῥον, ἀλλὰ καὶ τοῖς Ἠπειρώταις προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας.

ΙΔ. Ἦν δέ τις Κινέας, Θεσσαλὸς ἀνὴρ, τῷ μὲν φρονεῖν δοκῶν ἱκανὸς εἶναι, Δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς, ἐδόκει μόνος μάλιστα τῶν τότε λεγόντων, οἷον ἐν εἰκόνι, τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν τοὺς ἀκούοντας. Συνὼν δὲ τῷ Πύῤῥῳ, καὶ πεμπόμενος ἐπὶ τὰς πόλεις, ἐβεβαίου τὸ Εὐριπίδειον, ὅτι πᾶν

ἐξαιρεῖ λόγος,
Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν.

ὁ γοῦν Πύῤῥος ἔλεγε, πλείονας πόλεις ὑπὸ Κινέου τοῖς λόγοις, ἢ τοῖς ὅπλοις ὑφ' ἑαυτοῦ προσῆχθαι· καὶ διετέλει τὸν ἄνδρα τιμῶν ἐν τοῖς μάλιστα καὶ χρώμενος. Οὗτος οὖν τὸν Πύῤῥον, ὡρμημένον τότε ὁρῶν ἐπὶ τὴν Ἰταλίαν, εἰς λόγους ἐπηγάγετο τοιούτους, ἰδὼν σχολάζοντα· Πολεμισταὶ μὲν, ὦ Πύῤῥε, Ῥωμαῖοι λέγονται, καὶ πολλῶν ἐθνῶν μαχίμων ἄρχοντες· εἰ δὲ δοίη θεὸς περιγενέσθαι τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ; Καὶ ὁ Πύῤῥος· Ἐρωτᾷς, εἶπεν, ὦ Κινέα, πρᾶγμα φαινόμενον· οὔτε βάρβαρος ἡμῖν ἐκεῖ πόλις, οὔτε Ἑλληνὶς ἀξιόμαχος, Ῥωμαίων κρατηθέντων· ἀλλ' ἕξομεν εὐθὺς Ἰταλίαν ἅπασαν, ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ που τινὶ μᾶλλον ἀγνοεῖν, ἢ σοὶ, προσήκει. Μικρὸν οὖν ἐπισχὼν ὁ Κινέας· Ἰταλίαν δ', εἶπεν, ὦ βασιλεῦ, λαβόντες, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος, οὔπω τὴν διάνοιαν αὐτοῦ καθορῶν· Ἐγγὺς, εἶπεν, ἡ Σικελία χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἁλῶναι δὲ ῥάστη. Στάσις γὰρ, ὦ Κινέα, πάντα νῦν ἐκεῖνα καὶ ἀναρχία πόλεων, καὶ δημαγωγῶν ὀξύτης, Ἀγαθοκλέους ἐκλελοιπότος. Εἰκότα, ἔφη, λέγεις, ὁ Κινέας· ἀλλ' ἦ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν Σικελίαν; Θεὸς, ἔφη ὁ Πύῤῥος, νικᾷν διδοίη καὶ κατορθοῦν· τούτοις δὲ προαγῶσι χρησόμεθα πραγμάτων μεγάλων.

Τίς

Τίς γὰρ ἂν ἀπόσχοιτο Λιβύης καὶ Καρχηδόνος ἐν ἐφικτῷ γενομένης, ἣν Ἀγαθοκλῆς ἀποδρὰς ἐκ Συρακουσῶν κρύφα, καὶ περάσας ναυσὶν ὀλίγαις, λαβεῖν παρ' οὐδὲν ἦλθεν; ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν οὐδεὶς ἀντιςήσεται τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις; Οὐδὲν, ὁ Κινέας εἶπε· δῆλον γὰρ, ὅτι καὶ Μακεδονίαν ἀναλαβεῖν, καὶ τῆς Ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως ἀπὸ τηλικαύτης δυνάμεως. Γενομένων δὲ πάντων ὑφ' ἡμῖν, τί ποιήσομεν; Καὶ ὁ Πύῤῥος ἐπιγελάσας· Σχολὴν, ἔφη, ἄξομεν πολλὴν, καὶ κώθων, ὦ μακάριε, καθημερινὸς ἔςαι, καὶ διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν. Ἐνταῦθα δὴ τοῦ λόγου καταςήσας τὸν Πύῤῥον ὁ Κινέας· Εἶτα, ἔφη, τί νῦν ἐμποδὼν ἐςιν ἡμῖν βουλομένοις, κώθωνι χρήσασθαι καὶ σχολάζειν μετ' ἀλλήλων, εἰ ταῦτ' ἔχομεν ἤδη, καὶ πάρεςιν ἀπραγμόνως, ἐφ' ἃ δι' αἵματος καὶ πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι, πολλὰ καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες; Τούτοις τοῖς λόγοις ἠνίασε μᾶλλον, ἢ μετέθηκε τὸν Πύῤῥον ὁ Κινέας, νοήσαντα μὲν ὅσην ἀπέλιπεν εὐδαιμονίαν, ὧν δ' ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον.

ΙΕ. Πρῶτον μὲν οὖν ἀπέςειλε τὸν Κινέαν τοῖς Ταραντίνοις, ςρατιώτας ἄγοντα τρισχιλίους· ἔπειτα πολλῶν ἱππηγῶν καὶ καταφράκτων, καὶ πορθμείων παντοδαπῶν ἐκ Τάραντος κομισθέντων, ἐνεβίβασεν ἐλέφαντας εἴκοσι, καὶ τρισχιλίους ἱππεῖς, πεζοὺς δὲ δισμυρίους, καὶ δισχιλίους τοξότας, καὶ σφενδονήτας πεντακοσίους. Γενομένων δὲ πάντων ἑτοίμων, ἀναχθεὶς ἔπλει· καὶ μέσον ἔχων τὸν Ἰόνιον, ἁρπάζεται βορέᾳ ἀνέμῳ, παρ' ὥραν ἐκραγέντι. Καὶ βιασθεὶς, αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ κυβερνητῶν ἐξανέφερε, καὶ προσανῆγε τῇ γῇ πολυπόνως καὶ παραβόλως. Τοῦ δ' ἄλλου ςόλου συσχεθέντος, καὶ τῶν νεῶν σκεδασθεισῶν, αἱ μὲν ἀποσφαλεῖσαι τῆς Ἰταλίας ἐξεώσθησαν εἰς τὸ Λιβυκὸν καὶ Σικελικὸν πέλαγος· τὰς δ' ὑπερβαλεῖν μὴ δυνη-

θείσας ἄκραν Ἰαπυγίαν νύξ τε κατελάμβανε, καὶ πολλὴ καὶ χαλεπὴ θάλασσα παίουσα πρὸς χωρία δύσορμα καὶ τυφλὰ, πάσας διέφθειρε, πλὴν τῆς βασιλικῆς. Αὕτη δὲ, πλαγίου μὲν ἔτι ὄντος τοῦ κύματος, ἠμύνετο, καὶ διέφυγε μεγέθει καὶ ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης. Ἐπεὶ δὲ περιελθὸν ἀπὸ γῆς ἀπήντα τὸ πνεῦμα, καὶ κίνδυνον εἶχεν ἡ ναῦς ἀντίπρωρος ἱσαμένη πρὸς κλύδωνα πολὺν ἀναῤῥαγῆναι· τὸ δὲ ἐφέντας αὖθις ἠγριωμένῳ πελάγει καὶ πνεύματι, τροπὰς λαμβάνοντι παντοδαπὰς, φέρεσθαι φοβερώτατον ἐφαίνετο τῶν παρόντων κακῶν· ἄρας ὁ Πύῤῥος αὑτὸν ἀφῆκεν εἰς θάλασσαν, καὶ τῶν φίλων καὶ τῶν δορυφόρων εὐθὺς ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. Ἡ δὲ νὺξ καὶ τὸ κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς χαλεπὴν ἐποίει τὴν βοήθειαν· ὥστε μόλις τῆς ἡμέρας ἤδη μαραινομένου τοῦ πνεύματος ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν, τῷ μὲν σώματι παντάπασιν ἀδυνάτως ἔχοντα, τόλμῃ δὲ καὶ ῥώμῃ τῆς ψυχῆς ἀνταίροντα πρὸς τὴν ἀπορίαν. Ἅμα δὲ οἵ τε Μεσσάπιοι, καθ' οὓς ἐξεβράσθη, συνέθεον βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως, καὶ προσεφέροντο τῶν σωζομένων ἔνιαι νεῶν· ἐν αἷς ἦσαν ἱππεῖς μὲν ὀλίγοι παντάπασι, πεζοὶ δὲ δισχιλίων ἐλάττους, ἐλέφαντες δὲ δύο·

Ις. Τούτους ἀναλαβὼν ὁ Πύῤῥος ἐβάδιζεν εἰς Τάραντα. Καὶ τοῦ Κινέου προαγαγόντος εἰς συνάντησιν, ὡς ᾔσθετο, τοὺς στρατιώτας, παρελθὼν, οὐδὲν ἀκόντων, οὐδὲ πρὸς βίαν ἔπραττε τῶν Ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς θαλάττης, καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. Τηνικαῦτα δὲ ὁρῶν τὸ πλῆθος ἄνευ μεγάλης ἀνάγκης μήτε σώζεσθαι δυνάμενον, μήτε σώζειν, ἀλλ' οἷον, ἐκείνου προπολεμοῦντος, οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γενόμενον, ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν, πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν· ἐκάλει δὲ πρὸς τὰ ὅπλα, καὶ περὶ τοὺς κατα-

λόγους τῶν στρατευομένων ἀπαραίτητος ἦν καὶ λυπηρός· ὥστε πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν, ἀηθείᾳ τοῦ ἄρχεσθαι, δουλείαν μὴ τὸ πρὸς ἡδονὴν ζῆν καλοῦντας. Ἐπεὶ δὲ Λαιβῖνος, ὁ τῶν Ῥωμαίων ὕπατος, ἠγγέλλετο πολλῇ στρατιᾷ χωρεῖν ἐπ' αὐτὸν, ἅμα τὴν Λευκανίαν διαπορθῶν, οὐδέπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ· δεινὸν δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιιδεῖν τοὺς πολεμίους ἐγγυτέρω προσιόντας, ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας κήρυκα πρὸς τοὺς Ῥωμαίους, εἰ φίλον ἐστὶν αὐτοῖς πρὸ πολέμου δίκας λαβεῖν παρὰ τῶν Ἰταλιωτῶν, αὐτῷ δικαστῇ καὶ διαλλακτῇ χρησαμένους. Ἀποκριναμένου δὲ τοῦ Λαιβίνου, μήτε διαλλακτὴν Πύῤῥον αἱρεῖσθαι Ῥωμαίους, μήτε δεδοικέναι πολέμιον, προελθὼν κατεστρατοπέδευσεν ἐν τῷ μεταξὺ πεδίῳ Πανδοσίας πόλεως καὶ Ἡρακλείας. Πυθόμενος δὲ τοὺς Ῥωμαίους ἐγγὺς εἶναι, καὶ πέραν τοῦ Σίριος ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ θέας ἕνεκα· καὶ κατιδὼν τάξιν τε καὶ φυλακὰς καὶ κόσμον αὐτῶν, καὶ τὸ σχῆμα τῆς στρατοπεδείας, ἐθαύμασε, καὶ τῶν φίλων προσαγορεύσας τὸν ἐγγυτάτω· Τάξις μὲν, εἶπεν, ὦ Μεγάκλεις, αὕτη τῶν βαρβάρων οὐ βάρβαρος, τὸ δ' ἔργον εἰσόμεθα. Καὶ διὰ φροντίδος ἔχων ἤδη τὸ μέλλον, ἔγνω τοὺς συμμάχους ἀναμένειν. Τοῖς δὲ Ῥωμαίοις, ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. Οἱ δὲ, ἅπερ ἐκεῖνος ἔγνω περιμένειν, φθῆναι σπεύδοντες, ἐνεχείρουν τῇ διαβάσει, κατὰ πόρον μὲν οἱ πεζοὶ, πολλαχόθεν δὲ οἱ ἱππεῖς διεξελαύνοντες τὸν ποταμόν· ὥστε δείσαντας τὴν κύκλωσιν ἀναχωρεῖν τοὺς Ἕλληνας. Αἰσθόμενον δὲ τὸν Πύῤῥον καὶ διαταραχθέντα, τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ παρεγγυᾶν εὐθὺς εἰς τάξιν καθίστασθαι, καὶ περιμένειν ἐν τοῖς ὅπλοις· αὐτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους ἀτάκτους λήψεσθαι τοὺς Ῥωμαίους. Ἐπεὶ δ'

ἑώρα θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ, καὶ τοὺς ἱππεῖς ἐπελαύνοντας ἐν τάξει, συστρέψας ἐνέβαλε πρῶτος, αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι κεκοσμημένων περιττῶς, καὶ τὴν δόξαν ἐπιδεικνύμενος ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς· μάλιστα δὲ, ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι, καὶ τοὺς καθ' αὐτὸν ἀμυνόμενος ἐῤῥωμένως, οὐ συνεχεῖτο τὸν λογισμὸν, οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν, ἀλλ' ὥσπερ ἔξωθεν ἐφορῶν, διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων ἑκασταχόσε, καὶ παραβοηθῶν τοῖς ἐκβιάζεσθαι δοκοῦσιν. Ἔνθα δὴ Λεοννάτος ὁ Μακεδὼν, ἄνδρα κατιδὼν Ἰταλὸν ἐπέχοντα τῷ Πύῤῥῳ, καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα, καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον· Ὁρᾷς, εἶπεν, ὦ βασιλεῦ, τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας ἵππος ὁ λευκόπους φέρει; μέγα τι βουλευομένῳ καὶ δεινὸν ὅμοιός ἐστι. Σοὶ γὰρ ἐνορᾷ, καὶ πρὸς σὲ τέταται, πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δ' ἄλλους ἐᾷ χαίρειν· ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα. Καὶ ὁ Πύῤῥος ἀπεκρίνατο· Τὸ μὲν εἱμαρμένον, ὦ Λεοννάτε, διαφυγεῖν ἀδύνατον· χαίρων δὲ οὔτε οὗτος, οὔτ' ἄλλος τις Ἰταλῶν εἰς χεῖρας ἡμῖν σύνεισιν. Ἔτι ταῦτα προσδιαλεγομένων, ὁ Ἰταλὸς διαλαβὼν τὸ δόρυ, καὶ συστρέψας τὸν ἵππον, ὥρμησεν ἐπὶ τὸν Πύῤῥον. Εἶτα ἅμα παίει μὲν αὐτὸς τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον, παίει δὲ τὸν ἐκείνου παραλαβὼν ὁ Λεοννάτος. Ἀμφοτέρων δὲ τῶν ἵππων πεσόντων, τὸν μὲν Πύῤῥον οἱ φίλοι περισχόντες ἀνήρπασαν, τὸν δ' Ἰταλὸν μαχόμενον διέφθειραν. Ἦν δὲ τῷ γένει Φρεντανὸς, ἴλης ἡγεμὼν, Ὅπλακος ὄνομα.

ΙΖ. Τοῦτο δ' ἐδίδαξε τὸν Πύῤῥον μᾶλλον φυλάττεσθαι· καὶ τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας, μετεπέμπετο τὴν φάλαγγα καὶ παρέταττεν. Αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα παραδοὺς ἑνὶ τῶν ἑταίρων, Μεγακλεῖ, τοῖς δ' ἐκείνου τρόπον τινὰ κατακρύψας ἑαυτὸν, ἐπῆγε τοῖς Ῥωμαίοις. Δεξαμένων δ' ἐκείνων καὶ

συμβαλόντων, χρόνον τε πολὺν ἑστήκει τὰ τῆς μάχης ἄκριτα, καὶ τροπὰς ἑπτὰ λέγεται φευγόντων ἀνάπαλιν καὶ διωκόντων γενέσθαι. Καὶ γὰρ ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ γεγονυῖα τοῦ βασιλέως, ὀλίγον ἐδέησεν ἀνατρέψαι τὰ πράγματα, καὶ διαφθεῖραι τὴν νίκην. Πολλῶν γὰρ ἐφιεμένων τοῦ Μεγακλέους, ὁ πρῶτος πατάξας καὶ καταβαλὼν αὐτὸν, ὄνομα Δέξιος, ἀφαρπάσας τὸ κράνος καὶ τὴν χλαμύδα, τῷ Λαιβίνῳ προσίππευσεν, ἀναδεικνύων ἅμα καὶ βοῶν ἀνῃρηκέναι τὸν Πύῤῥον. Ἥν οὖν παρὰ τὰς τάξεις τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων, τοῖς τε Ῥωμαίοις χαρὰ μετ᾽ ἀλαλαγμοῦ, καὶ τοῖς Ἕλλησιν ἀθυμία καὶ κατάπληξις. Ἄχρις οὗ μαθὼν ὁ Πύῤῥος τὸ γιγνόμενον παρήλαυνε γυμνῷ τῷ προσώπῳ, τήν τε δεξιὰν ὀρέγων τοῖς μαχομένοις, καὶ τῇ φωνῇ σημαίνων ἑαυτόν. Τέλος δὲ, τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς Ῥωμαίους, καὶ τῶν ἵππων, πρὶν ἐγγὺς γενέσθαι, δυσανασχετούντων καὶ παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν Θεσσαλικὴν ἵππον αὐτοῖς ταρασσομένοις, ἐτρέψατο πολλῷ φόνῳ. Διονύσιος μὲν οὖν ὀλίγῳ τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας πεσεῖν ἱστορεῖ Ῥωμαίων, Ἱερώνυμος δὲ, μόνους ἑπτακισχιλίους· τῶν δὲ περὶ Πύῤῥον, ὁ μὲν Διονύσιος, μυρίους καὶ τρισχιλίους, ὁ δὲ Ἱερώνυμος, ἐλάττονας τῶν τετρακισχιλίων. Κράτιστοι δ᾽ ἦσαν οὗτοι καὶ τῶν φίλων καὶ τῶν στρατηγῶν, οἷς ὁ Πύῤῥος μάλιστα χρώμενος διετέλει, καὶ πιστεύων ἀπέβαλεν. Οὐ μὴν ἀλλὰ καὶ τὸ στρατόπεδον ἔλαβε, τῶν Ῥωμαίων ἐκλιπόντων, καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο, καὶ χώραν πολλὴν διεπόρθησε, καὶ προῆλθεν, ὅσον μὴ πλέον σταδίων τριακοσίων ἀποσχεῖν τῆς Ῥώμης. Ἀφίκοντο δ᾽ αὐτῷ Λευκανῶν τε πολλοὶ καὶ Σαυνιτῶν μετὰ τὴν μάχην· οὓς ἐμέμψατο μὲν ὑστερήσαντας, ἦν δὲ δῆλος ἡδόμενος καὶ μέγα φρονῶν, ὅτι μόνοις τοῖς μετ᾽ αὐτοῦ καὶ Ταραντίνοις ἐκράτησε τῆς μεγάλης Ῥωμαίων δυνάμεως.

ΙΗ. Ῥωμαῖοι δὲ Λαιβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς· καίτοι λέγεται Γάϊον Φαβρίκιον εἰπεῖν, ὡς οὐκ Ἠπειρῶται Ῥωμαίους, ἀλλὰ Πύῤῥος νενικήκει Λαιβῖνον· οἰόμενον, οὐ τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας, γεγονέναι τὴν ἧτταν. Ἀναπληροῦντες δὲ τὰς τάξεις, καὶ συντάττοντες ἑτέρας προθύμως, καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ πολέμου λέγοντες, ἔκπληξιν τῷ Πύῤῥῳ παρεῖχον. Ἔδοξεν οὖν αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν, εἰ συμβατικῶς ἔχοιεν· ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν πόλιν καὶ κρατῆσαι παντάπασιν, οὐ μικρὸν ἔργον, οὐδὲ τῆς παρούσης δυνάμεως εἶναι, τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις κάλλιστα ἔχειν πρὸς δόξαν αὐτῷ μετὰ νίκην. Πεμφθεὶς οὖν ὁ Κινέας ἐνετύγχανε τοῖς δυνατοῖς, καὶ δῶρα παισὶν αὐτῶν καὶ γυναιξὶν ἔπεμψε παρὰ τοῦ βασιλέως. Ἔλαβε δ' οὐδεὶς, ἀλλ' ἀπεκρίναντο πάντες καὶ πᾶσαι, ὅτι, δημοσίᾳ σπονδῶν γενομένων, καὶ τὰ παῤ αὐτῶν ὑπάρξει πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. Πρὸς δὲ τὴν σύγκλητον ἐπαγωγὰ τοῦ Κινέου πολλὰ καὶ φιλάνθρωπα διαλεχθέντος, ἄσμενοι μὲν οὐδὲν οὐδ' ἑτοίμως ἐδέχοντο, καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων ἀφιέντος αὐτοῖς τοῦ Πύῤῥου, καὶ συγκατεργάσασθαι τὴν Ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δ' ἀντὶ τούτων ἑαυτῷ, καὶ τοῖς Ταραντίνοις ἄδειαν, ἕτερον δὲ μηδὲν αἰτουμένου. Δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν εἰρήνην, ἡττημένοι τε μεγάλην μάχην, καὶ προσδοκῶντες ἑτέραν ἀπὸ μείζονος δυνάμεως, τῶν Ἰταλικῶν τῷ Πύῤῥῳ προσγεγονότων. Ἔνθα δὴ Κλαύδιος Ἄππιος, ἀνὴρ ἐπιφανὴς, ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώσεως ὀμμάτων ἀπειρηκὼς πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος, ἀπαγγελλομένων τότε τῶν παρὰ τοῦ βασιλέως, καὶ λόγου κατασχόντος, ὡς μέλλει ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρτέρησεν, ἀλλὰ τοὺς θεράποντας ἄρασθαι κελεύσας αὐτὸν, ἐκομίζετο πρὸς τὸ βουλευτήριον ἐν φορείῳ δι

ἀγορᾶς. Γενόμενον δὲ πρὸς ταῖς θύραις οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς ὑπολαβόντες καὶ περισχόντες εἰσῆγον· ἡ δὲ βουλὴ σιωπὴν, αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς, ἔσχεν.

ΙΘ. Ὁ δ' αὐτόθεν καταστάς· « Πρότερον μὲν (ἔφη) τὴν περὶ τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον, ὦ Ῥωμαῖοι· νῦν δ' ἄχθομαι, πρὸς τῷ τυφλὸς εἶναι, μὴ καὶ κωφὸς ὢν, ἀλλ' ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν, ἀνατρέποντα τῆς Ῥώμης τὸ κλέος. Ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας ἀνθρώπους θρυλλούμενος ἀεὶ λόγος, ὡς, εἰ παρῆν ἐκεῖνος εἰς Ἰταλίαν ὁ μέγας Ἀλέξανδρος, καὶ συνηνέχθη νέοις ἡμῖν καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζουσιν, οὐκ ἂν ὑμνεῖτο νῦν ἀνίκητος, ἀλλ' ἢ φυγὼν ἂν, ἤ που πεσὼν ἐνταῦθα, τὴν Ῥώμην ἐνδοξοτέραν ἀπέλιπε; Ταῦτα μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε, Χάονας καὶ Μολοσσοὺς, τὴν ἀεὶ Μακεδόνων λείαν, δεδιότες, καὶ τρέμοντες Πύῤῥον, ὃς τῶν Ἀλεξάνδρου δορυφόρων ἕνα γοῦν ἀεὶ περιέπων καὶ θεραπεύων διατετέλεκε. Καὶ νῦν οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον Ἕλλησιν, ἢ φεύγων τοὺς ἐκεῖ πολεμίους, πλανᾶται περὶ τὴν Ἰταλίαν, ἐπαγγελλόμενος ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυνάμεως, ᾗ μέρος μικρὸν αὐτῷ Μακεδονίας οὐκ ἤρκεσε διαφυλάξαι. Μὴ τοῦτον οὖν ἀπαλλάξειν νομίζετε, ποιησάμενοι φίλον, ἀλλ' ἐκείνους ἐπάξεσθαι, καταφρονήσαντας ὑμῶν, ὡς πᾶσιν εὐκατεργάστων, εἰ Πύῤῥος ἄπεισι, μὴ δοὺς δίκην ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν, τοῦ ἐπεγγελάσαι Ῥωμαίοις, Ταραντίνους καὶ Σαυνίτας ». Τοιαῦτα τοῦ Ἀππίου διαλεχθέντος, ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐτοῖς, καὶ τὸν Κινέαν ἀποπέμπουσιν, ἀποκρινάμενοι· Πύῤῥον, ἐξελθόντα τῆς Ἰταλίας, οὕτως, εἰ δέοιτο, περὶ φιλίας καὶ συμμαχίας διαλέγεσθαι· μέχρι δ' οὗ πάρεστιν ἐν ὅπλοις, πολεμήσειν αὐτῷ Ῥωμαίους κατὰ κράτος, κἂν ἔτι μυρίους Λαιβίνους τρέψηται μαχόμενος. Λέγεται δὲ Κινέαν, ἐν ᾧ ταῦτ' ἔπραττεν, ἅμα ποιησάμενον ἔργον

καὶ σπουδάσαντα, τῶν τε βίων γενέσθαι θεατὴν, καὶ τῆς πολιτείας τὴν ἀρετὴν κατανοῆσαι, καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίςοις, τά τ' ἄλλα τῷ Πύῤῥῳ φράσαι, καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη· περὶ δὲ τοῦ πλήθους δεδιέναι, μὴ πρός τινα φανῶσι Λερναίαν ὕδραν μαχόμενοι. Διπλασίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν παρατεταγμένων πρότερον ἠθροῖσθαι, καὶ πολλάκις εἶναι τοσούτους ἔτι τῶν Ῥωμαίων ὅπλα φέρειν δυναμένους.

Κ. Ἐκ τούτου πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων οἱ περὶ Γάϊον Φαβρίκιον, οὗ πλεῖστον ἔφη Ῥωμαίους λόγον ἔχειν ὁ Κινέας, ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος δὲ ἰσχυρῶς. Τοῦτον οὖν ὁ Πύῤῥος ἰδίᾳ φιλοφρονούμενος ἔπειθε λαβεῖν χρυσίον, ἐπ' οὐδενὶ δῆθεν αἰσχρῷ, φιλίας δέ τι τοῦτο καὶ ξενίας ἐπονομάζων σύμβολον. Ἀπωσαμένου δὲ τοῦ Φαβρικίου, τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ βουλόμενος αὐτὸν ἐκπλῆξαι, μήπω θεατὴν ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξόπισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις, αὐλαίαν παρατείναντας. Ἐγένετο δὴ ταῦτα, καὶ σημείου δοθέντος, ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε προνομαίαν ἀράμενον, ὑπερέσχε τῆς κεφαλῆς τοῦ Φαβρικίου, καὶ φωνὴν ἀφῆκε φοβερὰν καὶ τραχεῖαν. Ὁ δ', ἠρέμα μεταστραφεὶς, καὶ διαμειδιάσας, πρὸς τὸν Πύῤῥον εἶπεν· « Οὔτε χθές με τὸ χρυσίον ἐκίνησεν, οὔτε σήμερον τὸ θηρίον». Ἐν δὲ τῷ δείπνῳ λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ περὶ τῆς Ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως ὁ Κινέας ἐπιμνησθεὶς τοῦ Ἐπικούρου, καὶ διῆλθεν, ἃ λέγουσι περὶ θεῶν, καὶ πολιτείας, καὶ τέλους, τὸ μὲν ἐν ἡδονῇ τιθέμενοι, πολιτείαν δὲ φεύγοντες, ὡς βλάβην καὶ σύγχυσιν τοῦ μακαρίου, τὸ δὲ θεῖον ἀπωτάτω χάριτος καὶ ὀργῆς, καὶ τοῦ μέλειν ἡμῶν, εἰς ἀπράγμονα βίον καὶ μεστὸν εὐπαθειῶν ἀποικίζοντες. Ἔτι δ' αὐτοῦ λέγοντος, ἀνακραγὼν ὁ Φαβρίκιος· Ὦ Ἡράκλεις, εἶπε, Πύῤῥῳ τὰ δόγματα μέλοι ταῦτα

καὶ Σαυνίταις, ἕως πολεμοῦσι πρὸς ἡμᾶς. Οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ ἦθος ὁ Πύῤῥος, ἔτι μᾶλλον ὠρέγετο φιλίαν ἀντὶ πολέμου πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι· κἀκεῖνον ἰδίᾳ παρεκάλει ποιησάμενον τὰς διαλύσεις, ἕπεσθαι καὶ συζῆν μετ' αὐτοῦ, πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν. Ὁ δ' ἡσυχῆ λέγεται πρὸς αὐτὸν εἰπεῖν· «Ἀλλ' οὔ σοι τοῦτο, βασιλεῦ, λυσιτελές ἐστιν. Αὐτοὶ γὰρ οἱ νῦν σε τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ' ἐμοῦ μᾶλλον ἐθελήσουσιν, ἢ σοῦ, βασιλεύεσθαι». Τοιοῦτος μὲν ὁ Φαβρίκος. Ὁ δὲ Πύῤῥος οὐ πρὸς ὀργὴν, οὐδὲ τυραννικῶς ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγειλε τοῦ Φαβρικίου τὴν μεγαλοφροσύνην, καὶ τοὺς αἰχμαλώτους ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως, εἰ μὴ ψηφίσαιτο τὴν εἰρήνην ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας, καὶ τὰ Κρόνια διεορτάσαντες ἀποπεμφθεῖεν πάλιν πρὸς αὐτόν. Καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτὴν, τῷ ὑπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης.

ΚΑ. Μετὰ ταῦτα τοῦ Φαβρικίου τὴν ἀρχὴν παραλαβόντος, ἧκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν, ἐπιστολὴν κομίζων, ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς, ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν Πύῤῥον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογηθείη, λύσαντι τὸν πόλεμον ἀκινδύνως. Ὁ δὲ Φαβρίκιος, δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου, καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν Πύῤῥον κατὰ τάχος, φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. Εἶχε δ' οὕτως τὰ γεγραμμένα. «Γάϊος Φαβρίκιος καὶ Κόϊντος Αἰμύλιος, ὕπατοι Ῥωμαίων, Πύῤῥῳ βασιλεῖ χαίρειν. Οὔτε φίλων εὐτυχὴς ἔοικας εἶναι κριτὴς, οὔτε πολεμίων. Γνώσῃ δὲ, τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνοὺς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. Οὐδὲ γὰρ ταῦτα σῇ χάριτι μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ, καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ δυνά-

μενοι, κατεργάσασθαι τὸν πόλεμον ». Ἐντυχὼν τούτοις τοῖς γράμμασιν ὁ Πύῤῥος, καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας, τὸν μὲν ἰατρὸν ἐκόλασε, Φαβρικίῳ δὲ καὶ Ῥωμαίοις ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους· καὶ πάλιν ἔπεμψε τὸν Κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρήνην. Οἱ δὲ Ῥωμαῖοι, μήτ' εἰ χάρις ἐςὶ παρὰ πολεμίου, μήτ' εἰ μισθὸς τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄνδρας ἀξιώσαντες, ἴσους ἀπέλυσαν αὐτῷ Ταραντίνων καὶ Σαυνιτῶν. Περὶ δὲ φιλίας καὶ εἰρήνης οὐδὲν εἴων διαλέγεσθαι, πρὶν ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν, ἐξ Ἰταλίας, αἷς ἦλθε ναυσὶν, ἀποπλεύσῃ πάλιν εἰς Ἤπειρον. Ἐκ τούτου, μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων, ἀναλαβὼν τὴν στρατιὰν ἐχώρει, καὶ περὶ Ἄσκλον πόλιν τοῖς Ῥωμαίοις συνάψας, καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν ἑλώδη καὶ τραχὺν, ἔφοδον τῶν θηρίων οὐ λαβόντων, ὥστε προσμίξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γενομένων καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισάμενος. Τῇ δ' ὑςεραίᾳ στρατηγῶν δι' ὁμαλοῦ τὴν μάχην θέσθαι, καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πολεμίων, προέλαβε τὰς δυσχωρίας φυλακῇ, καὶ πολλὰ καταμίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις, ἐπῆγε μετὰ ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. Οἱ δὲ Ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες, ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα· καὶ σπεύδοντες ὤσασθαι τοὺς ὁπλίτας, πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσσας τῶν ξιφῶν ἀγῶνας εἶχον, ἀφειδοῦντες ἑαυτῶν, καὶ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν εἰς οὐδὲν τιθέμενοι. Χρόνῳ δὲ πολλῷ λέγεται μὲν ἀρχὴ τροπῆς κατ' αὐτὸν γενέσθαι τὸν Πύῤῥον, ἐπερείσαντα τοῖς ἀντιτεταγμένοις. Τὸ δὲ πλεῖστον ἀλκῇ καὶ βίᾳ τῶν ἐλεφάντων κατειργάσατο, χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν μάχην τῶν Ῥωμαίων μὴ δυναμένων, ἀλλ' οἷον ἐφόδῳ κύματος, ἢ σεισμοῦ κατερείποντος,

οἰομένων δεῖν ἐξίστασθαι, μηδ' ὑπομένειν ἀπράκτους ἀποθνήσκειν, ἐν τῷ μηδὲν ὠφελεῖν, πάντα πάσχοντας τὰ χαλεπώτατα. Τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γενομένης, ἑξακισχιλίους ἀποθανεῖν φησὶ τῶν Ῥωμαίων Ἱερώνυμος· τῶν δὲ περὶ Πύῤῥον ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀνενεχθῆναι τρισχιλίους πεντακοσίους καὶ πέντε τεθνηκότας. Ὁ μέντοι Διονύσιος οὔτε δύο περὶ Ἄσκλον μάχας, οὔτε ὁμολογουμένην ἧτταν ἱστορεῖ γενέσθαι Ῥωμαίων· ἅπαξ δὲ μέχρι δυσμῶν ἡλίου μαχεσαμένους μόλις ἀπαλλαγῆναι, τοῦ Πύῤῥου τρωθέντος ὑσσῷ τὸν βραχίονα, καὶ τὴν ἀποσκευὴν ἅμα Σαυνιτῶν διαρπασάντων· ἀποθανεῖν δὲ καὶ Πύῤῥου καὶ Ῥωμαίων ἄνδρας ὑπὲρ μυρίους πεντακισχιλίους ἑκατέρων. Διελύθησαν δ' ἀμφότεροι, καὶ λέγεται, τὸν Πύῤῥον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ· «Ἂν ἔτι » μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολούμεθα παντελῶς». Πολὺ μὲν γὰρ ἀπολώλει μέρος, ἧς ἄγων ἧκε δυνάμεως, φίλοι δὲ καὶ στρατηγοὶ, πλὴν ὀλίγων, ἅπαντες. Μεταπέμπεσθαι δ' οὐκ ἦσαν ἕτεροι, καὶ τοὺς αὐτόθι συμμάχους, ἀμβλυτέρους ἑώρα· τοῖς δὲ Ῥωμαίοις, ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιῤῥεούσης, ἀναπληρούμενον εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον, καὶ ταῖς ἥτταις οὐκ ἀποβάλλοντας τὸ θαῤῥεῖν, ἀλλὰ ῥώμην καὶ φιλοτιμίαν ὑπ' ὀργῆς ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας.

ΚΒ. Ἐν τοιαύταις δ' ὢν ἀπορίας, εἰς ἐλπίδας αὖ πάλιν κενὰς ἐνέπεσε, καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης. Ἅμα γὰρ ἧκον ἐκ μὲν Σικελίας ἄνδρες, Ἀκράγαντα καὶ Συρακούσας καὶ Λεοντίνους ἐγχειρίζοντες αὐτῷ, καὶ δεόμενοι Καρχηδονίους τε συνεκβαλεῖν, καὶ τῶν τυράννων ἀπαλλάξαι τὴν νῆσον· ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες, ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπόλωλε συμπεσὼν Γαλάταις μετὰ τῆς δυνάμεως, καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα δεομένοις βασιλέως Μακεδόσι παραγένοιτο. Πολλὰ δὴ τὴν τύχην μεμψάμενος, ὅτι πράξεων μεγάλων

ὑποθέσεις εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε, καὶ νομίζων, ὡς ἀμφοτέρων ὑπαρχουσῶν, ἀπολλύναι θατέραν, διηνέχθη τοῖς λογισμοῖς πολὺν χρόνον. Εἶτα, τοῖς Σικελικοῖς μειζόνων ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι δοκούσης, ἐπὶ ταῦτα τρέψας, Κινέαν μὲν εὐθὺς ἐξέπεμψε προδιαλεξόμενον, ὥσπερ εἰώθει, ταῖς πόλεσιν. Αὐτὸς δὲ τοῖς Ταραντίνοις δυσανασχετοῦσιν ἐμβαλὼν φρουρὰν, καὶ ἀξιοῦσιν, ἢ παρέχειν ἐφ' οἷς ἧκε, συμπολεμοῦντα Ῥωμαίοις, ἢ τὴν χώραν προέμενον αὐτῶν ἀπολιπεῖν τὴν πόλιν, οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκρινάμενος, ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν, καὶ περιμένειν τὸν ἑαυτοῦ καιρὸν, ἐξέπλευσεν. Ἁψαμένῳ δ' αὐτῷ Σικελίας, ἃ μὲν ἤλπισεν, εὐθὺς ἀπήντα βέβαια, καὶ παρεῖχον αἱ πόλεις ἑαυτὰς προθύμως. Τῶν δ' ἀγῶνος καὶ βίας δεηθέντων οὐδὲν ἀντεῖχε τὸ πρῶτον, ἀλλὰ τρισμυρίοις πεζοῖς, καὶ δισχιλίοις πεντακοσίοις ἱππεῦσι, καὶ διακοσίαις ναυσὶν ἐπιὼν, τούς τε Φοίνικας ἐξῄρει, καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν. Τοῦ δ' Ἔρυκος ὀχυρωτάτου τῶν χωρίων ὄντος, καὶ πολλοὺς [τοὺς] ἀμυνομένους ἔχοντος, ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. Καὶ τῆς στρατιᾶς γενομένης ἑτοίμης, ἐνεδύσατο τὴν πανοπλίαν, καὶ προσελθὼν ηὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα καὶ θυσίαν ἀριστεῖον, ἂν τοῦ γένους καὶ τῶν ὑπαρχόντων ἄξιον ἀγωνιστὴν αὐτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν Ἕλλησι. Τῇ δὲ σάλπιγγι σημήνας, καὶ τοῖς βέλεσι τοὺς βαρβάρους ἀνασκεδάσας, καὶ τὰς κλίμακας προσαγαγὼν, πρῶτος ἐπέβη τοῦ τείχους. Ἀντιστάντων δὲ πολλῶν, ἀμυνόμενος, τοὺς μὲν ἐξέωσε τοῦ τείχους ἐπ' ἀμφότερα, καὶ κατέβαλε, πλείστους δὲ περὶ αὐτὸν, τῷ ξίφει χρώμενος, ἐσώρευσε νεκρούς. Ἔπαθε δ' αὐτὸς οὐδὲν, ἀλλὰ καὶ προσιδεῖν δεινὸς ἐφάνη τοῖς πολεμίοις, καὶ τὸν Ὅμηρον ἔδειξεν ὀρθῶς καὶ μετ' ἐμπειρίας ἀποφαίνοντα, τῶν ἀρετῶν μόνην τὴν ἀνδρείαν φορὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς φερομένην. Ἁλούσης δὲ τῆς πόλεως,

ἔθυσέ τε τῷ θεῷ μεγαλοπρεπῶς, καὶ θέας ἀγώνων παντοδαπῶν παρέσχε.

ΚΓ. Τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτίνων δὲ καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων, ἐνίους δὲ καὶ φόροις πεποιημένων ὑποτελεῖς, πολλῶν δὲ καὶ μαχίμων ὄντων (δι' ὃ καὶ προσηγορεύθησαν Ἀρήϊοι γλώσσῃ τῇ Λατίνων), τοὺς μὲν φορολόγους συλλαβὼν ἀπέκτεινεν, αὐτοὺς δὲ νικήσας μάχῃ, πολλὰ τῶν φρουρίων ἐξέκοψε. Καρχηδονίοις δὲ συμβατικῶς ἔχουσι, καὶ χρήματα βουλομένοις τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν, ἀπεκρίνατο πλειόνων ἐφιέμενος, μίαν εἶναι διάλυσιν καὶ φιλίαν πρὸς αὐτοὺς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν, ὅρῳ χρῶντο τῇ Λιβυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας. Εὐτυχίᾳ δὲ καὶ ῥώμῃ τῶν παρόντων ἐπαιρόμενος, καὶ διώκων τὰς ἐλπίδας ἐφ' αἷς ἀπ' ἀρχῆς ἔπλευσε, πρώτης δὲ Λιβύης ἐφιέμενος, καὶ ναῦς ἔχων πολλὰς πληρωμάτων ἐπιδεεῖς, ἤγειρεν ἐρέτας, οὐκ ἐπιεικῶς ἐντυγχάνων, οὐδὲ πρᾴως ταῖς πόλεσιν, ἀλλὰ δεσποτικῶς καὶ πρὸς ὀργὴν βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς ὢν, οὐδ' ἐν ἀρχῇ τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων, τῷ πρὸς χάριν ὁμιλεῖν, καὶ πάντα πιστεύειν, καὶ μηδὲν ἐνοχλεῖν, ὑπαγόμενος· εἶτα γενόμενος ἐκ δημαγωγοῦ τύραννος, ἀχαριστίας τῇ χαλεπότητι καὶ ἀπιστίας προσωφλίσκανε δόξαν. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν, ὡς ἀναγκαῖα, συνεχώρουν, καίπερ δυσφοροῦντες. Ἐπεὶ δὲ Θοίνωνα καὶ Σώστρατον, ἄνδρας ἡγεμονικοὺς ἐν Συρακούσαις, οἳ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν, καὶ τὰ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτ' ἄγειν σὺν αὐτῷ, μήτ' ἀπολιπεῖν βουλόμενος, ἐν ὑποψίαις εἶχε, καὶ Σώστρατος μὲν ἀπέστη φοβηθεὶς, Θοίνωνα δὲ τὰ αὐτὰ φρονεῖν αἰτιασάμενος ἀπέκτεινεν· οὐ κατὰ μικρὸν, οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων, ἀλλὰ δεινοῦ τινος μίσους ἐγγενομένου ταῖς πόλεσι

πρὸς αὐτὸν, αἱ μὲν προσετίθεντο Καρχηδονίοις, αἱ δ' ἐπήγοντο Μαμερτίνους. Ἀποστάσεις δ' ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς, καὶ σύστασιν ἰσχυρὰν ἐπ' αὐτὸν, ἐδέξατο γράμματα Σαυνιτῶν καὶ Ταραντίνων, μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς πρὸς τὸν πόλεμον, εἰργομένων δὲ τῆς χώρας ἁπάσης, καὶ δεομένων βοηθεῖν. Τοῦτο δ' ἦν εὐπρέπεια, μὴ φυγὴν εἶναι, μηδ' ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν αὐτόθι πραγμάτων· τὸ δ' ἀληθὲς, οὐ δυνάμενος κρατεῖν Σικελίας, ὥσπερ νεὼς ταραχθείσης, ἀλλ' ἔκβασιν ζητῶν, αὖθις ἔῤῥιψεν ἑαυτὸν εἰς Ἰταλίαν. Λέγεται δ', ἀπαλλαττόμενος ἤδη, πρὸς τὴν νῆσον ἀπιδὼν εἰπεῖν τοῖς περὶ αὐτόν· «Οἵαν ἀπολείπομεν, ὦ φίλοι, Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν!» Καὶ τοῦτο μὲν, ὥσπερ εἰκάσθη, μετ' οὐ πολὺν χρόνον ἐγένετο.

ΚΔ. Τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας ἀπέβαλε τῶν νεῶν πολλὰς, ταῖς δ' ἄλλαις κατέφυγε πρὸς τὴν Ἰταλίαν. Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους προδιαβάντες, ἀντιτάξασθαι μὲν ἐφοβήθησαν, ἐν δὲ ταῖς δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες, ἅπαν τὸ στράτευμα συνετάραξαν. Ἔπεσε δὲ δύο θηρία, καὶ συχνοὶ τῶν ὀπισθοφυλακούντων ἀπέθνησκον. Αὐτὸς οὖν ἀπὸ τοῦ στόματος παρελάσας, ἠμύνετο καὶ διεκινδύνευε πρὸς ἄνδρας ἠσκημένους μάχεσθαι καὶ θυμοειδεῖς. Πληγεὶς δὲ τὴν κεφαλὴν ξίφει, καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς, ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. Εἷς δὲ καὶ πολὺ πρὸ τῶν ἄλλων ἐπιδραμὼν, ἀνὴρ τῷ τε σώματι μέγας καὶ τοῖς ὅπλοις λαμπρὸς, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ, καὶ προελθεῖν ἐκέλευεν αὐτὸν, εἰ ζῇ. Παροξυνθεὶς δ' ὁ Πύῤῥος, ἐπέστρεψε βίᾳ μετὰ τῶν ὑπασπιστῶν, καὶ μετ' ὀργῆς αἵματι πεφυρμένος, καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον, ὠσάμενος διὰ αὐτῶν, καὶ φθάσας τὸν βάρβαρον ἔπληξε κατὰ τῆς κεφαλῆς τῷ ξίφει πληγὴν, ῥώμῃ τε τῆς χειρὸς

ἅμα καὶ βαφῆς ἀρετῇ τοῦ σιδήρου, μέχρι τῶν κάτω διαδραμοῦσαν, ὥστε ἐνὶ χρόνῳ περιπεσεῖν ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. Τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν Πύῤῥον. Ὁ δὲ, τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν, ἧκεν εἰς Τάραντα, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς κομίζων. Ἀναλαβὼν δὲ τῶν Ταραντίνων τοὺς κρατίστους, εὐθὺς ἐπὶ Ῥωμαίους ἦγεν ἐν τῇ Σαυνίτιδι στρατοπεδεύοντας.

ΚΕ. Τῶν δὲ Σαυνιτῶν τά τε πράγματα διέφθαρτο, καὶ τοῦ φρονήματος ὑφεῖντο, κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ τῶν Ῥωμαίων. Ἐνῆν δέ τι καὶ πρὸς τὸν Πύῤῥον ὀργῆς, διὰ τὸν εἰς Σικελίαν πλοῦν· ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ συνῆλθον. Πάντας δὲ νείμας δίχα, τοὺς μὲν εἰς τὴν Λευκανίαν ἔπεμψεν, ἀντιληψομένους τοῦ ἑτέρου τῶν ὑπάτων, ὡς μὴ βοηθοίη· τοὺς δ' ἦγεν αὐτὸς ἐπὶ Μάνιον Κούριον, περὶ πόλιν Βενέβεντον ἱδρυμένον ἐν ἀσφαλεῖ, καὶ περιμένοντα τὴν ἐκ τῆς Λευκανίας βοήθειαν. Ἔστι δ' ὅτε καὶ, μάντεων αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων, ἡσύχαζε. Σπεύδων οὖν ὁ Πύῤῥος ἐπιθέσθαι τούτοις, πρὶν ἐκείνους ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους, καὶ τῶν θηρίων τὰ μαχιμώτατα λαβὼν, νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον. Περιιόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν, οὐκ ἀντέσχε τὰ φῶτα, καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον· καὶ περὶ ταῦτα γινομένης διατριβῆς, ἥ τε νὺξ ἐπέλιπε, καὶ καταφανὴς ἦν ἅμ' ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος ἀπὸ τῶν ἄκρων, ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν. Οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ Μανίῳ γενομένων, καὶ τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος, ἐξελθὼν ἐνέβαλε τοῖς πρώτοις, καὶ τρεψάμενος ἐφόβησε πάντας· ὥστε καὶ πεσεῖν οὐκ ὀλίγους, καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι καταληφθέντας. Αὕτη τὸν Μάνιον ἡ νίκη κατήγαγε μαχούμενον εἰς τὸ πεδίον· καὶ συμβαλὼν ἐκ προδήλου,

τὸ μὲν ἐτρέψατο τῶν πολεμίων, ἔστι δ' ᾗ βιασθεὶς ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατόπεδον, τοὺς φύλακας ἐκάλει συχνοὺς ἐφεστῶτας τῷ χάρακι μετὰ τῶν ὅπλων καὶ ἀκμῆτας. Οἱ δ' ἐπιφανέντες ἐκ τόπων ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες, ἠνάγκασαν ἀποστρέφεσθαι, καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω ταραχὴν ἀπεργάσασθαι καὶ σύγχυσιν, ἣ τὸ νίκημα παρέδωκε τοῖς Ῥωμαίοις, ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας. Καὶ γὰρ φρόνημα καὶ δύναμιν καὶ δόξαν ὡς ἄμαχοι προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων, Ἰταλίαν μὲν εὐθὺς, ὀλίγῳ δ' ὕστερον Σικελίαν κατέσχον.

Κϛ. Οὕτω μὲν ἐξέπεσε τῶν Ἰταλικῶν καὶ Σικελικῶν ἐλπίδων ὁ Πύῤῥος, ἑξαετῆ χρόνον ἀναλώσας περὶ τοὺς ἐκεῖ πολέμους, καὶ τοῖς μὲν πράγμασιν ἐλαττωθεὶς, τὸ δ' ἀνδρεῖον ἀνίκητον ἐν ταῖς ἥτταις διαφυλάξας· καὶ νομισθεὶς ἐμπειρίᾳ μὲν πολεμικῇ καὶ χειρὶ καὶ τόλμῃ πολὺ πρῶτος εἶναι τῶν καθ' αὑτὸν βασιλέων, ἃ δὲ ταῖς πράξεσιν ἐκτᾶτο, ταῖς ἐλπίσιν ἀπολλύναι, δι' ἔρωτα τῶν ἀπόντων, οὐδὲν εἰς ὃ δεῖ θέσθαι τῶν ὑπαρχόντων σώσας. Ὅθεν ἀπείκαζεν αὐτὸν ὁ Ἀντίγονος κυβευτῇ πολλὰ βάλλοντι καὶ καλὰ, χρῆσθαι δ' οὐκ ἐπισταμένῳ τοῖς πεσοῦσι. Κομίσας δ' εἰς Ἤπειρον ὀκτακισχιλίους πεζοὺς καὶ πεντακοσίους ἱππεῖς, χρήματα δ' οὐκ ἔχων, ἐζήτει πόλεμον, ᾧ θρέψει τὸ στράτευμα. Καί τινων Γαλατῶν αὐτῷ προσγενομένων, ἐνέβαλεν εἰς Μακεδονίαν, Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος, ὡς ἁρπαγῇ καὶ λεηλασίᾳ χρησόμενος. Ἐπεὶ δὲ καὶ πόλεις ἐλάμβανε συχνὰς, καὶ ϛρατιῶται δισχίλιοι μετέστησαν ὡς αὐτὸν, ἐλπίσας τι πλέον, ὥρμησεν ἐπὶ τὸν Ἀντίγονον· καὶ περὶ τὰ στενὰ προσπεσὼν, συνετάραξε τὴν ϛρατιὰν ἅπασαν. Οἱ δ' ἐπὶ τῆς οὐραγίας τεταγμένοι Γαλάται τοῦ Ἀντιγόνου, συχνοὶ τὸ πλῆθος ὄντες, ὑπέστησαν εὐρώστως· καὶ καρτερᾶς μάχης γενομένης, τούτων οἱ μὲν πλεῖστοι κατεκόπησαν, οἱ δὲ τῶν ἐλεφάντων ἡγεμόνες ἐγκαταλαμβανόμενοι,

λαμβανόμενοι, παρέδωκαν ἑαυτοὺς καὶ τὰ θηρία πάντα. Προσλαβὼν δ' ὁ Πύῤῥος τηλικαῦτα, καὶ τῇ τύχῃ μᾶλλον, ἢ τοῖς λογισμοῖς, χρώμενος, ἐπῆγε τῇ φάλαγγι τῶν Μακεδόνων, ἀναπεπλησμένῃ ταραχῆς καὶ φόβου διὰ τὴν ἧτταν. Ὅθεν ἐμβολῆς μὲν ἔσχοντο καὶ μάχης πρὸς αὐτόν· τὴν δὲ δεξιὰν προτείνων, καὶ στρατηγοὺς καὶ ταξιάρχους ἀνακαλούμενος, ἅπαντας ὁμαλῶς ἀπέστησε τοὺς πεζοὺς τοῦ Ἀντιγόνου. Κἀκεῖνος μὲν ὑποφεύγων, ἅμα τῶν παραλίων τινὰς πόλεων κατέσχεν· ὁ δὲ Πύῤῥος ἐν εὐτυχήμασι τοσούτοις μέγιστον αὐτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχθαι τὸ περὶ τοὺς Γαλάτας, τὰ κάλλιστα καὶ λαμπρότατα τῶν λαφύρων ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς Ἰτωνίδος Ἀθηνᾶς, τόδε τὸ ἐλεγεῖον ἐπιγράψας·

Τοὺς θυρεοὺς ὁ Μολοσσὸς Ἰτωνίδι δῶρον Ἀθάνᾳ
  Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασεν Γαλατᾶν,
Πάντα τὸν Ἀντιγόνου καθελὼν στρατόν· οὐ μέγα θαῦμα·
  Αἰχμηταὶ καὶ νῦν καὶ πάρος Αἰακίδαι.

Μετὰ τὴν μάχην δ' εὐθὺς ἀνελάμβανε τὰς πόλεις. Τῶν δ' Αἰγαίων κρατήσας, τά τ' ἄλλα χαλεπῶς ἐχρήσατο τοῖς ἀνθρώποις, καὶ φρουρὰν Γαλατικὴν ἐν τῇ πόλει κατέλιπε τῶν μετ' αὐτοῦ στρατευομένων. Οἱ δὲ Γαλάται, γένος ἀπληστότατον χρημάτων ὄντες, ἐπέθεντο τῶν βασιλέων αὐτόθι κεκηδευμένων τοὺς τάφους ὀρύττειν, καὶ τὰ μὲν χρήματα διήρπασαν, τὰ δ' ὀστᾶ πρὸς ὕβριν διέῤῥιψαν. Τοῦτο κούφως ἔδοξε καὶ ὀλιγώρως ἐνεγκεῖν ὁ Πύῤῥος, ἢ δι' ἀσχολίας τινὰς ὑπερθέμενος, ἢ παρεὶς ὅλως διὰ φόβον τὸ κολάσαι τοὺς βαρβάρους· ὅθεν ἤκουσε κακῶς ὑπὸ τῶν Μακεδόνων. Οὔπω δὲ τῶν πραγμάτων αὐτῷ βεβαιότητα καὶ σύστασιν ἐχόντων μόνιμον, ᾐωρεῖτο τῇ γνώμῃ πάλιν πρὸς ἑτέρας ἐλπίδας. Καὶ τὸν μὲν Ἀντίγονον ἐφυβρίζων, ἀναίσχυντον ἐκάλει, μὴ λαμβάνοντα θοἰμάτιον, ἀλλ' ἔτι τὴν πορφύραν φοροῦντα. Κλεωνύμου δὲ τοῦ Σπαρτιάτου παραγενομένου, καὶ καλοῦντος

αὐτὸν ἐπὶ τὴν Λακεδαίμονα, προθύμως ὑπήκουσεν. Ὁ δὲ Κλεώνυμος ἦν μὲν γένους βασιλικοῦ, δοκῶν δὲ βίαιος εἶναι καὶ μοναρχικὸς, οὔτ' εὔνοιαν, οὔτε πίςιν εἶχεν· ἀλλ' Ἄρευς ἐβασίλευε. Καὶ τοῦτο μὲν ἦν κοινὸν ἔγκλημα καὶ πρεσβύτερον αὐτῷ πρὸς τοὺς πολίτας. Γυναῖκα δὲ καλὴν καὶ γένους βασιλικοῦ, Χελιδωνίδα τὴν Λεωτυχίδου, πρεσβύτερος ὢν ἔγημεν ὁ Κλεώνυμος. Ἡ δὲ, Ἀκροτάτῳ τῷ Ἄρεως ἐπιμανεῖσα, μειρακίῳ καθ' ὥραν ἀκμάζοντι, λυπηρὸν ἐρῶντι τῷ Κλεωνύμῳ καὶ ἄδοξον ὁμοῦ παρεῖχε τὸν γάμον· οὐδένα γὰρ ἐλάνθανε Σπαρτιατῶν καταφρονούμενος ὑπὸ τῆς γυναικός. Οὕτω δὲ τῶν κατ' οἶκον ἀνιαρῶν τοῖς πολιτικοῖς προσγενομένων, ὑπ' ὀργῆς καὶ βαρυθυμίας ἐπῆγε τῇ Σπάρτῃ τὸν Πύῤῥον, ἔχοντα δισμυρίους καὶ πεντακισχιλίους πεζοὺς, δισχιλίους δ' ἱππεῖς, ἐλέφαντας δ' εἰκοσιτέσσαρας· ὥστε τῷ μεγέθει τῆς παρασκευῆς εὐθὺς εἶναι κατάδηλον, οὐ Κλεωνύμῳ τὴν Σπάρτην, ἀλλὰ τὴν Πελοπόννησον ἑαυτῷ κτώμενον· ἐπεὶ τῷ γε λόγῳ καὶ πρὸς αὐτοὺς ἔξαρνος ἦν τοὺς Λακεδαιμονίους, πρεσβεύσαντας εἰς Μεγάλην πόλιν. Ἔφη γὰρ ἐλευθερώσων τὰς ὑπ' Ἀντιγόνῳ πόλεις ἀφῖχθαι, καὶ νὴ Δία τοὺς νεωτέρους παῖδας εἰς Σπάρτην, εἰ μή τι κωλύοι, πέμψων, ἐντραφησομένους τοῖς Λακωνικοῖς ἔθεσιν, ὡς τούτῳ πλέον ἔχοιεν ἤδη τῶν ἄλλων βασιλέων. Ταῦτα πλαττόμενος, καὶ παράγων τοὺς ἐντυγχάνοντας αὐτῷ καθ' ὁδὸν, ὡς πρῶτον ἥψατο τῆς Λακωνικῆς, ἁρπαγὴν ἐποιεῖτο καὶ λεηλασίαν. Ἐγκαλούντων δὲ τῶν πρέσβεων, ὅτι μὴ καταγγείλας πόλεμον ἐξενήνοχε πρὸς αὐτούς· « Ἀλλ' οὐδ' ὑμᾶς (ἔφη) τοὺς Σπαρτιάτας ἴσμεν, ὅ τι ἂν μέλλητε » ποιεῖν, ἑτέροις προλέγοντας». Εἷς δὲ τῶν παρόντων, ὄνομα Μανδρικίδας, εἶπε, τῇ φωνῇ λακωνίζων· « Αἱ μὲν ἐσσὶ τύ γε » θεὸς, οὐδὲν μὴ πάθωμεν· οὐ γὰρ ἀδικεῦμεν· αἱ δ' ἄνθρωπος, » ἔσεται καὶ τεῦ κάῤῥων ἄλλος ».

ΚΖ. Ἐκ τούτου κατέβαινεν ἐπὶ τὴν Λακεδαίμονα· καὶ τοῦ

Κλεωνύμου κελεύοντος ἐξ ἐφόδου προσβαλεῖν, φοβηθεὶς ὁ Πύῤῥος, ὡς λέγεται, μὴ διαρπάσωσιν οἱ στρατιῶται τὴν πόλιν ἐν νυκτὶ προσπεσόντες, ἐπέσχεν, εἰπὼν, ὅτι ταυτὰ ποιήσουσι μεθ' ἡμέραν. Αὐτοί τε γὰρ ἦσαν ὀλίγοι καὶ ἀπαράσκευοι διὰ τὸ αἰφνίδιον· ὅ τ' Ἄρευς οὐκ ἐτύγχανε παρὼν, ἀλλ' ἐν Κρήτῃ Γορτυνίοις πολεμουμένοις βοηθῶν. Καὶ τοῦτο δὴ μάλιστα τὴν πόλιν ἔσωσε δι' ἐρημίαν καὶ ἀσθένειαν καταφρονηθεῖσαν. Ὁ μὲν γὰρ Πύῤῥος οὐδένα μαχεῖσθαι νομίζων, κατηυλίσατο· τοῦ δὲ Κλεωνύμου τὴν οἰκίαν οἵ τε φίλοι καὶ εἵλωτες οὕτως ἐκόσμησαν καὶ παρεσκεύασαν, ὡς δειπνήσοντος τοῦ Πύῤῥου παρ' αὐτῷ. Γενομένης δὲ νυκτὸς, οἱ Λακεδαιμόνιοι πρῶτον μὲν ἐβουλεύσαντο τὰς γυναῖκας εἰς Κρήτην ἀποστέλλειν, αἱ δ' ἀντέστησαν. Ἀρχιδαμία δὲ καὶ ξίφος ἔχουσα πρὸς τὴν γερουσίαν ἦλθεν, ἐγκαλοῦσα τοῖς ἀνδράσιν ὑπὲρ τῶν γυναικῶν, εἰ ζῆν αὐτὰς ἀξιοῦσι, τῆς Σπάρτης ἀπολομένης. Ἔπειτα τῷ στρατοπέδῳ τῶν πολεμίων παράλληλον ἔγνωσαν ἐμβαλόντες τάφρον, ἔνθεν καὶ ἔνθεν αὐτῆς στῆσαι τὰς ἁμάξας, μέχρι τοῦ μέσου τῶν τροχῶν καταχώσαντες, ὅπως, ἕδραν ἔχουσαι δυσεκβίαστον, ἐμποδὼν ὦσι τοῖς θηρίοις. Ἀρχομένοις δὲ ταῦτα πράττειν, ἧκον αὐτοῖς τῶν παρθένων καὶ γυναικῶν, αἱ μὲν, [ἐν] ἱματίοις, καταζωσάμεναι τοὺς χιτωνίσκους, αἱ δὲ, μονοχίτωνες, συνεργασόμεναι τοῖς πρεσβυτέροις. Τοὺς δὲ μάχεσθαι μέλλοντας ἐκέλευον ἡσυχάζειν, καὶ λαβοῦσαι μέτρον, αὐταὶ καθ' αὑτὰς ἐξειργάσαντο τῆς τάφρου τὸ τρίτον μέρος. Ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἕξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος· ὡς δ' Ἱερώνυμος, ἔλαττον. Ἅμα δ' ἡμέρᾳ, κινουμένων τῶν πολεμίων, τὰ ὅπλα τοῖς νέοις ὀρέγουσαι, καὶ παραδιδοῦσαι τὴν τάφρον, ἀμύνειν καὶ φυλάττειν ἐκέλευον, ὡς ἡδὺ μὲν νικᾷν ἐν ὀφθαλμοῖς τῆς πατρίδος, εὐκλεὲς δὲ θνήσκειν ἐν χερσὶ μητέρων καὶ γυναικῶν, ἀξίως τῆς Σπάρτης πεσόντας. Ἡ δὲ Χελιδωνὶς, ἐκ ποδῶν οὖσα

καθ' ἑαυτὴν, βρόχον εἶχεν ἐνημμένον, ὅπως ἐπὶ τῷ Κλεωνύμῳ μὴ γένοιτο, τῆς πόλεως ἁλούσης.

ΚΗ. Αὐτὸς μὲν οὖν ὁ Πύῤῥος ἐβιάζετο κατὰ στόμα τοῖς ὁπλίταις πρὸς ἀσπίδας πολλὰς τῶν Σπαρτιατῶν ἀντιπαρατεταγμένας, καὶ τάφρον οὐ περατὴν, οὐδὲ βάσιν ἀσφαλῆ τοῖς μαχομένοις παρέχουσαν ὑπὸ χαυνότητος. Ὁ δὲ παῖς Πτολεμαῖος, ἔχων δισχιλίους Γαλάτας, και Χαόνων λογάδας, ἐξελίξας τὴν τάφρον, ἐπειρᾶτο κατὰ τὰς ἁμάξας ὑπερβαίνειν. Αἱ δὲ ὑπὸ βάθους καὶ πυκνότητος, οὐ μόνον τούτοις τὴν ἔφοδον, ἀλλὰ καὶ τοῖς Λακεδαιμονίοις δύσεργον ἐποίουν τὴν βοήθειαν. Ἀνασπώντων δὲ τῶν Γαλατῶν τοὺς τροχοὺς, και ὑποσυρόντων τὰς ἁμάξας εἰς τὸν ποταμὸν, κατιδὼν τὸν κίνδυνον ὁ νεανίας Ἀκρότατος, καὶ τήν τε πόλιν διαδραμὼν μετὰ τριακοσίων, περιῆλθε τὸν Πτολεμαῖον, οὐ συνορώμενος ὑπ' αὐτοῦ διά τινας συγκλινίας, ἕως προσέβαλε τοῖς ἐσχάτοις, καὶ μεταβαλόντας ἠνάγκασε μάχεσθαι πρὸς ἑαυτὸν ὠθουμένους ὑπ' ἀλλήλων, εἴς τε τὴν τάφρον καὶ περὶ ταῖς ἁμάξαις πίπτοντας· ἄχρις οὗ φόνῳ πολλῷ μόλις ἀνεκόπησαν. Ἐθεῶντο δὲ οἵ τε πρεσβύτεροι, καὶ τῶν γυναικῶν τὸ πλῆθος ἀριστεύοντα τὸν Ἀκρότατον. Ἐπεὶ δ' ἀπῄει πάλιν διὰ τῆς πόλεως ἐπὶ τὴν αὑτοῦ τάξιν αἵματος κατάπλεως καὶ γαῦρος, ὑπὸ τῆς νίκης ἐπηρμένος, καὶ μείζων ἔδοξε γεγονέναι καὶ καλλίων ταῖς Λακαίναις, καὶ τὴν Χελιδωνίδα τοῦ ἔρωτος ἐζήλουν. Τῶν δὲ πρεσβυτέρων τινὲς ἐπηκολούθουν βοῶντες· «Ὄχευε, Ἀκρότατε, καὶ οἶφε τὰν Χελιδωνίδα. Μόνον παῖδας ἀγαθοὺς τᾷ Σπάρτᾳ ποίει». Κατὰ δὲ τὸν Πύῤῥον αὐτὸν ἰσχυρᾶς μάχης συνεστώσης, ἄλλοι τε λαμπρῶς ἠγωνίζοντο, καὶ Φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν, καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ᾔσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἐκστὰς τινι τῶν ἐπιτεταγμένων τῆς χώρας, ἔπεσεν ἐντὸς τῶν ὅπλων, ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις.

ΚΘ. Νυκτὸς δὲ ἡ μάχη διεκρίθη· καὶ κοιμώμενος ὁ Πύῤῥος, ὄψιν εἶδε τοιαύτην. Ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν Λακεδαίμονα, καὶ φλέγεσθαι πᾶσαν, αὐτὸς δὲ χαίρειν. Ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος, τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν, καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. Οἱ μὲν οὖν ἄλλοι θαυμαστῶς ἐπείθοντο· Λυσιμάχῳ δ' οὐκ ἤρεσκεν ἡ ὄψις, ἀλλ' ἔφη δεδιέναι, μὴ, καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία, καὶ τῷ Πύῤῥῳ προσημαίνῃ τὸ θεῖον ἀνείσοδον ἔσεσθαι τὴν πόλιν. Ὁ δὲ Πύῤῥος εἰπὼν, ὅτι ταῦτα μέν ἐστι πυλαϊκῆς ὀχλαγωγίας, καὶ ἀσάφειαν ἔχοντα πολλὴν, ἐκεῖνο δὲ δεῖ, τὰ ὅπλα διὰ χειρῶν ἔχοντας, ὑποβάλλειν ἑαυτοῖς,

*Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ Πύῤῥου,*

ἐξανέστη, καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. Ἠμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι, καὶ παρῆσαν αἱ γυναῖκες, ὀρέγουσαι βέλη, καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι, καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. Τήν τε τάφρον οἱ Μακεδόνες χοῦν ἐπειρῶντο, πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο. Καὶ πρὸς τοῦτο τῶν Λακεδαιμονίων βοηθούντων, ὤφθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ Πύῤῥος ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. Κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης, καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ Πύῤῥῳ, καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον, ἐξήλατο Κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα, καὶ κατέβαλε δυσθανατῶν τὸν Πύῤῥον εἰς τόπους ὀλισθηροὺς καὶ κατάντεις. Θορυβουμένων δὲ περὶ τοῦτον τῶν ἑταίρων, ἐπέδραμον οἱ Σπαρτιᾶται, καὶ χρώμενοι τοῖς βέλεσιν, ἐξέωσαν ἅπαντας. Ἐκ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυεν, οἰόμενος ἐνδώσειν τι τοὺς Λακεδαιμονίους, σχεδὸν ἁπάντων

κατατετρωμένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. Ἡ δ' ἀγαθὴ τύχη τῆς πόλεως, εἴτε πεῖραν ἀρετῆς λαμβάνουσα τῶν ἀνδρῶν, εἴθ' ἑαυτῆς, ὅσην ἐν ἀπόροις ἔχει δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶν Λακεδαιμονίων ἐχόντων τὰς ἐλπίδας, Ἀμεινίαν τε Φωκέα, τῶν Ἀντιγόνου στρατηγῶν, ἐκ Κορίνθου βοηθήσοντα παρεισήγαγε μετὰ ξένων· καὶ, τοῦτον ἄρτι δεδεγμένων, ὁ βασιλεὺς αὐτοῖς Ἄρευς ἧκεν ἐκ Κρήτης, δισχιλίους στρατιώτας κομίζων. Αἵ τε δὴ γυναῖκες εὐθὺς ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν, οὐδὲν ἔτι πολυπραγμονεῖν ἀξιοῦσαι τῶν πολεμικῶν· καὶ τοὺς παρ' ἡλικίαν ἐν τοῖς ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες, αὐτοὺς ἐπὶ τὴν μάχην ἔταξαν.

Λ. Τὸν δὲ Πύῤῥον ἔσχε μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας, κρατῆσαι τῆς πόλεως· ὡς δ' οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη, καὶ τὴν χώραν ἐπόρθει, διανοούμενος αὐτόθι χειμάσαι. Τὸ δὲ χρεὼν ἦν ἄφυκτον. Ἐν γὰρ Ἄργει στάσις ἦν Ἀριστέου πρὸς Ἀρίστιππον. Ἐπεὶ δ' ὁ Ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ Ἀντιγόνῳ, φθάσας ὁ Ἀριστέας ἐκάλει τὸν Πύῤῥον εἰς τὸ Ἄργος. Ὁ δ', ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλίνδων, καὶ ταῖς μὲν εὐτυχίαις ἐπ' ἄλλας χρώμενος ἀφορμαῖς, ἃ δ' ἔπταιεν ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧτταν, οὔτε νίκην, ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. Εὐθὺς οὖν ἀνεζεύγνυεν ἐπὶ τὸ Ἄργος. Ὁ δ' Ἄρευς, ἐνέδρας τε πολλὰς ὑφεὶς, καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ, περιέκοπτε τοὺς Γαλάτας καὶ τοὺς Μολοσσοὺς ὀπισθοφυλακοῦντας. Τῷ δὲ Πύῤῥῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν, ἀλόβων γενομένων, ὑπὸ τοῦ μάντεως ἀποβολή τινος τῶν ἀναγκαίων. Παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς, ἐκέλευσε τὸν υἱὸν Πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν· αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. Ὀξείας δὲ περὶ τὸν Πτολεμαῖον μάχης γενομένης, καὶ τῶν ἐπιλέκτων

Λακεδαιμονίων, ὧν Εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸς αὐτοὺς συμπλεκομένων, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξὺς, Ὄροισος ὄνομα, Κρὴς Ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν ἀγωνιζόμενον ἐκθύμως τὸν νεανίσκον ἐπάταξε καὶ κατέβαλε. Πεσόντος δ' ἐκείνου καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν, οἱ Λακεδαιμόνιοι, διώκοντες καὶ κρατοῦντες, ἔλαθον εἰς τὸ πεδίον συνεμβαλόντες, καὶ ἀποληφθέντες ὑπὸ τῶν ὁπλιτῶν· ἐφ' οὓς ὁ Πύῤῥος, ἄρτι τὸν θάνατον τοῦ παιδὸς ἀκηκοὼς καὶ περιπαθῶν, ἐπέστρεψε τοὺς ἱππεῖς τῶν Μολοσσῶν. Καὶ πρῶτος εἰσελάσας, ἐνεπίμπλατο φόνου τῶν Λακεδαιμονίων, ἀεὶ μέν τις ἄμαχος καὶ δεινὸς ἐν τοῖς ὅπλοις φαινόμενος, τότε δ' ὑπερβάλλων τόλμῃ καὶ βίᾳ τοὺς προτέρους ἀγῶνας. Ἐπεὶ δ' ἐπέβαλε τῷ Εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλαγίου παραστὰς, μικρὸν ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας χεῖρα διακόψαι τοῦ Πύῤῥου, τὴν δ' ἡνίαν πατάξας ἀπέκοψεν. Ὁ δὲ Πύῤῥος, ἅμα τῇ πληγῇ τοῦ δόρατος διελάσας ἐκεῖνον, ἀπεῤῥύη τοῦ ἵππου, καὶ πεζὸς ἤδη πάντας ἐπὶ τῷ Εὐάλκῳ μαχομένους ἀπέκτεινε τοὺς λογάδας. Καὶ μέγα τοῦτο τῇ Σπάρτῃ παρανάλωμα τοῦ πολέμου πέρας ἔχοντος ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρχόντων.

ΛΑ. Ὁ δὲ Πύῤῥος, ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας, καὶ λαμπρὸν ἐπιτάφιον ἀγωνισάμενος, καὶ [τὸ] πολὺ τῆς λύπης ἐν τῷ πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ, προῆγεν ἐπὶ τὸ Ἄργος· καὶ τὸν Ἀντίγονον ἤδη πυνθανόμενος ἐπὶ τῶν ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι, περὶ τὴν Ναυπλίαν ἐστρατοπέδευσε. Τῇ δ' ὑςεραίᾳ κήρυκα πρὸς τὸν Ἀντίγονον ἔπεμψε, λυμεῶνά τε καλῶν, καὶ προκαλούμενος εἰς τὸ πεδίον καταβάντα διαγωνίσασθαι περὶ τῆς βασιλείας. Ὁ δ' ἀπεκρίνατο, τὴν μὲν αὑτοῦ ςρατηγίαν οὐχ ὅπλων μᾶλλον, ἢ καιρῶν, εἶναι, τῷ δὲ Πύῤῥῳ πολλὰς ὁδοὺς ἀνεῳγμέναι πρὸς θάνατον, εἰ ζῆν μὴ σχολάζει. Πρὸς δ' ἀμφοτέρους πρέσβεις ἧκον ἐξ Ἄργους, ἀπαλλάττεσθαι δεόμενοι, καὶ τὴν πόλιν ἐᾷν μηδετέρου γενομένην, εὔνουν δ' οὖσαν ἀμφοτέροις.

Ὁ μὲν οὖν Ἀντίγονος ἐπείθετο, καὶ τὸν υἱὸν ἐδίδου τοῖς Ἀργείοις ὅμηρον· ὁ δὲ Πύῤῥος ὡμολόγει μὲν ἀπαλλαγήσεσθαι, μὴ παρέχων δὲ πίστιν, ὑποπτότερος ἦν. Γίνεται δὲ σημεῖον αὐτῷ τε τῷ Πύῤῥῳ μέγα· τῶν γὰρ βοῶν τεθυμένων αἱ κεφαλαὶ κείμεναι χωρὶς ἤδη, τάς τε γλώττας ὤφθησαν προβάλλουσαι καὶ περιλιχμώμεναι τὸν ἑαυτῶν φόνον· ἔν τε τῇ πόλει τῶν Ἀργείων, ἡ τοῦ Λυκείου προφῆτις Ἀπόλλωνος ἐξέδραμε βοῶσα, νεκρῶν ὁρᾷν καὶ φόνου κατάπλεω τὴν πόλιν, τὸν δ' ἀετὸν ἐπὶ τὸν ἀγῶνα χωροῦντα, εἶτα φροῦδον εἶναι.

ΛΒ. Σκότους δὲ πολλοῦ προσμίξας ὁ Πύῤῥος τοῖς τείχεσι, καὶ πύλην εὑρὼν, ἣν Διαμπερὲς καλοῦσιν, ἀνεῳγμένην ὑπὸ τοῦ Ἀριστέου αὐτοῖς, ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς Γαλάτας τοὺς παρ' αὐτῷ καὶ τὴν ἀγορὰν καταλαβεῖν ἐλάνθανε· τῆς δὲ πύλης τοὺς ἐλέφαντας οὐ δεχομένης, καὶ διὰ τοῦτο τοὺς πύργους αὐτῶν ἀφαιρούντων, εἶτα πάλιν ἐν σκότει καὶ θορύβῳ περιτιθέντων, καὶ γενομένης διατριβῆς, οἱ Ἀργεῖοι συναισθόμενοι, πρὸς τὴν Ἀσπίδα καὶ τοὺς ὀχυροὺς τόπους ἀνέθεον, καὶ τὸν Ἀντίγονον ἐκάλουν πέμποντες. Ὁ δ', αὐτὸς μὲν ἐγγὺς προσελάσας, ἐφήδρευε, τοὺς δὲ στρατηγοὺς καὶ τὸν υἱὸν εἰσέπεμψε συχνὴν βοήθειαν ἄγοντας. Ἧκε δὲ καὶ Ἄρευς ἔχων χιλίους Κρῆτας, καὶ Σπαρτιάτας τοὺς ἐλαφροτάτους. Καὶ πάντες ἅμα τοῖς Γαλάταις προσβαλόντες, εἰς πολὺν θόρυβον κατέστησαν αὐτούς. Ὁ δὲ Πύῤῥος εἰσιὼν μετ' ἀλαλαγμοῦ καὶ βοῆς παρὰ τὴν Κυλάραβιν, ὡς οἱ Γαλάται τοῖς περὶ αὐτὸν ἀντηλάλαξαν οὐκ ἰταμὸν, οὐδὲ θαῤῥαλέον, εἴκασε ταραττομένων εἶναι τὴν φωνὴν καὶ πονούντων. Ἐπῆγεν οὖν θᾶττον, ὠθῶν τοὺς πρὸ αὐτοῦ τῶν ἱππέων δυσοδοῦντας ἐν τοῖς ὑπονόμοις, ὧν ἡ πόλις ἐστὶ μεστὴ, καὶ κινδυνεύοντας. Ἦν δὲ καὶ ἀσάφεια πολλὴ τῶν δρωμένων καὶ παραγγελλομένων ἐν νυκτομαχίᾳ, καὶ πλάναι καὶ διασπασμοὶ περὶ τοὺς στενωποὺς, καὶ στρατηγίας οὐδὲν ἔργον ὑπὸ σκότους καὶ

βοῆς ἀκρίτου καὶ στενότητος· ἀλλὰ διέτριβον ἄλλως περιμένοντες ἀμφότεροι τὴν ἡμέραν. Ἤδη δὲ διαλάμποντος, ἥ τ' Ἀσπὶς ὅπλων περίπλεως πολεμίων ὀφθεῖσα τὸν Πύῤῥον διετάραξε, καὶ τῆς ἀγορᾶς ἐν πολλοῖς ἀναθήμασι κατιδὼν λύκον χαλκοῦν καὶ ταῦρον, οἷον εἰς μάχην συνιόντας ἀλλήλοις, ἐξεπλάγη· χρησμόν τινα πρὸς ἑαυτὸν ἀνενεγκὼν παλαιὸν, ὡς ἀποθανεῖν αὐτῷ πεπρωμένον, ὅταν λύκον ἴδῃ ταύρῳ μαχόμενον. Ταῦτα δ' Ἀργεῖοι πάθους ὑπομνήματα παλαιοῦ γεγενῆσθαι παρ' αὐτοῖς λέγουσι. Δαναῷ γὰρ, ὅτε πρῶτον ἐπέβη τῆς χώρας κατὰ τὰ Πυράμια τῆς Θυρεάτιδος, εἰς Ἄργος πορευομένῳ, λύκον φανῆναι ταύρῳ μαχόμενον. Θέμενον δὲ τὸν Δαναὸν, ὡς ὁ λύκος εἴη πρὸς αὐτοῦ (ξένον γὰρ ὄντα τοῖς ἐγχωρίοις ἐπιτίθεσθαι, καθάπερ αὐτὸν), ἐφορᾷν τὴν μάχην, καὶ τοῦ λύκου κρατήσαντος, Ἀπόλλωνι Λυκείῳ προσευξάμενον ἐπιχειρῆσαι καὶ περιγενέσθαι, στάσει Γελάνορος, ὃς τότε τῶν Ἀργείων ἐβασίλευεν, ἐκπεσόντος. Τὸ μὲν οὖν ἀνάθημα τοῦτον εἶχε τὸν λόγον.

ΛΓ. Πρὸς δὲ τὴν ὄψιν ὁ Πύῤῥος ἅμα καὶ τὸ μηδὲν, ὧν ἤλπιζε, προχωρεῖν, ἀθυμῶν, ἀναστρέφειν διενοεῖτο· τὰς δὲ πύλας οὔσας στενὰς φοβούμενος, ἔπεμψε πρὸς τὸν υἱὸν Ἕλενον μετὰ τῆς πολλῆς δυνάμεως ἔξω καταλελειμμένον, κελεύων τοῦ τείχους διασκάπτειν καὶ δέχεσθαι τοὺς ἐκπίπτοντας, ἂν ἐνοχλῶσιν οἱ πολέμιοι. Σπουδῇ δὲ καὶ θορύβῳ τοῦ πεμφθέντος οὐδὲν σαφὲς ἀπαγγέλλοντος, ἀλλὰ καὶ διαμαρτίας γενομένης, τῶν θηρίων τὰ λοιπὰ καὶ στρατιώτας ἀναλαβὼν ὁ νεανίσκος τοὺς κρατίστους, εἴσω διὰ τῶν πυλῶν ἐχώρει τῷ πατρὶ βοηθήσων. Ἔτυχε δ' ὁ Πύῤῥος ἀναστρέφων ἤδη. Καὶ μέχρι μὲν ἡ ἀγορὰ παρεῖχεν ὑπεξάγοντι χώραν καὶ μαχομένῳ, ἐκ μεταβολῆς ἠμύνετο τοὺς ἐπιφερομένους· ἐπεὶ δὲ τῆς ἀγορᾶς εἰς τὸν στενωπὸν ἐξωσθεὶς τὸν ἐπὶ τὴν πύλην ἀνήκοντα, συνέπιπτε τοῖς ἐπιβοηθοῦσιν, ἐξ ἐναντίας προσφερομένοις, οἱ μὲν οὐχ ὑπήκουον ὑποχωρεῖν βοῶντος

αὐτοῦ, τοὺς δὲ καὶ πάνυ προθύμους ὄντας εἶργον οἱ κατόπιν ἀπὸ τῆς πύλης ἐπιχεόμενοι. Καὶ γὰρ ὁ μέγιστος ἐλέφας ἐν τῇ πύλῃ πλάγιος παραπεσὼν καὶ βρυχώμενος, ἐμποδὼν ἔκειτο τοῖς ἀποτρεπομένοις. Καὶ τῶν προεισεληλυθότων ἕτερος, ᾧ Νίκων ὄνομα ἦν, ἀποῤῥυέντα τὸν ἐπιβάτην ὑπὸ τραυμάτων ζητῶν ἀναλαβεῖν, καὶ φερόμενος πρὸς τοὐναντίον τοῖς ὑπεξάγουσιν, ἀνέμιξε φίλους ὁμοῦ καὶ πολεμίους ὠθουμένους ὑπ' αὐτοῦ· καὶ περιέπιπτον ἀλλήλοις, ἕως εὑρὼν νεκρὸν, ἀνείλετο τῇ προβοσκίδι, καὶ τοῖς ὀδοῦσιν ἀμφοτέροις ὑπολαβὼν, ἀνέστρεψε πάλιν ὥσπερ ἐμμανὴς ἀνατρέπων καὶ διαφθείρων τοὺς ἐντυγχάνοντας. Οὕτω δὲ θλιβομένων καὶ συμπιλουμένων πρὸς ἀλλήλους, οὐδεὶς οὐδὲν ἑαυτῷ καθ' ἕνα χρῆσθαι δυνατὸς ἦν, ἀλλ' ὥσπερ ἓν σῶμα συγγεγομφωμένον ἑαυτῷ, τὸ πᾶν πλῆθος ἐλάμβανε πολλὰς ἀποκλίσεις καὶ μεταβολὰς ἐπ' ἀμφότερα. Καὶ μάχαι μὲν ἦσαν ὀλίγαι πρὸς τοὺς ἐναπολαμβανομένους ἀεὶ τῶν πολεμίων, ἢ προσκειμένους ὄπισθεν, πλεῖστα δ' ἑαυτοὺς εἰργάζοντο κακά. Σπασάμενον γὰρ τὸ ξίφος, ἢ κλίναντα λόγχην, οὐκ ἦν ἀναλαβεῖν, οὐδὲ καταθέσθαι πάλιν· ἀλλ' ἐχώρει δι' ὧν ἔτυχε τὰ τοιαῦτα, καὶ περιπίπτοντες ἀλλήλοις ἔθνησκον.

ΛΔ. Ὁ δὲ Πύῤῥος ἐφορῶν τὸν περιέχοντα χειμῶνα καὶ κλύδωνα, τὴν μὲν στεφάνην, ᾗ διάσημον ἦν τὸ κράνος, ἀφελὼν, ἔδωκε τινὶ τῶν ἑταίρων· αὐτὸς δὲ τῷ ἵππῳ πεποιθὼς, εἰς τοὺς ἑπομένους τῶν πολεμίων ἐνέβαλε, καὶ δόρατι πληγεὶς διὰ τοῦ θώρακος οὐ καιρίαν πληγὴν, οὐδὲ μεγάλην, ἐπέστρεψε κατὰ τοῦ πατάξαντος, ὃς ἦν Ἀργεῖος, οὐ τῶν ἐπιφανῶν, ἀλλὰ πενιχρᾶς καὶ πρεσβυτέρας υἱὸς γυναικός. Αὕτη τότε θεωμένη τὴν μάχην, ὥσπερ αἱ λοιπαὶ γυναῖκες, ἀπὸ τοῦ τέγους, ὡς ἐπέγνω συνεστῶτα τῷ Πύῤῥῳ τὸν υἱὸν, ἐκπαθὴς γενομένη πρὸς τὸν κίνδυνον, ἄρασα κεραμίδα ταῖς χερσὶν ἀμφοτέραις, ἀφῆκεν ἐπὶ τὸν Πύῤῥον. Ἐμπεσούσης δὲ τῇ κεφαλῇ κατὰ τοῦ κράνους, καὶ τῶν

σφονδύλων πρὸς τὴν βάσιν τοῦ τραχήλου συντριβέντων, αἵ τ' ὄψεις συνεχύθησαν αὐτοῦ, καὶ προήκαντο τὰς ἡνίας αἱ χεῖρες. Αὐτὸς δὲ κατενεχθεὶς παρὰ τὸν τοῦ Λικυμνίου σηκὸν ἔπεσεν, ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. Ζώπυρος δέ τις τῶν παρ' Ἀντιγόνῳ στρατευομένων, καὶ δύο ἢ τρεῖς ἕτεροι προσδραμόντες καὶ κατανοήσαντες, εἴς τινα θυρῶνα παρείλκυσαν αὐτὸν ἀρχόμενον ἐκ τῆς πληγῆς ἀναφέρεσθαι. Σπασαμένου δὲ τοῦ Ζωπύρου μάχαιραν Ἰλλυρικὴν, ὡς τὴν κεφαλὴν ἀποτεμοῦντος, ἐνέβλεψε δεινὸν, ὥστε τὸν Ζώπυρον περίφοβον γενόμενον, καὶ τὰ μὲν τρέμοντα ταῖς χερσὶ, τὰ δ' ἐπιχειροῦντα, θορύβου δὲ καὶ ταραχῆς μεστὸν ὄντα, μὴ κατ' ὀρθὸν, ἀλλὰ παρὰ τὸ στόμα καὶ τὸ γένειον ἀποτέμνοντα, βραδέως καὶ μόλις ἀποσπάσαι τὴν κεφαλήν. Ἤδη δὲ σύνδηλον ἦν τὸ γεγονὸς πλείοσι, καὶ προσδραμὼν ὁ Ἀλκυονεὺς ᾔτησε τὴν κεφαλὴν ὡς κατανοήσων. Λαβὼν δ' ἀφίππευσε πρὸς τὸν πατέρα, καὶ καθεζομένῳ μετὰ τῶν φίλων προσέβαλε. Θεασάμενος δὲ καὶ γνοὺς ὁ Ἀντίγονος, τὸν μὲν υἱὸν ἀπήλασε τῇ βακτηρίᾳ παίων, καὶ καλῶν ἐναγῆ καὶ βάρβαρον· αὐτὸς δὲ τὴν χλαμύδα προσθέμενος τοῖς ὄμμασιν ἐδάκρυσεν, Ἀντιγόνου τοῦ πάππου μνησθεὶς, καὶ Δημητρίου τοῦ πατρὸς, οἰκείων παραδειγμάτων εἰς τύχης μεταβολήν. Τὴν μὲν οὖν κεφαλὴν καὶ τὸ σῶμα τοῦ Πύῤῥου κοσμήσας ἔκαυσεν. Ἐπεὶ δ' ὁ Ἀλκυονεὺς τῷ Ἑλένῳ περιτυχὼν ταπεινῷ, καὶ χλαμύδιον λιτὸν ἀμπεχομένῳ, φιλανθρώπως ἐνέτυχε, καὶ τῷ πατρὶ προσήγαγεν, ἰδὼν ὁ Ἀντίγονος· Βελτίονα μὲν, εἶπεν, ὦ παῖ, ταῦτα τῶν πρότερον· ἀλλ' οὐδὲ νῦν ὀρθῶς, τῷ μὴ περιελεῖν τὴν ἐσθῆτα ταύτην, ἣ μᾶλλον ἡμᾶς καταισχύνει, τοὺς κρατεῖν δοκοῦντας. Ἐκ τούτου φιλοφρονησάμενος, καὶ κοσμήσας τὸν Ἕλενον, ἀπέστειλεν εἰς Ἤπειρον, καὶ τοῖς φίλοις τοῦ Πύῤῥου πράως ἐνετύγχανε, τοῦ στρατοπέδου καὶ τῆς δυνάμεως πάσης κύριος γενόμενος.

# ΠΛΟΥΤΑΡΧ. ΓΑΙΟΣ ΜΑΡΙΟΣ

Γαίου Μαρίου τρίτον οὐκ ἔχομεν εἰπεῖν ὄνομα, καθάπερ οὐδὲ Κοΐντου Σερτωρίου, τοῦ κατασχόντος Ἰβηρίαν, οὐδὲ Λευκίου Μομμίου, τοῦ Κόρινθον ἑλόντος. Ὁ γὰρ Ἀχαϊκὸς τούτῳ γε τῆς πράξεως ἐπώνυμον γέγονεν, ὡς ὁ Ἀφρικανὸς Σκιπίωνι, καὶ ὁ Μακεδονικὸς Μετέλλῳ. Ἐξ οὗ καὶ μάλιστα Ποσειδώνιος ἐλέγχειν οἴεται τοὺς τὸ τρίτον ὄνομα Ῥωμαίοις κύριον εἶναι νομίζοντας, οἷον τὸν Κάμιλλον, καὶ τὸν Μάρκελλον, καὶ τὸν Κάτωνα· γίνεσθαι γὰρ ἀνωνύμους τοὺς ἀπὸ μόνων τῶν δυοῖν προσαγορευομένους. Λανθάνει δ' ἑαυτὸν, ὅτι τούτῳ τῷ λόγῳ πάλιν αὐτὸς ἀνωνύμους ποιεῖ τὰς γυναῖκας. Οὐδεμιᾷ γὰρ γυναικὶ τίθεται τῶν ὀνομάτων τὸ πρῶτον, ὅπερ οἴεται κυρίως ὄνομα Ῥωμαίοις ὑπάρχειν ὁ Ποσειδώνιος. Τῶν δ' ἄλλων, τὸ μὲν κοινὸν, ἀπὸ συγγενείας, τοὺς Πομπηΐους, καὶ τοὺς Μαλλίους, καὶ τοὺς Κορνηλίους, ὥσπερ ἂν Ἡρακλείδας τις εἴποι καὶ Πελοπίδας· τὸ δὲ προσηγορικὸν, ἐξ ἐπιθέτου πρὸς τὰς φύσεις, ἢ τὰς πράξεις, ἢ τὰ τοῦ σώματος εἴδη καὶ πάθη τίθεσθαι, τὸν Μακρῖνον, καὶ τὸν Τουρκουάτον, καὶ τὸν Σύλλαν, οἷόν ἐστιν ὁ Μνήμων, ἢ ὁ Γρυπὸς, ἢ ὁ Καλλίνικος. Εἰς μὲν οὖν ταῦτα πολλὰς δίδωσιν ἐπιχειρήσεις ἡ τῆς συνηθείας ἀνωμαλία.

Β. Τῆς δ' ὄψεως τῆς Μαρίου λιθίνην εἰκόνα κειμένην ἐν Ῥαβέννῃ τῆς Γαλατίας ἐθεώμεθα, πάνυ τῇ λεγομένῃ περὶ τὸ ἦθος στρυφνότητι καὶ πικρίᾳ πρέπουσαν. Ἀνδρώδης γὰρ φύσει καὶ πολεμικὸς γενόμενος, καὶ στρατιωτικῆς μᾶλλον, ἢ πολιτικῆς, παιδείας μεταλαβὼν, ἄκρατον ἐν ταῖς ἐξουσίαις τὸν θυμὸν ἔσχε. Λέγεται δὲ μήτε γράμματα μαθεῖν Ἑλληνικὰ, μήτε γλώττῃ πρὸς μηδὲν Ἑλληνίδι χρῆσθαι τῶν σπουδῆς ἐχομένων ὡς γε-



Γ. ΜΑΡΙΟΣ

ΕΚ ΤΗΣ ΕΝ ΠΡΑΙΝΕΣΤΩΙ ΕΥΡΕΘΕΙΣΗΣ ΕΙΚΟΝΟΣ

Σελ. 45. Τ.ος 3

ΒΙΒΛΙΟΘΗΚΗ Μ. ΦΑΛΤΑΪΤΣ

λοῖον ὂν γράμματα μανθάνειν, ὧν οἱ διδάσκαλοι δουλεύοιεν ἑτέροις· μετὰ δὲ τὸν δεύτερον θρίαμβον, ἐπὶ ναοῦ τινος καθιερώσει θέας Ἑλληνικὰς παρέχων, εἰς τὸ θέατρον ἐλθὼν, καὶ μόνον καθίσας, εὐθὺς ἀπαλλαγῆναι. Ὥσπερ οὖν Ξενοκράτει τῷ φιλοσόφῳ, σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι, πολλάκις εἰώθει λέγειν ὁ Πλάτων· «Ὦ μακάριε Ξενόκρατες, θύε ταῖς Χάρισιν»· οὕτως, εἴ τις ἔπεισε Μάριον θύειν ταῖς Ἑλληνικαῖς Μούσαις καὶ Χάρισιν, οὐκ ἂν ἐκπρεπεστάταις στρατηγίαις καὶ πολιτείαις ἀμορφοτάτην ἐπέθηκε κορωνίδα, ὑπὸ θυμοῦ καὶ φιλαρχίας ἀώρου, καὶ πλεονεξιῶν ἀπαρηγορήτων, εἰς ὠμότατον καὶ ἀγριώτατον γῆρας ἐξοκείλας. Ταῦτα μὲν οὖν ἐπὶ τῶν πράξεων αὐτῶν εὐθὺς θεωρείσθω.

Γ. Γενόμενος δὲ γονέων παντάπασιν ἀδόξων, αὐτουργῶν καὶ πενήτων, πατρὸς μὲν ὁμωνύμου, μητρὸς δὲ Φουλκινίας, ὀψέ ποτε πόλιν εἶδε, καὶ τῶν ἐν πόλει διατριβῶν ἐγεύσατο, τὸν δ' ἄλλον χρόνον ἐν κώμῃ Κερεατινῶν τῆς Ἀρπίνης δίαιταν εἶχε, πρὸς μὲν ἀστεῖον καὶ γλαφυρὸν βίον ἀγροικοτέραν, σώφρονα δὲ, καὶ ταῖς πάλαι Ῥωμαίων τροφαῖς ἐοικυῖαν. Πρώτην δὲ στρατείαν στρατευσάμενος ἐπὶ Κελτίβηρας, ὅτε Σκιπίων Ἀφρικανὸς Νομαντίαν ἐπολιόρκει, τὸν στρατηγὸν οὐκ ἐλάνθανεν ἀνδρείᾳ τῶν ἄλλων νέων διαφέρων, καὶ τὴν μεταβολὴν τῆς διαίτης, ἣν ὑπὸ τρυφῆς καὶ πολυτελείας διεφθαρμένοις ἐπῆγε τοῖς στρατεύμασιν ὁ Σκιπίων, εὐκολώτατα προσδεχόμενος. Λέγεται δὲ καὶ πολέμιον ἄνδρα συστὰς καταβαλεῖν ἐν ὄψει τοῦ στρατηγοῦ. Διὸ ταῖς τ' ἄλλαις προήγετο τιμαῖς ὑπ' αὐτοῦ, καί ποτε, λόγου μετὰ δεῖπνον ἐμπεσόντος ὑπὲρ στρατηγῶν, καὶ τῶν παρόντων ἑνὸς, εἴτ' ἀληθῶς διαπορήσαντος, εἴτε πρὸς ἡδονὴν ἐρομένου τὸν Σκιπίωνα, τίνα δὴ τοιοῦτον ἕξει μετ' ἐκεῖνον ἡγεμόνα καὶ προστάτην ὁ Ῥωμαίων δῆμος, ὑπερκατακειμένου τοῦ Μαρίου τῇ χειρὶ τὸν ὦμον πατάξας ἠρέμα ὁ Σκιπίων, Τάχα δὲ τοῦτον,

εἶπεν. Οὕτως εὐφυὴς ἦν, ὁ μὲν ἐκ μειρακίου φανῆναι μέγας, ὁ δ' ἀπὸ τῆς ἀρχῆς τὸ τέλος νοῆσαι.

Δ. Τον δ' οὖν Μάριον ὑπὸ ταύτης λέγεται μάλιστα τῆς φωνῆς, ὥσπερ ὑπὸ θείας κληδόνος, ἐπαρθέντα ταῖς ἐλπίσιν, ὁρμῆσαι πρὸς τὴν πολιτείαν, καὶ τυχεῖν δημαρχίας, Καικιλίου Μετέλλου σπουδάσαντος, οὗ τὸν οἶκον ἐξ ἀρχῆς καὶ πατρόθεν ἐθεράπευεν. Ἐν δὲ τῇ δημαρχίᾳ νόμον τινὰ περὶ ψηφοφορίας γράφοντος αὐτοῦ, δοκοῦντα τῶν δυνατῶν ἀφαιρεῖσθαι τὴν περὶ τὰς αἱρέσεις ἰσχὺν, ἐνιστάμενος Κόττας ὁ ὕπατος, συνέπεισε τὴν βουλὴν τῷ μὲν νόμῳ μάχεσθαι, τὸν δὲ Μάριον καλεῖν, λόγον ὑφέξοντα. Καὶ τοῦ δόγματος τούτου γραφέντος, εἰσελθὼν ἐκεῖνος οὐκ ἔπαθε νέου πάθος, ἀπὸ μηδενὸς λαμπροῦ προεληλυθότος ἄρτι πρὸς τὴν πολιτείαν, ἀλλ' ἑαυτῷ διδοὺς ἤδη φρονεῖν, ἡλίκον ἔδωκαν αἱ μετέπειτα πράξεις, ἠπείλησε τὸν Κότταν ἀπάξειν εἰς τὸ δεσμωτήριον, εἰ μὴ διαγράψειε τὸ δόγμα. Τοῦ δὲ πρὸς Μέτελλον τραπομένου, καὶ γνώμην ἐρωτῶντος, Μέτελλος μὲν ἀναστὰς συνηγόρει τῷ ὑπάτῳ, Μάριος δὲ τὸν ὑπηρέτην μεταπεμψάμενος ἔξωθεν, ἐκέλευεν ἀπάγειν αὐτὸν τὸν Μέτελλον εἰς τὸ δεσμωτήριον. Ἐκείνου δὲ τοὺς ἄλλους ἐπικαλουμένου δημάρχους, ἐβοήθει μὲν οὐδεὶς, ἡ δὲ σύγκλητος εἴξασα προήκατο τὸ δόγμα. Καὶ λαμπρὸς ἐξελάσας ὁ Μάριος εἰς τὸ πλῆθος ἐπεκύρωσε τὸν νόμον, δόξας ἄκαμπτος μὲν εἶναι πρὸς φόβον, ἄτρεπτος δ' ὑπ' αἰδοῦς, δεινὸς δὲ κατὰ τῆς βουλῆς ἀνίστασθαι, χάριτι τῶν πολλῶν δημαγωγῶν. Οὐ μὴν ἀλλὰ ταύτην μὲν ταχέως μετέστησεν ἑτέρῳ πολιτεύματι τὴν δόξαν. Νόμου γὰρ εἰσφερομένου περὶ σίτου διανομῆς, τοῖς πολίταις ἐναντιωθεὶς ἐῤῥωμενέστατα, καὶ κρατήσας, εἰς τὸ ἴσον ἑαυτὸν κατέστησε τῇ τιμῇ πρὸς ἀμφοτέρους, ὡς μηδετέροις παρὰ τὸ συμφέρον χαριζόμενος.

Ε. Μετὰ δὲ τὴν δημαρχίαν, ἀγορανομίαν τὴν μείζονα παρήγγειλε. Δύο γάρ εἰσι τάξεις ἀγορανομιῶν, ἡ μὲν ἀπὸ τῶν δίφρων

τῶν ἀγκυλοπόδων, ἐφ' ὧν καθεζόμενοι χρηματίζουσιν, ἔχουσα τοὔνομα τῆς ἀρχῆς· τὴν δ' ὑποδεεστέραν, δημοτικὴν καλοῦσιν. Ὅταν δὲ τοὺς ἐντιμοτέρους ἕλωνται, περὶ τῶν ἑτέρων πάλιν τὴν ψῆφον λαμβάνουσιν. Ὡς οὖν ὁ Μάριος φανερὸς ἦν λειπόμενος ἐν ἐκείνῃ, ταχὺ μεταστὰς αὖθις ᾔτει τὴν ἑτέραν. Δόξας δὲ θρασὺς εἶναι καὶ αὐθάδης, ἀπέτυχε· καὶ δυσὶν ἐν ἡμέρᾳ μιᾷ περιπεσὼν ἀποτεύξεσιν, ὃ μηδεὶς ἔπαθεν ἄλλος, οὐδὲ μικρὸν ὑφήκατο τοῦ φρονήματος. Ὕστερον δ' οὐ πολλῷ στρατηγίαν μετελθὼν, ὀλίγον ἐδέησεν ἐκπεσεῖν· ἔσχατος δὲ πάντων ἀναγορευθεὶς δίκην ἔσχε δεκασμοῦ. Μάλιστα δ' ὑποψίαν παρέσχε Κασσίου Σαβάκωνος οἰκέτης, ὀφθεὶς ἐντὸς τῶν δρυφάκτων, ἀναμεμιγμένος τοῖς φέρουσι τὰς ψήφους. Ὁ γὰρ Σαβάκων ἦν ἑταῖρος ἐν τοῖς μάλιστα Μαρίου. Κληθεὶς οὖν οὗτος ὑπὸ τῶν δικαστῶν, ἔφη, διὰ τὸ καῦμα διψήσας, ὕδωρ ψυχρὸν αἰτῆσαι, καὶ τὸν οἰκέτην ἔχοντα ποτήριον εἰσελθεῖν εἰς αὐτὸν, εἶτ' εὐθὺς οἴχεσθαι πιόντος. Οὗτος μὲν οὖν ὑπὸ τῶν μετὰ ταῦτα τιμητῶν ἐξέπεσε τῆς βουλῆς, ἐπιτήδειος εἶναι παθεῖν τοῦτο δόξας, ἢ διὰ τὴν ψευδομαρτυρίαν, ἢ διὰ τὴν ἀκρασίαν. Ἐπὶ δὲ τὸν Μάριον Γάϊος Ἑρέννιος μάρτυς εἰσαχθεὶς, οὐκ ἔφη πάτριον εἶναι καταμαρτυρεῖν πελατῶν, ἀλλὰ τὸν νόμον ἀφιέναι ταύτης τῆς ἀνάγκης τοὺς πάτρωνας· οὕτω γὰρ οἱ Ῥωμαῖοι τοὺς προστάτας καλοῦσι· τοῦ δ' Ἑρεννίων οἴκου τοὺς Μαρίου γονεῖς, καὶ Μάριον αὐτὸν, ἐξ ἀρχῆς γεγονέναι πελάτας. Ἀποδεξαμένων δὲ τὴν ἀπόῤῥησιν τῆς μαρτυρίας τῶν δικαστῶν, αὐτὸς ἀντεῖπεν ὁ Μάριος πρὸς τὸν Ἑρέννιον, ὡς, ὅτε πρῶτον ἄρχων ἀνηγορεύθη, τὸν πελάτην ἐκβεβηκώς· ὅπερ ἦν οὐ παντάπασιν ἀληθές. Ἀρχὴ γὰρ οὐ πᾶσα τοῦ νέμειν προστάτην ἀπαλλάσσει τοὺς τυχόντας αὐτοὺς καὶ γένος, ἀλλ' ᾗ τὸν ἀγκυλόποδα δίφρον ὁ νόμος δίδωσιν. Οὐ μὴν ἀλλὰ ταῖς πρώταις ἡμέραις ἐν τῇ δίκῃ κακῶς πράττων ὁ Μάριος, καὶ χαλεποῖς χρώμενος τοῖς δικασταῖς, τῇ

τελευταίᾳ παραλόγως ἀπέφυγεν, ἴσων τῶν ψήφων γενομένων.

ς. Ἐν μὲν οὖν τῇ στρατηγίᾳ μετρίως ἐπαινούμενον ἑαυτὸν παρέσχε. Μετὰ δὲ τὴν στρατηγίαν, κλήρῳ λαβὼν τὴν ἐκτὸς Ἰβηρίαν, λέγεται καθᾶραι λῃστηρίων τὴν ἐπαρχίαν, ἀνήμερον οὖσαν ἔτι τοῖς ἐθισμοῖς καὶ θηριώδη, καὶ τὸ λῃστεύειν οὔπω τότε τῶν Ἰβήρων οὐχὶ κάλλιστον ἡγουμένων. Ἐν δὲ τῇ πολιτείᾳ γενόμενος, οὐκ εἶχεν οὐδὲ πλοῦτον, οὐδὲ λόγον, οἷς ἦγον οἱ τότε μάλιστα τιμώμενοι τὸν δῆμον. Αὐτὴν δὲ τὴν ἀνάτασιν τοῦ φρονήματος καὶ τὸ περὶ τοὺς πόνους ἐνδελεχὲς αὐτοῦ, καὶ τὸ δημοτικὸν τῆς διαίτης, ἔν τινι σπουδῇ τιθεμένων τῶν πολιτῶν, ηὐξάνετο τῇ τιμῇ πρὸς δύναμιν· ὥστε καὶ γάμον γῆμαι λαμπρὸν, οἰκίας ἐπιφανοῦς τῆς Καισάρων, Ἰουλίαν, ἧς ἦν ἀδελφιδοῦς Καῖσαρ, ὁ χρόνοις ὕστερον Ῥωμαίων μέγιστος γενόμενος, καίτι κατ' οἰκειότητα ζηλώσας Μάριον, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Τῷ δὲ Μαρίῳ καὶ σωφροσύνην μαρτυροῦσι καὶ καρτερίαν, ἧς δεῖγμα καὶ τὸ περὶ τὴν χειρουργίαν ἐστίν. Ἰξιῶν γὰρ, ὡς ἔοικε, μεγάλων ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς, καὶ τὴν ἀμορφίαν δυσχεραίνων, ἔγνω παρασχεῖν ἑαυτὸν ἰατρῷ· καὶ παρέσχεν ἄδετος θάτερον σκέλος, οὐδὲν κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς τινας ἀλγηδόνων ἐν ταῖς τομαῖς ἀνασχόμενος. Τοῦ δ' ἰατροῦ μετιόντος ἐπὶ θάτερον, οὐκέτι παρέσχε, φήσας· « Ὁρῶ τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον. »

Ζ. Ἐπεὶ δὲ Καικίλιος Μέτελλος, ἀποδειχθεὶς ἐπὶ τὸν κατὰ Ἰουγούρθα πόλεμον ὕπατος στρατηγὸς εἰς Λιβύην, ἐπηγάγετο πρεσβευτὴν Μάριον, ἐνταῦθα πράξεων μεγάλων καὶ λαμπρῶν ἀγώνων ἐπιλαβόμενος, τὸ μὲν αὔξειν τὸν Μέτελλον, ὥσπερ οἱ λοιποὶ, καὶ πολιτεύεσθαι πρὸς ἐκεῖνον, εἴασε χαίρειν· ἀξιῶν δὲ οὐχ ὑπὸ Μετέλλου κεκλῆσθαι πρεσβευτὴς, ὑπὸ δὲ τῆς τύχης εἰς εὐφυέστατον καιρὸν ὁμοῦ καὶ μεγίστων εἰσάγεσθαι πράξεων

θέατρον, ἐπεδείκνυτο πᾶσαν ἀνδραγαθίαν. Καὶ πολλὰ τοῦ πολέμου δυσχερῆ φέροντος, οὔτε τῶν μεγάλων τινὰ πόνων ὑποτρέσας, οὔτε τῶν μικρῶν ἀπαξιώσας, ἀλλὰ τοὺς μὲν ὁμοτίμους εὐβουλίᾳ καὶ προνοίᾳ τοῦ συμφέροντος ὑπερβαλλόμενος, πρὸς δὲ τοὺς στρατιώτας ὑπὲρ εὐτελείας καὶ καρτερίας διαμιλλώμενος, εὔνοιαν ἔσχε πολλὴν παρ' αὐτοῖς. Ὅλως μὲν γὰρ ἔοικε τοῦ κάμνειν ἑκάςῳ παραμυθία τὸ συγκάμνον ἑκουσίως εἶναι· δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην. Ἥδιςον δὲ Ῥωμαίῳ θέαμα ςρατιώτῃ, ςρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον, ἢ κατακείμενος ἐπὶ ςιβάδος εὐτελοῦς, ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργου συνεφαπτόμενος. Οὐ γὰρ οὕτω τοὺς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τοὺς πόνου καὶ κινδύνου μεταλαμβάνοντας ἡγεμόνας θαυμάζουσιν, ἀλλὰ μᾶλλον ἀγαπῶσι τῶν ῥᾳθυμεῖν ἐπιτρεπόντων τοὺς συμπονεῖν ἐθέλοντας. Ταῦτα πάντα ποιῶν ὁ Μάριος, καὶ διὰ τούτων τοὺς ςρατιώτας δημαγωγῶν, ταχὺ μὲν ἐνέπλησε τὴν Λιβύην, ταχὺ δὲ τὴν Ῥώμην ὀνόματος καὶ δόξης, τῶν ἀπὸ ςρατοπέδου τοῖς οἴκοι γραφόντων, ὡς οὐκ ἔςι πέρας, οὐδ' ἀπαλλαγὴ τοῦ πρὸς τὸν βάρβαρον πολέμου, μὴ Γάϊον Μάριον ἑλομένοις ὕπατον.

Η. Ἐφ' οἷς δῆλος ἦν ὁ Μέτελλος ἀχθόμενος. Μάλιςα δ' αὐτὸν ἠνίασε τὰ περὶ Τουρπίλλιον. Οὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν ἐκ πατέρων ξένος τῷ Μετέλλῳ, καὶ τότε τὴν ἐπὶ τῶν τεκτόνων ἔχων ἀρχὴν συνεςράτευε. Φρουρῶν δὲ Βάγαν, πόλιν μεγάλην, καὶ τῷ μηδὲν ἀδικεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ πρᾴως καὶ φιλανθρώπως αὐτοῖς προσφέρεσθαι, πιςεύων, ἔλαθεν ὑποχείριος τοῖς πολεμίοις γενόμενος. Παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν, τὸν δὲ Τουρπίλλιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν. Ἔσχεν οὖν αἰτίαν προδοσίας· καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος, αὐτός τέ οἱ πικρὸς ἦν, καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείστους, ὥςτ' ἄκοντα τὸν Μέτελλον ἐκβιασθῆναι *καὶ*

καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. Μετ' ὀλίγον δὲ, τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρέως φέροντι· Μάριος δὲ χαίρων, καὶ ποιούμενος ἴδιον τὸ ἔργον, οὐκ ᾐσχύνετο λέγειν περιιὼν, ὡς αὐτὸς εἴη προστετριμμένος ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. Ἐκ τούτου φανερῶς ἀπηχθάνοντο· καὶ λέγεται ποτὲ τοῦ Μαρίου παρόντος, οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν· « Σὺ δὴ καταλιπὼν ἡμᾶς, ὦ γενναῖε, πλεῖν ἐπ' οἴκου διανοῇ, καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις, ἂν τῷ ἐμῷ παιδὶ τούτῳ συνυπατεύσῃς » ; Ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον. Οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι, πολλὰς ἀναβολὰς ποιησάμενος, ἔτι δώδεκα λειπομένων ἡμερῶν ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν, ἀφῆκεν αὐτόν. Ὁ δὲ, πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδὸν ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελὼν, ἔθυε πρὸ τοῦ πλοῦ. Καὶ λέγεται, τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος καὶ κρείττονας ἐλπίδος ἁπάσης εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. Ὁ δὲ τούτοις ἐπαρθεὶς ἀνήχθη. Καὶ τὸ πέλαγος τεταρταῖος ουρίῳ πνεύματι περάσας, αὐτίκα τε τῷ δήμῳ ποθεινὸς ὤφθη, καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων εἰς τὸ πλῆθος, ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ᾐτεῖτο τὴν ἀρχὴν, ὑπισχνούμενος, ἢ κτενεῖν, ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

Θ. Ἀναγορευθεὶς δὲ λαμπρῶς, εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν, πολὺν ὄχλον ἄπορον καὶ δοῦλον καταγράφων· τῶν πρόσθεν ἡγεμόνων οὐ προσδεχομένων τοὺς τοιούτους, ἀλλ', ὥσπερ ἄλλο τι τῶν καλῶν, τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου τιθέναι δοκοῦντος. Οὐ μὴν ταῦτά γε μάλιστα διέβαλλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι, θρασεῖς ὄντες ὑπεροψίᾳ καὶ ὕβρει, τοὺς πρώτους ἐλύπουν, σκῦλόν τε βοῶντος αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν

εὐγενῶν καὶ πλουσίων μαλακίας, καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον, οὐ μνήμασι νεκρῶν, οὐδ᾽ ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι. Πολλάκις δὲ καὶ τοὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρατηγοὺς, τοῦτο μὲν Βηστίαν, τοῦτο δ᾽ Ἀλβῖνον, ἀνθρώπους οἴκων μὲν ἐπιφανῶν, αὐτοὺς δὲ τύχῃ σφαλέντας, ἀπολέμους καὶ δι᾽ ἀπειρίαν πταίσαντας, ὀνομάζων, ἐπυνθάνετο τῶν παρόντων, εἰ μὴ καὶ τοὺς ἐκείνων οἴονται προγόνους αὐτῷ μᾶλλον ἂν εὔξασθαι παραπλησίους ἐκγόνους ἀπολιπεῖν, ἅτε δὴ μηδ᾽ αὐτοὺς δι᾽ εὐγένειαν, ἀλλ᾽ ἀπ᾽ ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξους γενομένους. Ταῦτα δ᾽ οὐ κενῶς, οὐδ᾽ ἀλαζονικῶς ἔλεγεν, οὐδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βουλόμενος· ἀλλ᾽ ὁ δῆμος αὐτὸν, ἡδόμενός τε τῇ βουλῇ προπηλακιζομένῃ, καὶ λόγου κόμπῳ μετρῶν ἀεὶ φρονήματος μέγεθος, ἐξεκούφιζε, καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων, χαριζόμενον τοῖς πολλοῖς.

I. Ὡς δὲ διέπλευσεν εἰς Λιβύην, Μέτελλος μὲν, ἥττων τοῦ φθόνου γενόμενος, καὶ περιπαθῶν, ὅτι, κατειργασμένου τὸν πόλεμον αὐτοῦ, καὶ μηδὲν ὑπόλοιπον, ἢ τὸ σῶμα τοῦ Ἰουγούρθα λαβεῖν, ἔχοντος, ἥκει Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον, ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, οὐχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν· ἀλλ᾽ αὐτὸς μὲν ὑπεξεχώρησε, Ῥουτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε, πρεσβευτὴς γεγονὼς τοῦ Μετέλλου. Καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον· ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τοῦ κατορθώματος δόξαν, ὡς ὑπ᾽ ἐκείνου Μέτελλος. Ὃν τρόπον δ᾽, ἀφηγήσομαι βραχέως, ἐπεὶ τὰ καθ᾽ ἕκαστα μᾶλλον ἐν τοῖς περὶ Σύλλα γέγραπται. Βόκχος, ὁ τῶν ἄνω βαρβάρων βασιλεὺς, ἦν πενθερὸς Ἰουγούρθα, καὶ πολεμοῦντι μὲν οὐ πάνυ τι συλλαμβάνειν ἐδόκει, προβαλλόμενος αὐτοῦ τὴν ἀπιστίαν, καὶ τὴν αὔξησιν δεδοικώς. Ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος, ἐκεῖνον ὑπ᾽ ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον, καὶ κατῆρε πρὸς αὐτὸν, αἰσχύνῃ μᾶλλον

ὡς ἱκέτην, ἢ δι' εὔνοιαν ὑποδεξάμενος, διὰ χειρὸς εἶχε, φανερῶς μὲν ὑπὲρ αὐτοῦ παραιτούμενος Μάριον, καὶ γράφων, ὡς οὐκ ἂν ἐκδῴη, καὶ παῤῥησιαζόμενος· κρύφα δὲ βουλεύων προδοσίαν ἐπ' αὐτῷ, καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίου, χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον ἐπὶ ςρατείας. Ὡς δὲ πιστεύσας ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον, ἡμέρας τε συχνὰς διηνέχθη τῷ λογισμῷ, βουλευόμενος, ἢ παραδοῦναι τὸν Ἰουγούρθαν, ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι. Τέλος δὲ, τὴν προτέραν κυρώσας προδοσίαν, ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. Καὶ τοῦτο πρῶτον ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἣ μικρὸν ἐδέησεν ἀνατρέψαι τὴν Ῥώμην. Πολλοὶ γὰρ ἐβούλοντο τοῦ Σύλλα τὸ ἔργον εἶναι, τῷ Μαρίῳ φθονοῦντες· αὐτός τε Σύλλας σφραγῖδα ποιησάμενος, ἐφόρει γλυφὴν ἔχουσαν ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ. Καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει, φιλότιμον ἄνδρα, καὶ πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν, ἐρεθίζων τὸν Μάριον, ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκείνου, καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ Μετέλλῳ, τὰ δ' ἔσχατα καὶ τὸ πέρας αὐτοῦ Σύλλᾳ προστιθέντων, ὡς παύσαιτο θαυμάζων καὶ προσέχων ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος.

ΙΑ. Ταχὺ μέντοι τὸν φθόνον τοῦτον, καὶ τὰ μίση, καὶ τὰς διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ μετέςησεν ὁ κατασχὼν τὴν Ἰταλίαν ἀπὸ τῆς ἑσπέρας κίνδυνος, ἅμα τῷ πρῶτον ἐν χρείᾳ μεγάλου ςρατηγοῦ γενέσθαι, καὶ περισκέψασθαι τὴν πόλιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον· οὐδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων, ἢ πλουσίων οἴκων, ἐπὶ τὰς ὑπατικὰς κατιόντων ἀρχαιρεσίας, ἀλλὰ ἀπόντα τὸν Μάριον ἀναγορευσάντων. Ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς τῆς Ἰουγούρθα συλλήψεως, αἱ περὶ Τευτόνων καὶ Κίμ-

βρων φῆμαι προσέπιπτον, ἀπιςίαν μὲν ἐν ἀρχῇ παρασχοῦσαι πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων ςρατῶν, ὕςερον δὲ τῆς ἀληθείας ὑποδεέςεραι φανεῖσαι. Μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα σὺν ὅπλοις ἐχώρουν, ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι, γῆς χρήζοντες, ἣ θρέψει τοσοῦτον πλῆθος, καὶ πόλεων, ἐν αἷς ἱδρυνθέντες βιώσονται, καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο Κελτοὺς τῆς Ἰταλίας τὴν ἀρίςην κατασχεῖν, Τυῤῥηνῶν ἀφελομένους. Αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους, μήκει τε χώρας, ἣν ἐπῆλθον, ἠγνοοῦντο, τίνες ὄντες ἀνθρώπων, ἢ πόθεν ὁρμηθέντες, ὥσπερ νέφος ἐμπέσοιεν τῇ Γαλατίᾳ καὶ Ἰταλίᾳ. Καὶ μάλιςα μὲν εἰκάζοντο Γερμανικὰ γένη τῶν καθηκόντων ἐπὶ τὸν βόρειον ὠκεανὸν εἶναι, τοῖς μεγέθεσι τῶν σωμάτων, καὶ τῇ χαροπότητι τῶν ὀμμάτων· καὶ ὅτι Κίμβρους ἐπονομάζουσι Γερμανοὶ τοὺς λῃςάς. Εἰσὶ δ' οἳ καὶ τὴν Κελτικὴν, διὰ βάθος χώρας καὶ μέγεθος, ἀπὸ τῆς ἔξωθεν θαλάσσης, καὶ τῶν ὑπαρκτίων κλιμάτων, πρὸς ἥλιον ἀνίσχοντα καὶ τὴν Μαιῶτιν ἐπιςρέφουσαν, ἅπτεσθαι τῆς Ποντικῆς Σκυθίας λέγουσι, κἀκεῖθεν τὰ γένη μεμίχθαι. Τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς, οὐδὲ συνεχῶς, ἀλλ' ἔτους ὥρᾳ καθ' ἕκαςον ἐνιαυτὸν εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας, πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. Δι' ὃ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων, κοινῇ Κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. Ἄλλοι δὲ φασὶ, Κιμμερίων τὸ μὲν πρῶτον ὑφ' Ἑλλήνων τῶν πάλαι γνωσθέντων, οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον, ἀλλὰ φυγὴν, ἢ ςάσιν τινὰ βιασθεῖσαν ὑπὸ Σκυθῶν, εἰς Ἀσίαν ἀπὸ τῆς Μαιώτιδος διαπεράσαι, Λυγδάμιος ἡγουμένου. Το δὲ πλεῖςον αὐτῶν καὶ μαχιμώτατον, ἐπ' ἐσχάτοις οἰκοῦν παρὰ τὴν ἔξω θάλασσαν, γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη, διὰ βάθος καὶ πυκνότητα δρυμῶν, οὓς μέχρι τῶν Ἑρκυνίων εἴσω διήκειν, οὐρανοῦ δ' εἰληχέναι, καθ' ὃ δοκεῖ μέγα

λαμβάνων ὁ πόλος ἔξαρμα, διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων, ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱςαμένου σημείου πρὸς τὴν οἴκησιν· αἵ τε ἡμέραι βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον· δι᾽ ὃ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος Ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. Ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν Ἰταλίαν, Κιμμερίων μὲν ἐξ ἀρχῆς, τότε δὲ Κίμβρων, οὐκ ἄπο τρόπου προσαγορευομένων. Ἀλλὰ ταῦτα μὲν εἰκασμῷ μᾶλλον, ἢ κατὰ βέβαιον ἱςορίαν, λέγεται. Τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος, ὑπὸ πολλῶν ἱςόρηται. Θυμὸν δὲ καὶ τόλμαν ἀνυπόστατοι, καὶ χειρῶν ἔργα πχρὰ τὰς μάχας ὀξύτητι καὶ βίᾳ πυρὸς ἐοικότες ἐπῄεσαν, οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μὲν, ὅσους ἐπῆλθον, ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων· πολλῶν δὲ καὶ μεγάλων Ῥωμαϊκῶν ςρατοπέδων καὶ ςρατηγῶν, ὅσοι προεςήκεσαν τῆς ἐκτὸς Ἄλπεων Γαλατίας, ἀνηρπασμένων ἀκλεῶς· οἳ καὶ μάλιςα τὴν φορὰν αὐτῶν, κακῶς ἀγωνισάμενοι, κατὰ τῆς Ῥώμης ἐπεσπάσαντο. Νικήσαντες γὰρ οἷς ἐνέτυχον, καὶ χρημάτων πολλῶν κρατήσαντες, ἔγνωσαν μηδαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἀνατρέψωσι τὴν Ῥώμην, καὶ διαπορθήσωσι τὴν Ἰταλίαν.

ΙΒ. Ταῦτα Ῥωμαῖοι πυνθανόμενοι πολλαχόθεν, ἐκάλουν Μάριον ἐπὶ τὴν ςρατηγίαν. Καὶ τὸ δεύτερον ὕπατος ἀπεδείχθη, τοῦ μὲν νόμου κωλύοντος ἀπόντα, καὶ μὴ διαλιπόντα χρόνον ὡρισμένον, αὖθις αἱρεῖσθαι, τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντας ἐκβαλόντος. Ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἴξειν τῷ συμφέροντι τὸν νόμον, οὔτ᾽ ἀλογωτέραν εἶναι τὴν παροῦσαν αἰτίαν ἐκείνης, δι᾽ ἣν τὸν Σκιπίωνα παρὰ τοὺς νόμους ὕπατον ἀπέδειξαν, οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν, ἀλλὰ τὴν Καρχηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. Ταῦτ᾽ ἔδοξε· καὶ Μάριος, ἐκ Λιβύης μετὰ τοῦ ςρατεύματος διακομισθεὶς, αὐταῖς Καλάνδαις Ἰανουαρίαις,

ἣν ἔτους ἀρχὴν ἄγουσι Ῥωμαῖοι, τήν τε ὑπατείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν, ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις Ἰουγούρθαν αἰχμάλωτον· οὗ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν. Οὕτω τὶς ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. Ἀλλ' ἐξέστη γε πομπευθεὶς, ὡς λέγουσι, τότε τοῦ φρονεῖν· καὶ μετὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσὼν, ὡς οἱ μὲν αὐτοῦ βίᾳ περιέῤῥηξαν τὸν χιτωνίσκον, οἱ δὲ σπεύδοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἐλλόβιον, ἅμα τὸν λοβὸν συναπέῤῥηξαν, ὠσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον κατεβλήθη, μεστὸς ὢν ταραχῆς, καὶ διασεσηρώς· Ἡράκλεις, εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον. Ἀλλὰ τοῦτον μὲν, ἓξ ἡμέραις ζυγομαχήσαντα τῷ λιμῷ, καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐκκρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας, εἶχεν ἀξία δίκη τῶν ἀσεβημάτων. Ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσοῦ μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας, ἀργύρου δὲ ἀσήμου πεντακισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε, νομίσματος δὲ δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυριάσιν ὀκτὼ καὶ εἴκοσι. Μετὰ δὲ τὴν πομπὴν ὁ Μάριος σύγκλητον ἤθροισεν ἐν Καπιτωλίῳ, καὶ παρῆλθε μὲν, εἴτε λαθὼν αὐτὸν, εἴτε τῇ τύχῃ χρώμενος ἀγροικότερον, ἐν τῇ θριαμβικῇ κατασκευῇ. Ταχὺ δὲ τὴν βουλὴν ἀχθεσθεῖσαν αἰσθόμενος, ἐξανέστη, καὶ μεταλαβὼν τὴν περιπόρφυρον, αὖθις ἦλθεν.

ΙΓ. Ἐν δὲ τῇ στρατείᾳ τὴν δύναμιν διεπόνει καθ' ὁδὸν, ἐξασκῶν δρόμοις τε παντοδαποῖς καὶ μακραῖς ὁδοιπορίαις, ἑαυτὸν δ' ἀχθοφορεῖν ἀναγκάζων καὶ αὐτουργεῖν τὰ πρὸς τὴν δίαιταν. Ὥστε καὶ μετὰ ταῦτα τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα ποιοῦντας, ἡμιόνους Μαριανοὺς καλεῖσθαι. Καίτοι τινὲς αἰτίαν ἑτέραν τοῦ λόγου τούτου νομίζουσι. Σκιπίωνος γὰρ, ὅτε Νομαντίαν ἐπολιόρκει, βουληθέντος ἐπιδεῖν μὴ μόνον τὰ ὅπλα, μηδὲ τοὺς ἵππους, ἀλλὰ καὶ τοὺς ὀρεῖς καὶ τὰς

ἁμάξας, ὅπως ἑκάστοις ἐξησκημένα καὶ παρεσκευασμένα τυγχάνοι, προαγαγεῖν τὸν Μάριον ἵππον τε κάλλιστα τεθραμμένον ὑπ' αὐτοῦ, καὶ ἡμίονον εὐεξίᾳ καὶ πρᾳότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. Ἡσθέντος οὖν τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι, καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον, Μαριανὸν ἡμίονον προσαγορεύειν.

ΙΔ. Εὐτύχημα δὲ δοκεῖ τῷ Μαρίῳ μέγα γενέσθαι. Τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίῤῥοιαν τῆς ὁρμῆς λαβόντων, καὶ ῥυέντων πρότερον ἐπὶ τὴν Ἰβηρίαν, χρόνον ἔσχε καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν, καὶ τὰ φρονήματα πρὸς τὸ θαῤῥεῖν ἀναῤῥῶσαι· τὸ δὲ μέγιστον, αὐτοῖς οἷος ἦν κατανοηθῆναι. Τὸ γὰρ ἐν ἀρχῇ σκυθρωπὸν αὐτοῦ, καὶ περὶ τὰς τιμωρίας δυσμείλικτον, ἐθισθεῖσι μηδὲν ἁμαρτάνειν, μηδ' ἀπειθεῖν, ἅμα τῷ δικαίῳ σωτήριον ἐφαίνετο· τήν τε τοῦ θυμοῦ σφοδρότητα, καὶ τὸ τραχὺ τῆς φωνῆς καὶ ἀγριωπὸν τοῦ προσώπου συντρεφόμενον κατὰ μικρὸν, οὐχ αὑτοῖς ἐνόμιζον εἶναι φοβερὸν, ἀλλὰ τοῖς πολεμίοις. Μάλιστα δ' ἡ περὶ τὰς κρίσεις ὀρθότης αὐτοῦ τοῖς στρατιώταις ἤρεσκεν· ἧς καὶ τοιόνδε τι δεῖγμα λέγεται. Γάϊος Λούσιος, ἀδελφιδοῦς αὐτοῦ, τεταγμένος ἐφ' ἡγεμονίας ἐστρατεύετο, τἄλλα μὲν ἀνὴρ οὐ δοκῶν εἶναι πονηρὸς, ἥττων δὲ μειρακίων καλῶν. Οὗτος ἤρα νεανίσκου τῶν ὑφ' αὑτῷ στρατευομένων, ὄνομα Τρεϐωνίου, καὶ πολλάκις πειρῶν οὐκ ἐτύγχανε· τέλος δὲ νύκτωρ ὑπηρέτην ἀποστείλας, μετεπέμπετο τὸν Τρεϐώνιον· ὁ δὲ νεανίας ἧκε μὲν, ἀντειπεῖν γὰρ οὐκ ἐξῆν καλούμενον, εἰσαχθεὶς δ' ὑπὸ τὴν σκηνὴν πρὸς αὐτὸν, ἐπιχειροῦντα βιάζεσθαι σπασάμενος τὸ ξίφος ἀπέκτεινε. Ταῦτ' ἐπράχθη τοῦ Μαρίου μὴ παρόντος· ἐπανελθὼν δὲ προὔθηκε τῷ Τρεϐωνίῳ κρίσιν. Ἐπεὶ δὲ, πολλῶν κατηγορούντων, οὐδενὸς δὲ συνηγοροῦντος, αὐτὸς εὐθαρσῶς καταστὰς διηγήσατο τὸ πρᾶγμα, καὶ μάρτυρας ἔσχεν,

ὅτι πειρῶντι πολλάκις ἀντεῖπε τῷ Λουσίῳ, καὶ μεγάλων διδομένων, ἐπ' οὐδενὶ προήκατο τὸ σῶμα· θαυμάσας ὁ Μάριος, καὶ ἡσθεὶς, ἐκέλευσε τὸν πάτριον ἐπὶ ταῖς ἀριστείαις στέφανον κομισθῆναι, καὶ λαβὼν αὐτὸς ἐστεφάνωσε τὸν Τρεβώνιον, ὡς κάλλιστον ἔργον ἐν καιρῷ παραδειγμάτων δεομένῳ καλῶν ἀποδεδειγμένον. Τοῦτ' εἰς τὴν Ῥώμην ἀπαγγελθὲν, οὐχ ἥκιστα τῷ Μαρίῳ συνέπραξε τὴν τρίτην ὑπατείαν· ἅμα δὲ καὶ τῶν βαρβάρων ἔτους ὥρᾳ προσδοκίμων ὄντων, ἐβούλοντο μετὰ μηδενὸς ἄλλου ςρατηγοῦ κινδυνεῦσαι πρὸς αὐτούς. Οὐ μὴν ἧκον ὡς προσεδοκῶντο ταχέως, ἀλλὰ πάλιν διῆλθε τῷ Μαρίῳ ὁ τῆς ὑπατείας χρόνος. Ἐνισταμένων δὲ τῶν ἀρχαιρεσιῶν, καὶ τοῦ συνάρχοντος αὐτοῦ τελευτήσαντος, ἀπολιπὼν ἐπὶ τῶν δυνάμεων Μάνιον Ἀκύλλιον, αὐτὸς ἧκεν εἰς Ῥώμην. Μετιόντων δὲ πολλῶν καὶ ἀγαθῶν τὴν ὑπατείαν, Λούκιος Σατορνῖνος, ὁ μάλιστα τῶν δημάρχων ἄγων τὸ πλῆθος, ὑπὸ τοῦ Μαρίου τεθεραπευμένος, ἐδημηγόρει, κελεύων ἐκεῖνον ὕπατον αἱρεῖσθαι. Θρυπτομένου δὲ τοῦ Μαρίου, καὶ παραιτεῖσθαι τὴν ἀρχὴν φάσκοντος, ὡς δὴ μὴ δεομένου, προδότην αὐτὸν ὁ Σατορνῖνος ἀπεκάλει τῆς πατρίδος, ἐν κινδύνῳ τοσούτῳ φεύγοντα τὸ στρατηγεῖν. Καὶ φανερὸς μὲν ἦν ἀπιθάνως συνυποκρινόμενος τὸ προσποίημα τῷ Μαρίῳ· τὸν δὲ καιρὸν ὁρῶντες οἱ πολλοὶ τῆς ἐκείνου δεινότητος ἅμα καὶ τύχης δεόμενον, ἐψηφίσαντο τὴν τετάρτην ὑπατείαν, καὶ συνάρχοντα Κάτλον αὐτῷ Λουτάτιον κατέςησαν, ἄνδρα καὶ τιμώμενον ὑπὸ τῶν ἀρίςων, καὶ τοῖς πολλοῖς οὐκ ἐπαχθῆ.

ΙΕ. Πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ Μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς Ἄλπεις, καὶ τειχίσας ςρατόπεδον παρὰ τῷ Ῥοδανῷ ποταμῷ, συνήγαγεν εἰς αὐτὸ χορηγίαν ἄφθονον· ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη δι' ἔνδειαν τῶν ἀναγκαίων εἰς μάχην καταςῆναι. Τὴν δὲ κομιδὴν ὧν ἔδει τῷ ςρατεύματι, μακρὰν καὶ πολυτελῆ πρότερον οὖσαν

πρὸς τὴν θάλασσαν, αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ ταχεῖαν. Τὰ γὰρ ϛόματα τοῦ Ῥοδανοῦ, πρὸς τὰς ἀποκοπὰς τῆς θαλάσσης, ἰλύν τε πολλὴν λαμβάνοντα καὶ θῖνα, πηλῷ βαθεῖ συμπεπιλημένην ὑπὸ τοῦ κλύδωνος, χαλεπὴν καὶ ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν. Ὁ δὲ, τρέψας ἐνταῦθα τὸν ϛρατὸν σχολάζοντα, τάφρον μεγάλην ἐνέβαλε, καὶ ταύτῃ πολὺ μέρος τοῦ ποταμοῦ μεταςήσας, περιήγαγεν εἰς ἐπιτήδειον αἰγιαλὸν, βαθὺ μὲν, καὶ ναυσὶ μεγάλαις ἔποχον, λεῖον δὲ καὶ ἄκλυςον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν. Αὕτη μὲν οὖν ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει. Τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα, Κίμβροι μὲν ἔλαχον διὰ Νωρικῶν ἄνωθεν ἐπὶ Κάτλον χωρεῖν, καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι· Τεύτονες δὲ καὶ Ἄμβρωνες διὰ Λιγύων ἐπὶ Μάριον παρὰ θάλατταν. Καὶ Κίμβροις μὲν ἐγένετο πλείων ἡ διατριβὴ καὶ μέλλησις, Τεύτονες δὲ καὶ Ἄμβρωνες, ἄραντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν, ἐφαίνοντο πλήθει τ' ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη, φθόγγοντε καὶ θόρυβον οὐχ ἑτέροις ὅμοιοι. Περιβαλόμενοι δὲ τοῦ πεδίου μέγα [μέρος], καὶ στρατοπεδεύσαντες, προεκαλοῦντο τὸν Μάριον εἰς μάχην.

Ιϛ. Ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν, ἐν δὲ τῷ χάρακι τοὺς ϛρατιώτας συνεῖχε, καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων, καὶ τοὺς προπίπτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους, προδότας ἀπεκάλει τῆς πατρίδος. Οὐ γὰρ ὑπὲρ θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὠσάμενοι διασώσουσι τὴν Ἰταλίαν. Ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς ὁμοτίμους ἔλεγε, τοὺς δὲ ϛρατιώτας ὑπὲρ τοῦ χάρακος ἱςὰς ἀνὰ μέρος, καὶ θεᾶσθαι κελεύων, εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι τῶν πολεμίων, καὶ τὴν φωνὴν ὑπομένειν, ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη, σκευήν τε καὶ κίνησιν αὐτῶν καταμανθάνειν, ἅμα τῷ χρόνῳ τὰ φαινό-

μενα δεινὰ ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ τῆς ὄψεως. Ἡγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων τὴν καινότητα τοῖς φοβεροῖς· ἐν δὲ τῇ συνηθείᾳ, καὶ τὰ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. Τῶν δ' οὐ μόνον ἡ καθ' ἡμέραν ὄψις ἀφῄρει τι τοῦ θάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον, οὐκ ἀνεκτὸν ὄντα, θυμὸς αὐτοῖς παριστάμενος ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχὰς, οὐ μόνον ἀγόντων καὶ φερόντων τὰ πέριξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. Ὥστε φωνὰς καὶ διαγανακτήσεις τῶν στρατιωτῶν πρὸς τὸν Μάριον ἐκφέρεσθαι· « Τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν Μάριος εἴργει μάχης, ὥσπερ γυναῖκας, ὑπὸ κλεισὶ καὶ θυρωροῖς; Φέρε, παθόντες ἀνδρῶν πάθος ἐλευθέρων, ἐρώμεθα, πότερον ἄλλους ἀναμένει μαχουμένους ὑπὲρ τῆς Ἰταλίας, ἡμῖν δὲ λειτουργοῖς χρήσεται διὰ παντὸς, ὅταν δέηται τάφρους ὀρύσσειν, καὶ πηλὸν ἐκκαθαίρειν, καὶ ποταμούς τινας παρατρέπειν; ἐπὶ ταῦτα γὰρ, ὡς ἔοικεν, ἤσκει τοῖς πολλοῖς πόνοις ἡμᾶς, καὶ ταῦτα τῶν ὑπατειῶν ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν. Ἢ τὰ Κάρβωνος αὐτὸν φοβεῖ, καὶ Καιπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι, πολὺ μὲν αὐτοὺς τῆς Μαρίου δόξης καὶ ἀρετῆς ἀποδέοντας, πολὺ δὲ χείρονα στρατὸν ἄγοντας; Ἀλλὰ καὶ παθεῖν τι δρῶντας, ὡς ἐκεῖνοι, κάλλιον, ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς.»

ΙΖ. Ταῦτ' ἀκούων ὁ Μάριος ἥδετο, καὶ κατεπράϋνεν αὐτοὺς, ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδεχόμενος. Καὶ γάρ τινα Σύραν γυναῖκα, Μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην, ἐν φορείῳ κατακειμένην σεμνῶς περιήγετο, καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης. Ἣν πρότερον μὲν ἀπήλασεν ἡ σύγκλητος ἐντυχεῖν ὑπὲρ τούτων βουλομένην, καὶ τὰ μέλλοντα προθεσπίζουσαν. Ἐπεὶ δὲ πρὸς τὰς γυναῖκας εἰσιοῦσα διάπειραν ἐδίδου, καὶ μάλιστα τὴν Μαρίου,

ἡ παρακαθίζουσα παρὰ τοὺς πόδας, τῶν μονομάχων ἐπιτυχῶς προηγόρευε τὸν μέλλοντα νικᾷν, ἀναπεμφθεῖσα πρὸς Μάριον ὑπ' ἐκείνης, ἐθαυμάζετο. Καὶ τὰ πολλὰ μὲν ἐν φορείῳ παρεκομίζετο, πρὸς δὲ τὰς θυσίας κατῄει φοινικίδα διπλῆν ἐμπεπορπημένη, καὶ λόγχην ἀναδεδεμένην ταινίαις καὶ στεφανώμασι φέρουσα. Τοῦτο μὲν οὖν τὸ δρᾶμα πολλοῖς ἀμφισβήτησιν παρεῖχεν, εἴτε πεπεισμένος *ὡς* ἀληθῶς, εἴτε πλαττόμενος, καὶ συνυποκρινόμενος ἐπιδείκνυται τὴν ἄνθρωπον. Τὸ δὲ περὶ τοὺς γύπας θαύματος ἄξιον Ἀλέξανδρος ὁ Μύνδιος ἱςόρηκε. Δύο γὰρ ἐφαίνοντο πρὸ τῶν κατορθωμάτων ἀεὶ περὶ τὰς ςρατείας, καὶ παρηκολούθουν γνωριζόμενοι χαλκοῖς περιδεραίοις. Ταῦτα δ' οἱ ςρατιῶται, συλλαβόντες αὐτοὺς, περιῆψαν, εἶτ' ἀφῆκαν. Ἐκ δὲ τούτου γνωρίζοντες ἠσπάζοντο τοὺς γύπας· καὶ, φανέντων ἐπὶ ταῖς ἐξόδοις, ἔχαιρον ὡς ἀγαθόν τι πράξοντες. Πολλῶν δὲ σημείων προφαινομένων, τὰ μὲν ἄλλα χαρακτῆρα κοινὸν εἶχεν· ἐκ δ' Ἀμερίας καὶ Τουδέρτου, πόλεων Ἰταλικῶν, ἀπηγγέλθη νυκτὸς ὦφθαι κατὰ τὸν οὐρανὸν αἰχμάς τε φλογοειδεῖς καὶ θυρεοὺς διαφερομένους τὸ πρῶτον, εἶτα συμπίπτοντας ἀλλήλοις, καὶ σχήματα καὶ κινήματα λαμβάνοντας, οἷα γίνεται μαχομένων ἀνδρῶν. Τέλος δὲ, τῶν μὲν ἐνδιδόντων, τῶν δ' ἐπιφερομένων, πάντας ἐπὶ δυσμὰς ῥυῆναι. Περὶ τοῦτον δέ πως τὸν χρόνον ἀφίκετο καὶ Βαταβάκης ἐκ Πεσσινοῦντος, ὁ τῆς Μεγάλης Μητρὸς ἱερεὺς, ἀπαγγέλλων, ὡς ἡ θεὸς ἐκ τῶν ἀνακτόρων αὐτῷ ἐφθέγξατο, νίκην καὶ μέγα κράτος πολέμου Ῥωμαίοις ὑπάρξειν. Τῆς δὲ συγκλήτου προσθεμένης, καὶ τῇ θεῷ ναὸν ἐπινίκιον ἱδρύσασθαι ψηφισαμένης, τὸν Βαταβάκην εἰς τὸν δῆμον προελθόντα, καὶ ταὐτὰ βουλόμενον εἰπεῖν, ἐκώλυσε δημαρχῶν Αὖλος Πομπήϊος, ἀγύρτην ἀποκαλῶν, καὶ πρὸς ὕβριν ἀπελαύνων τοῦ βήματος· ὃ δὴ καὶ μάλιςα τῷ λόγῳ τοῦ ἀνθρώπου πίςιν παρέσχεν. Οὐ γὰρ ἔφθη, τῆς ἐκκλησίας λυθείσης, ὁ Αὖλος εἰς οἶκον ἐπανελθεῖν,

καὶ πυρετὸς ἐξήνθησεν αὐτῷ τοσοῦτος, ὥςε πᾶσι καταφανῆ γενόμενον καὶ περιβόητον, ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν.

ΙΗ. Οἱ δὲ Τεύτονες ἐπεχείρησαν μὲν, ἡσυχάζοντος τοῦ Μαρίου, πολιορκεῖν τὸ ςρατόπεδον, βέλεσι δὲ πολλοῖς ἐντυχόντες ἀπὸ τοῦ χάρακος φερομένοις, καί τινας ἐξ αὐτῶν ἀποβαλόντες, ἔγνωσαν εἰς τοὔμπροσθεν χωρεῖν, ὡς ὑπερβαλοῦντες ἀδεῶς τὰς Ἄλπεις. Καὶ συσκευασάμενοι, παρήμειβον τὸ ςρατόπεδον τῶν Ῥωμαίων, τότε δὴ μάλιςα παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες. Ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρακα τοῦ Μαρίου παραμείψασθαι συνεχῶς ὁδεύοντες. Ἐπορεύοντο δ' ἐγγὺς, πυνθανόμενοι τῶν Ῥωμαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιςέλλοιεν· αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς. Ἐπεὶ δὲ παρήλλαξαν οἱ βάρβαροι, καὶ προήεσαν, ἄρας καὶ αὐτὸς ἐπηκολούθει σχέδην, ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοὺς ἐκείνους ἱδρυόμενος, ὀχυραῖς δὲ χρώμενος ςρατοπεδείαις, καὶ χωρία καρτερὰ περιβαλλόμενος, ὥς' ἐν ἀσφαλεῖ νυκτερεύειν. Οὕτω δὴ προϊόντες, ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι Σεξτίοις· ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν ἐν ταῖς Ἄλπεσιν εἶναι. Διὸ δὴ καὶ Μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι, καὶ κατέλαβε τῷ ςρατοπέδῳ τόπον, ὀχυρὸν μὲν, ὕδωρ δ' ἄφθονον οὐκ ἔχοντα, βουλόμενος, ὥς φασι, καὶ τούτῳ παροξῦναι τοὺς ςρατιώτας. Πολλῶν γέ τοι δυσχεραινόντων, καὶ διψήσειν λεγόντων, δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι τὸ ποτὸν ὤνιον αἵματος. « Τί οὖν (ἔφασαν) οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτοὺς, ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν » ; Κἀκεῖνος ἠρέμα τῇ φωνῇ· « Πρότερον (εἶπεν) ὀχυρωτέον ἡμῖν τὸ ςρατόπεδον ».

ΙΘ. Οἱ μὲν οὖν ςρατιῶται, καίπερ ἀσχάλλοντες, ἐπείθοντο· τῆς δὲ θεραπείας τὸ πλῆθος, οὔτ' αὐτοὶ ποτὸν, οὔθ' ὑποζυγίοις ἔχοντες, ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμὸν, οἱ μὲν ἀξίνας,

οἱ δὲ πελέκεις, ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. Τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων· ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρὸν, οἱ δ' ἐλούοντο. Ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος· καὶ μέρος τι περὶ ταῦτα τοὺς βαρβάρους εὐπαθοῦντας καὶ πανηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου κατέλαβον οἱ Ῥωμαῖοι. Πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων, τῷ τε Μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν, περὶ τῶν οἰκετῶν δεδιότας· καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος, ὑφ' οὗ προήττηντο Ῥωμαῖοι μετὰ Μαλλίου καὶ Καιπίωνος πρότερον (Ἄμβρωνες δ' ὠνομάζοντο, καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' αὑτοὺς ἦσαν), ἀναΐξαντες, ἐπὶ τὰς πανοπλίας ἐχώρουν. Τὰ μὲν οὖν σώματα πλησμονῇ βεβαρημένοι, τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον, οὐκ ἀτάκτοις, οὐδὲ μανιώδεσι φερόμενοι δρόμοις, οὐδ' ἄναρθρον ἀλαλαγμὸν ἱέντες, ἀλλὰ κρούοντες ῥυθμῷ τὰ ὅπλα, καὶ συναλλόμενοι πάντες ἅμα, τὴν αὑτῶν ἐφθέγγοντο πολλάκις προσηγορίαν ἌΜΒΡΩΝΕΣ· εἴτε ἀνακαλούμενοι σφᾶς αὐτοὺς, εἴτε τοὺς πολεμίους τῇ προδηλώσει προεκφοβοῦντες. Τῶν δ' Ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτοὺς Λίγυες, ὡς ἤκουσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνουν καὶ αὐτοὶ τὴν πάτριον ἐπίκλησιν αὑτῶν εἶναι· σφᾶς γὰρ αὐτοὺς οὕτως ὀνομάζουσι κατὰ γένος Λίγυες. Πυκνὸν οὖν καὶ παράλληλον ἀντήχει, πρὶν εἰς χεῖρας συνελθεῖν, τὸ ἀναφώνημα· καὶ τῶν στρατηγῶν ἑκατέροις ἀνὰ μέρος συναναφθεγγομένων, καὶ φιλοτιμουμένων πρῶτον ἀλλήλους τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι, παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ κραυγή. Τοὺς μὲν οὖν Ἄμβρωνας διέσπασε τὸ ῥεῖθρον· οὐ γὰρ ἔφθασαν εἰς τάξιν καταστῆναι διαβάντες, ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ δρόμου τῶν Λιγύων προσπεσόντων, ἐν χερσὶν ἦν ἡ μάχη. Τοῖς δὲ Λίγυσι τῶν Ῥωμαίων ἐπιβοηθούντων, καὶ φερομένων

ἄνωθεν ἐπὶ τοὺς βαρβάρους, βιασθέντες ἐτράποντο, καὶ πλεῖστοι μὲν αὐτοῦ περὶ τὸ ῥεῖθρον ὠθούμενοι κατ' ἀλλήλων ἐπαίοντο, καὶ κατεπίμπλασαν φόνου καὶ νεκρῶν τὸν ποταμόν· τοὺς δὲ διαβάντας οἱ Ῥωμαῖοι μὴ τολμῶντας ἀναστρέφειν ἔκτεινον, ἄχρι τοῦ στρατοπέδου καὶ τῶν ἁμαξῶν φεύγοντας. Ἐνταῦθα δ' αἱ γυναῖκες ἀπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων, δεινὸν τετριγυῖαι καὶ περίθυμον, ἠμύνοντο τοὺς φεύγοντας, ὁμοίως καὶ τοὺς διώκοντας, τοὺς μὲν ὡς προδότας, τοὺς δ' ὡς πολεμίους· ἀναπεφυρμέναι μαχομένοις, καὶ χερσὶ γυμναῖς τούς τε θυρεοὺς τῶν Ῥωμαίων ἀποσπῶσαι, καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι, καὶ τραύματα καὶ διακοπὰς σωμάτων ὑπομένουσαι μέχρι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. Τὴν μὲν οὖν παραποταμίαν μάχην οὕτω κατὰ τύχην μᾶλλον, ἢ γνώμῃ τοῦ ςρατηγοῦ, γενέσθαι λέγουσιν.

Κ. Ἐπεὶ δὲ πολλοὺς τῶν Ἀμβρώνων οἱ Ῥωμαῖοι διαφθείραντες ἀνεχώρουν ὀπίσω, καὶ σκότος ἐπέσχεν, οὐχ, ὥσπερ ἐπ' εὐτυχήματι τοσούτῳ, τὸν ςρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι, καὶ πότοι κατὰ σκηνάς, καὶ φιλοφροσύναι περὶ δεῖπνα, καί, τὸ πάντων ἥδιςον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἤπιος· ἀλλ' ἐκείνην μάλιςα τὴν νύκτα φοβερὰν καὶ ταραχώδη διήγαγον. Ἦν μὲν γὰρ αὐτοῖς ἀχαράκωτον τὸ ςρατόπεδον καὶ ἀτείχιςον· ὑπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι, καὶ συμμεμιγμένων τούτοις, ὅσοι διαπεφεύγεσαν, τῶν Ἀμβρώνων ὀδυρμὸς ἦν διὰ νυκτός, οὐ κλαυθμοῖς, οὐδὲ ςεναγμοῖς ἀνθρώπων ἐοικώς, ἀλλὰ θηρομιγής τις ὠρυγὴ καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς καὶ θρήνοις, ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου, τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφώνει. Καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον, τοὺς δὲ Ῥωμαίους δέος, αὐτόν τε τὸν Μάριον ἔκπληξις, ἄκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχόμενον. Οὐμὴν ἐπῆλθον οὔτε νυκτός, οὔτε τῆς ἐπιούσης ἡμέρας, ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι

νῃ διετέλουν. Ἐν τούτῳ δὲ Μάριος, ἦσαν γὰρ ὑπὲρ κεφαλῆς τῶν βαρβάρων νάπαι περικλινεῖς, καὶ κατάσκιοι δρυμοὶς αὐλῶνες, ἐνταῦθα Κλαύδιον Μάρκελλον ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν, ἐνεδρεῦσαι κελεύσας κρύφα, καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. Τοὺς δ' ἄλλους, δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας, ἅμ' ἡμέρᾳ συνέταττε, πρὸ τοῦ χάρακος ἀγαγὼν καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. Θεασάμενοι δ' οἱ Τεύτονες, οὐκ ἠνέσχοντο καταβαίνοντας αὐτοῖς ἐξ ἴσου διαγωνίζεσθαι τοὺς Ῥωμαίους, ἀλλὰ σὺν τάχει καὶ δι' ὀργῆς ὁπλισάμενοι, τῷ λόφῳ προσέβαλλον. Ὁ δὲ Μάριος, ἑκασταχοῦ διαπέμπων τοὺς ἡγεμόνας, ἑστάναι καὶ καρτερεῖν παρεκάλει· πελασάντων δ' εἰς ἐφικτὸν, ἐξακοντίσαι τοὺς ὑσσοὺς, εἶτα χρῆσθαι ταῖς μαχαίραις, καὶ τοῖς θυρεοῖς ἀντερείσαντας βιάζεσθαι. Τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις, οὔτε τόνον ἕξειν τὰς πληγὰς, οὔτε ῥώμην τὸν συνασπισμὸν, ἐν περιτροπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. Ταῦτα ἅμα παρῄνει, καὶ δρῶν ἑωρᾶτο πρῶτος· οὐδενὸς γὰρ ἤσκητο χεῖρον τὸ σῶμα, καὶ πάντας πολὺ τῇ τόλμῃ παρήλλαττεν.

ΚΑ. Ὡς οὖν ἀντιάσαντες αὐτοῖς οἱ Ῥωμαῖοι, καὶ συμπεσόντες ἔσχον ἄνω φερομένους, ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον· καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις, βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. Ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν Μάρκελλον, ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης, ἀναστήσας τοὺς μετ' αὐτοῦ, δρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου, κτείνων τοὺς ἐσχάτους. Οἱ δὲ, τοὺς πρὸ αὐτῶν ἐπισπώμενοι, ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν· οὐ πολύν τε χρόνον ἠνέσχοντο παιόμενοι διχόθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφευγον. Οἱ δὲ Ῥωμαῖοι διώκοντες, αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας ἢ ζῶντας εἷλον, ἢ κατέβαλον· σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα

μὴ διεκλάπῃ, Μάριον λαβεῖν ἐψηφίσαντο. Καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχὼν, οὐδὲν ἄξιον ἔχειν, ὧν ἐστρατήγησεν, ἐνομίσθη, διὰ τὸ τοῦ κινδύνου μέγεθος. Ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν, οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. Μασσαλιώτας μέν [γε] λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας, τὴν δὲ γῆν, τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν, καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ, λέγοντι πιαίνεσθαι πρὸς τοῦ τοιούτου τὰς ἀρούρας. Ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταῤῥήγνυσθαι λέγουσιν, εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διιπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος· εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς.

ΚΒ. Μετὰ δὲ τὴν μάχην ὁ Μάριος, τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν, ἐπέλεξε· τῶν δ᾽ ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος, ἔθυσε θυσίαν μεγαλοπρεπῆ. Καὶ, τοῦ στρατοῦ περιεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου, περιζωσάμενος αὐτὸς, ὥσπερ ἔθος ἐστὶν, ἀναλαβὼν τὴν περιπόρφυρον, καὶ λαβὼν δᾷδα καιομένην, καὶ δι᾽ ἀμφοτέρων τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανὸν, ἔμελλεν ὑφήσειν τῇ πυρᾷ· καὶ προσελαύνοντες ἵπποις ἑωρῶντο φίλοι σὺν τάχει πρὸς αὐτὸν, ὥστε πολλὴν γενέσθαι σιωπὴν καὶ προσδοκίαν ἁπάντων. Ἐπεὶ δ᾽ ἐγγὺς ἦσαν, ἀποπηδήσαντες ἐδεξιοῦντο τὸν Μάριον, εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον ᾑρῆσθαι, καὶ γράμματα περὶ τούτων ἀπέδοσαν. Μεγάλης οὖν χαρᾶς τοῖς ἐπινικίοις προσγενομένης, ὅ τε στρατὸς ὑφ᾽ ἡδονῆς ἐνοπλίῳ τινὶ κρότῳ καὶ πατάγῳ

συνηλάλαξαν, καὶ τῶν ἡγεμόνων τὸν Μάριον αὖθις ἀναδούντων δάφνης στεφάνοις, ἀνῆψε τὴν πυρὰν, καὶ τὴν θυσίαν ἐπετελείωσεν.

ΚΓ. Ἡ δὲ μηδὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων ἄκρατον εἰς ἡδονὴν καὶ καθαρὸν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποικίλλουσα τὸν ἀνθρώπινον βίον, ἢ τύχη τις, ἢ νέμεσις, ἢ πραγμάτων ἀναγκαία φύσις, οὐ πολλαῖς ὕςερον ἡμέραις ἐπήγαγε τῷ Μαρίῳ καὶ τὴν περὶ Κάτλου τοῦ συνάρχοντος ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ νέφος αὖθις ἕτερον, φόϐον καὶ χειμῶνα τῇ Ῥώμῃ περιστήσασα. Ὁ γὰρ δὴ Κάτλος ἀντικαθήμενος τοῖς Κίμϐροις, τὰς μὲν ὑπερϐολὰς τῶν Ἄλπεων ἀπέγνω φυλάσσειν, μὴ, κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος, ἀσθενὴς γένοιτο· καταϐὰς δ᾽ εὐθὺς εἰς Ἰταλίαν, καὶ τὸν Ἀτισῶνα ποταμὸν λαϐὼν πρὸ αὑτοῦ, καὶ φραξάμενος πρὸς τὰς διαϐάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν, ἔζευξε τὸν πόρον, ὡς ἐπιϐοηθεῖν εἴη τοῖς πέραν, εἰ πρὸς τὰ φρούρια βιάζοιντο διὰ τῶν στενῶν οἱ βάρϐαροι. Τοῖς δὲ τοσοῦτον περιῆν ὑπεροψίας καὶ θράσους κατὰ τῶν πολεμίων, ὥστε, ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι, μᾶλλον, ἢ πράττοντές τι τῶν ἀναγκαίων, γυμνοὶ μὲν ἠνείχοντο νιφόμενοι, καὶ διὰ πάγων καὶ χιόνος βαθείας τοῖς ἄκροις προσέϐαινον, ἄνωθεν δὲ, τοὺς θυρεοὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτ᾽ ἀφιέντες αὑτοὺς, ὑπεφέροντο κατὰ κρημνῶν ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. Ὡς δὲ παραστρατοπεδεύσαντες ἐγγὺς, καὶ κατασκεψάμενοι τὸν πόρον ἤρξαντο χοῦν, καὶ τοὺς πέριξ λόφους ἀναῤῥηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόῤῥιζα, καὶ κρημνῶν σπαράγματα, καὶ γῆς κολωνοὺς ἐφόρουν εἰς τὸν ποταμὸν, ἐκθλίϐοντες τὸ ῥεῦμα, καὶ τοῖς ἐρείδουσι τὰ ζεύγματα βάθροις ἀφιέντες βάρη μεγάλα, συρόμενα κατὰ ῥοῦν καὶ τινάσσοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖςοι τῶν ςρατιωτῶν ἐξέλιπον τὸ μέγα ςρατό-

πεδον καὶ ἀνεχώρουν. Ἔνθα δὴ Κάτλος ἔδειξεν ἑαυτὸν, ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς τῶν πολιτῶν τιθέμενον. Ἐπεὶ γὰρ οὐκ ἔπειθε τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύντας, ἄρασθαι κελεύσας τὸν ἀετὸν, εἰς τοὺς πρώτους τῶν ἀπερχομένων ὥρμησε δρόμῳ, καὶ πρῶτος ἡγεῖτο, βουλόμενος αὑτοῦ τὸ αἰσχρὸν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ' ἑπομένους τῷ στρατηγῷ ποιεῖσθαι τὴν ἀποχώρησιν. Οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ Ἀτισῶνος φρούριον ἐπελθόντες ἔλαβον, καὶ τοὺς αὐτόθι Ῥωμαίους, ἀνδρῶν κρατίστους γενομένους, καὶ προκινδυνεύσαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες, ὑποσπόνδους ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦρον, ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην, εἰς τὴν Κάτλου φασὶν οἰκίαν, ὥσπερ ἀκροθίνιον τῆς νίκης, κομισθῆναι. Τὴν δὲ χώραν ἔρημον βοηθείας ἐπιχυθέντες ἐπόρθουν.

ΚΔ. Ἐπὶ τούτοις ἐκαλεῖτο Μάριος εἰς τὴν πόλιν· καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν, καὶ τῆς βουλῆς προθύμως ψηφισαμένης, οὐκ ἠξίωσεν, εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βουλόμενος, εἴτε πρὸς τὰ παρόντα θαῤῥύνων τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως παρακατατιθέμενος τὴν τῶν πρώτων κατορθωμάτων δόξαν, ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποδοθησομένην. Διαλεχθεὶς δὲ τὰ πρέποντα τῷ καιρῷ, καὶ πρὸς τὸν Κάτλον ἐξορμήσας, τοῦτον τε παρεθάῤῥυνε, καὶ τοὺς αὑτοῦ μετεπέμπετο στρατιώτας ἐκ Γαλατίας. Ὡς δ' ἀφίκοντο, διαβὰς τὸν Ἠριδανὸν, εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς Ἰταλίας τοὺς βαρβάρους. Οἱ δὲ, τοὺς Τεύτονας ἐκδέχεσθαι, καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκοντες, ἀνεβάλλοντο τὴν μάχην· εἴτ' ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθορὰν, εἴτε βουλόμενοι δοκεῖν ἀπιστεῖν. Καὶ γὰρ τοὺς ἀγγέλλοντας ᾐκίζοντο δεινῶς, καὶ τὸν Μάριον ᾔτουν πέμψαντες ἑαυτοῖς

καὶ τοῖς ἀδελφοῖς χώραν, καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. Ἐρομένου δὲ τοῦ Μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν, κἀκείνων ὀνομασάντων τοὺς Τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν, ὁ δὲ Μάριος ἔσκωψεν εἰπών· « Ἐᾶτε τοίνυν τοὺς ἀδελφούς· ἔχουσι γὰρ γῆν ἐκεῖνοι, καὶ διὰ παντὸς ἕξουσι, παρ' ἡμῶν λαβόντες ». Οἱ δὲ πρέσβεις, τὴν εἰρωνείαν συνέντες, ἐλοιδόρουν αὐτὸν, ὡς δίκην ὑφέξοντα, Κίμβροις μὲν αὐτίκα, Τεύτοσι δ', ὅταν παραγένωνται. « Καὶ μὴν πάρεισιν (ἔφη ὁ Μάριος), καὶ οὐχ ἕξει καλῶς ὑμῖν ἀπαλλαγῆναι πρότερον, ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι ». Καὶ ταῦτ' εἰπὼν ἐκέλευσε τοὺς βασιλεῖς τῶν Τευτόνων προαχθῆναι δεδεμένους. Ἑάλωσαν γὰρ ἐν ταῖς Ἄλπεσι φεύγοντες ὑπὸ Σηκουανῶν.

ΚΕ. Ὡς δ' ἀπηγγέλθη ταῦτα τοῖς Κίμβροις, αὖθις ἐξ ἀρχῆς ἐχώρουν ἐπὶ τὸν Μάριον, ἡσυχάζοντα καὶ διαφυλάσσοντα τὸ ϛρατόπεδον. Λέγεται δ', εἰς ἐκείνην τὴν μάχην πρῶτον ὑπὸ Μαρίου καινοτομηθῆναι τὸ περὶ τοὺς ὑσσούς. Τὸ γὰρ εἰς τὸν σίδηρον ἔμβλημα τοῦ ξύλου, πρότερον μὲν ἦν δυσὶ περόναις κατειλημμένον σιδηραῖς· τότε δὲ ὁ Μάριος τὴν μὲν, ὥσπερ εἶχεν, εἴασε, τὴν δ' ἑτέραν ἐξελὼν, ξύλινον ἧλον εὔθραυϛον ἀντ' αὐτῆς ἐνέβαλε· τεχνάζων προσπεσόντα τὸν ὑσσὸν τῷ θυρεῷ τοῦ πολεμίου, μὴ μένειν ὀρθὸν, ἀλλὰ τοῦ ξυλίνου κλασθέντος ἥλου, καμπὴν γίνεσθαι περὶ τὸν σίδηρον, καὶ παρέλκεσθαι τὸ δόρυ διὰ τὴν ϛρεβλότητα τῆς αἰχμῆς ἐνεχόμενον. Βοιῶριξ δὲ, ὁ τῶν Κίμβρων βασιλεὺς, ὀλιγοϛὸς προσιππεύσας τῷ στρατοπέδῳ, προὐκαλεῖτο τὸν Μάριον ἡμέραν ὁρίσαντα καὶ τόπον προελθεῖν καὶ διαγωνίσασθαι περὶ τῆς χώρας. Τοῦ δὲ Μαρίου φήσαντος, οὐδέποτε Ῥωμαίους συμβούλοις κεχρῆσθαι περὶ μάχης τοῖς πολεμίοις, οὐ μὴν ἀλλὰ *καὶ* χαριεῖσθαι τοῦτο Κίμβροις, ἡμέραν μὲν ἔθεντο τὴν ἀπ' ἐκείνης τρίτην, χώραν δὲ τὸ πεδίον τὸ περὶ Βερκέλλας, Ῥωμαίοις μὲν ἐπιτήδειον ἐνιππάσασθαι, τῶν δ' ἀνάχυσιν τῷ πλήθει παρασχεῖν. Τηρήσαντες οὖν τὸν ὡρισμένον χρό-

νον, ἀντιπαρετάσσοντο, Κάτλος μὲν ἔχων δισμυρίους καὶ τριακοσίους στρατιώτας· οἱ δὲ Μαρίου δισχίλιοι μὲν ἐπὶ τρισμυρίοις ἐγένοντο, περιέσχον δὲ τὸν Κάτλον ἐν μέσῳ νεμηθέντες εἰς ἑκάτερον κέρας, ὡς Σύλλας, ἠγωνισμένος ἐκείνην τὴν μάχην, γέγραφε. Καὶ φησὶ, τὸν Μάριον, ἐλπίσαντα τοῖς ἄκροις μάλιστα καὶ κατὰ κέρας συμπεσεῖν τὰς φάλαγγας, ὅπως ἴδιος ἡ νίκη τῶν ἐκείνου στρατιωτῶν γένοιτο, καὶ μὴ μετάσχοι τοῦ ἀγῶνος ὁ Κάτλος, μηδὲ προσμίξειε τοῖς πολεμίοις, κόλπωμα τῶν μέσων, ὥσπερ εἴωθεν ἐν μεγάλοις μετώποις, λαμβανόντων, οὕτω διαστῆσαι τὰς δυνάμεις. Ὅμοια δὲ καὶ τὸν Κάτλον αὐτὸν ἀπολογεῖσθαι περὶ τούτων ἱστοροῦσι, πολλὴν κατηγοροῦντα τοῦ Μαρίου κακοήθειαν πρὸς αὐτόν. Τοῖς δὲ Κίμβροις τὸ μὲν πεζὸν ἐκ τῶν ἐρυμάτων καθ' ἡσυχίαν προήει, βάθος ἴσον τῷ μετώπῳ ποιούμενον· ἑκάστη γὰρ ἐπέσχε πλευρὰ σταδίους τριάκοντα τῆς παρατάξεως. Οἱ δ' ἱππεῖς, μύριοι καὶ πεντακισχίλιοι τὸ πλῆθος ὄντες, ἐξήλασαν λαμπροὶ, κράνη μὲν εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις ἔχοντες, ἃς ἐπαιρόμενοι λόφοις πτερωτοῖς εἰς ὕψος ἐφαίνοντο μείζους, θώραξι δὲ κεκοσμημένοι σιδηροῖς, θυρεοῖς δὲ λευκοῖς στίλβοντες. Ἀκόντισμα δ' ἦν ἑκάστῳ διβολία· συμπεσόντες δὲ μεγάλαις ἐχρῶντο καὶ βαρείαις μαχαίραις.

Κϛ. Τότε δ' οὐχὶ κατὰ στόμα προσεφέροντο τοῖς Ῥωμαίοις, ἀλλ' ἐκκλίνοντες ἐπὶ δεξιὰ, ὑπῆγον αὐτοὺς, κατὰ μικρὸν ἐμβάλλοντες εἰς τὸ μέσον αὐτῶν τε καὶ τῶν πεζῶν ἐξ ἀριστερᾶς παρατεταγμένων. Καὶ συνεῖδον μὲν οἱ τῶν Ῥωμαίων στρατηγοὶ τὸν δόλον, ἐπισχεῖν δὲ τοὺς στρατιώτας οὐκ ἔφθησαν· ἀλλ' ἑνὸς ἐκβοήσαντος, ὅτι φεύγουσιν οἱ πολέμιοι, πάντες ὥρμησαν διώκειν. Καὶ τὸ πεζὸν ἐν τούτῳ τῶν βαρβάρων ἐπήει, καθάπερ πέλαγος ἀχανὲς κινούμενον. Ἐνταῦθα νιψάμενος ὁ Μάριος τὰς χεῖρας καὶ πρὸς τὸν οὐρανὸν ἀνασχὼν, ηὔξατο τοῖς θεοῖς κατὰ ἑκατόμβης· ηὔξατο δὲ καὶ Κάτλος, ὁμοίως ἀνασχὼν τὰς χεῖρας, καθιερώ-

σειν τὴν τύχην τῆς ἡμέρας ἐκείνης. Τὸν δὲ Μάριον καὶ θύσαντα λέγεται, τῶν ἱερῶν αὐτῷ δειχθέντων, μέγα φθεγξάμενον εἰπεῖν· Ἐμὴ [ἡ] νίκη. Γενομένης δὲ τῆς ἐφόδου, πρᾶγμα νεμεσητὸν παθεῖν τὸν Μάριον οἱ περὶ Σύλλαν ἱστοροῦσι. Κονιορτοῦ γὰρ ἀρθέντος, οἷον εἰκὸς, ἀπλέτου, καὶ τῶν στρατοπέδων ἀποκεκρυμμένων, ἐκεῖνον μὲν, ὡς τὸ πρῶτον ὥρμησε πρὸς τὴν δίωξιν ἐπισπασάμενον τὴν δύναμιν, ἀστοχῆσαι τῶν πολεμίων, καὶ παρενεχθέντα τῆς φάλαγγος ἐν τῷ πεδίῳ διαφέρεσθαι πολὺν ἤδη χρόνον· τῷ δὲ Κάτλῳ τοὺς βαρβάρους ἀπὸ τύχης συῤῥαγῆναι, καὶ γενέσθαι τὸν ἀγῶνα κατ' ἐκεῖνον καὶ τοὺς ἐκείνου μάλιςα στρατιώτας, ἐν οἷς αὐτὸς ὁ Σύλλας τετάχθαι φησί· συναγωνίσασθαι δὲ τοῖς Ῥωμαίοις τὸ καῦμα καὶ τὸν ἥλιον ἀντιλάμποντα τοῖς Κίμβροις. Δεινοὶ γὰρ ὄντες ὑπομεῖναι κρύη, καὶ τόποις ἐντεθραμμένοι σκιεροῖς, ὡς λέλεκται, καὶ ψυχροῖς, ἀνετρέποντο πρὸς τὸ θάλπος, ἱδρῶτά τε μετ' ἄσθματος πολὺν ἐκ τῶν σωμάτων ἀφιέντες, καὶ τοὺς θυρεοὺς προβαλλόμενοι πρὸ τῶν προσώπων, ἅτε δὴ καὶ μετὰ τροπὰς θέρους τῆς μάχης γενομένης, ὡς ἄγουσι Ῥωμαῖοι πρὸ τριῶν ἡμερῶν τῆς νουμηνίας τοῦ νῦν μὲν Αὐγούστου, τότε δὲ Σεξτιλίου μηνός. Ὤνησε δὲ καὶ πρὸς τὸ θαῤῥεῖν ὁ κονιορτὸς, ἀποκρύψας τοὺς πολεμίους. Οὐ γὰρ κατεῖδον ἐκ πολλοῦ τὸ πλῆθος αὐτῶν, ἀλλὰ δρόμῳ τοῖς καθ' αὐτοὺς ἕκαστοι προσμίξαντες, ἐν χερσὶν ἦσαν, ὑπὸ τῆς ὄψεως μὴ προεκφοβηθέντες. Οὕτω δ' ἦσαν διάπονοι τὰ σώματα καὶ κατηθληκότες, ὡς μήτε ἱδροῦντά τινα, μήτ' ἀσθμαίνοντα Ῥωμαίων ὀφθῆναι, διὰ πνίγους τοσούτου καὶ μετὰ δρόμου τῆς συῤῥάξεως γενομένης· ὡς τὸν Κάτλον αὐτὸν ἱστορεῖν λέγουσι, μεγαλύνοντα τοὺς στρατιώτας.

ΚΖ. Τὸ μὲν οὖν πλεῖστον μέρος καὶ μαχιμώτατον τῶν πολεμίων αὐτοῦ κατεκόπη. Καὶ γὰρ ἦσαν, ὑπὲρ τοῦ μὴ διασπᾶσθαι τὴν τάξιν, οἱ πρόμαχοι μακραῖς ἁλύσεσι πρὸς ἀλλήλους

συνεχόμενοι, διὰ τῶν ζωστήρων ἀναδεδεμέναις. Τοὺς δὲ φεύγοντας ὤσαντες πρὸς τὸ χαράκωμα, τραγικωτάτοις ἐνετύγχανον πάθεσιν. Αἱ γὰρ γυναῖκες, ἐπὶ τῶν ἁμαξῶν μελανείμονες ἐφεστῶσαι, τούς τε φεύγοντας ἔκτεινον, αἱ μὲν ἄνδρας, αἱ δ' ἀδελφοὺς, αἱ δὲ πατέρας, καὶ τὰ νήπια τῶν τέκνων, ἀπάγχουσαι ταῖς χερσὶν, ἐῤῥίπτουν ὑπὸ τοὺς τροχοὺς καὶ τοὺς πόδας τῶν ὑποζυγίων· αὐτὰς δ' ἀπέσφαττον. Μίαν δέ φασιν ἐξ ἄκρου ῥυμοῦ κρεμαμένην, τὰ παιδία τῶν αὐτῆς σφυρῶν ἀφημμένα βρόχοις ἑκατέρωθεν ἠρτῆσθαι. Τοὺς δ' ἄνδρας, ἀπορίᾳ δένδρων, τοῖς κέρασι τῶν βοῶν, τοὺς δὲ τοῖς σκέλεσι προσδεῖν τοὺς αὐτῶν τραχήλους· εἶτα κέντρα προσφέροντας, ἐξαλλομένων τῶν βοῶν, ἐφελκομένους καὶ πατουμένους ἀπόλλυσθαι. Πλὴν, καίπερ οὕτως αὐτῶν διαφθαρέντων, ἑάλωσαν ὑπὲρ ἓξ μυριάδας· αἱ δὲ τῶν πεσόντων ἐλέγοντο δὶς τοσαῦται γενέσθαι. Τὰ μὲν οὖν χρήματα διήρπασαν οἱ Μαρίου ϛρατιῶται, τὰ δὲ λάφυρα καὶ τὰς σημαίας καὶ τὰς σάλπιγγας εἰς τὸ Κάτλου ϛρατόπεδον ἀνενεχθῆναι λέγουσιν· ᾧ καὶ μάλιστα τεκμηρίῳ χρῆσθαι τὸν Κάτλον, ὡς κατ' αὐτὸν ἡ νίκη γένοιτο. Καὶ μέντοι καὶ τοῖς ϛρατιώταις, ὡς ἔοικεν, ἐμπεσούσης ἔριδος, ᾑρέθησαν οἷον διαιτηταὶ πρέσβεις Πανορμιτῶν παρόντες· οὓς οἱ Κάτλου διὰ τῶν πολεμίων νεκρῶν ἄγοντες, ἐπεδείκνυντο τοῖς ἑαυτῶν ὑσσοῖς διαπεπαρμένους. Γνώριμοι δ' ἦσαν ὑπὸ γραμμάτων, τοὔνομα τοῦ Κάτλου παρὰ τὸ ξύλον αὐτῶν ἐγχαράξαντος. Οὐ μὴν ἀλλὰ τῷ Μαρίῳ προσετίθει τὸ σύμπαν ἔργον, ἥτε προτέρα νίκη, καὶ τὸ πρόσχημα τῆς ἀρχῆς. Μάλιστα δ' οἱ πολλοὶ κτίστηντε Ῥώμης τρίτον ἐκεῖνον ἀνηγόρευον, ὡς οὐχ ἧττονα τοῦ Κελτικοῦ τοῦτον ἀπεωσμένον τὸν κίνδυνον· εὐθυμούμενοίτε μετὰ παίδων καὶ γυναικῶν ἕκαϛοι κατ' οἶκον, ἅμα τοῖς θεοῖς, καὶ Μαρίῳ δείπνου καὶ λοιβῆς ἀπήρχοντο, καὶ θριαμβεύειν μόνον ἠξίουν ἀμφοτέρους τοὺς θριάμβους. Οὐ μὴν ἐθριάμβευσεν οὕτως, ἀλλὰ μετὰ τοῦ Κάτλου, μέτριον ἐπὶ

τηλικαύταις εὐτυχίαις βουλόμενος παρέχειν ἑαυτόν· ἔτι δὲ καὶ τοὺς ςρατιώτας φοβηθεὶς παρεσκευασμένους, εἰ Κάτλος ἀπείργοιτο τῆς τιμῆς, μηδ' ἐκεῖνον ἐᾷν θριαμβεύειν.

ΚΗ. Πέμπτην μὲν οὖν ὑπατείαν διεῖπε· τῆς δὲ ἕκτης, ὡς οὐδ' εἷς πρώτης, ὠρέγετο, θεραπείαις τὸν δῆμον ἀναλαμβάνων, καὶ πρὸς χάριν ἐνδιδοὺς τοῖς πολλοῖς, οὐ μόνον παρὰ τὸν ὄγκον καὶ τὸ κοινὸν ἀξίωμα τῆς ἀρχῆς, ἀλλὰ καὶ παρὰ τὴν αὑτοῦ φύσιν, ὑγρός τις εἶναι βουλόμενος καὶ δημοτικὸς, ἥκιστα τοιοῦτος πεφυκώς. Ἀλλ' ἦν, ὥς λέγουσι, πρὸς πολιτείαν καὶ τοὺς ἐν ὄχλοις θορύβους ὑπὸ φιλοδοξίας ἀτολμότατος· καὶ τὸ παρὰ τὰς μάχας ἀνέκπληκτον καὶ στάσιμον, ἐν ταῖς ἐκκλησίαις ἀπέλειπεν αὐτὸν, ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων ἐξιςάμενον. Καίτοι λέγεται Καμερίνων ἄνδρας ὁμοῦ χιλίους, διαπρεπῶς ἀγωνισαμένους ἐν τῷ πολέμῳ, δωρησάμενος πολιτείᾳ, δοκοῦντος εἶναι τούτου παρανόμου, καί τινων ἐγκαλούντων, εἰπεῖν, ὅτι τοῦ νόμου διὰ τὸν τῶν ὅπλων ψόφον οὐ κατακούσειεν. Οὐ μὴν ἀλλὰ μᾶλλον ἔοικεν ἐκπλήσσεσθαι καὶ δεδιέναι τὴν ἐν ταῖς ἐκκλησίαις κραυγήν. Ἐν μέν γε τοῖς ὅπλοις ἀξίωμα καὶ δύναμιν εἶχε, διὰ τὴν χρείαν· ἐν δὲ τῇ πολιτείᾳ περικοπτόμενος τὰ πρωτεῖα, κατέφευγεν ἐπὶ τὴν τῶν πολλῶν εὔνοιαν καὶ χάριν, ὑπὲρ τοῦ μέγιςος γενέσθαι, τὸ βέλτιςος εἶναι προϊέμενος. Πᾶσι μὲν οὖν προσέκρουε τοῖς ἀριστοκρατικοῖς, μάλιςα δ' ὀῤῥωδῶν τὸν Μέτελλον ἠχαριςημένον ὑπ' αὐτοῦ, καὶ φύσει δι' ἀρετὴν ἀληθῆ πολεμοῦντα τοῖς οὐ κατὰ τὸ βέλτιςον ὑποδυομένοις τὰ πλήθη, καὶ πρὸς ἡδονὴν δημαγωγοῦσιν, ἐπεβούλευε τῆς πόλεως ἐκβαλεῖν τὸν ἄνδρα. Καὶ πρὸς τοῦτο Γλαυκίαν καὶ Σατορνῖνον, ἀνθρώπους θρασυτάτους, καὶ πλῆθος ἄπορον καὶ θορυβοποιὸν ὑπ' αὐτοῖς ἔχοντας, οἰκειωσάμενος, εἰσέφερε νόμους δι' αὐτῶν· καὶ τὸ ςρατιωτικὸν ἐπάρας, κατεμίγνυε ταῖς ἐκκλησίαις, καὶ κατεστασίαζε τὸν Μέτελλον. Ὡς δὲ Ῥουτίλιος ἱστορεῖ, τὰ μὲν ἄλλα

φιλαλήθης ἀνὴρ καὶ χρηστὸς, ἰδίᾳ δὲ τῷ Μαρίῳ προσκεκρουκὼς, *φησὶν, ὡς* καὶ τῆς ἕκτης ἔτυχεν ὑπατείας, ἀργύριον εἰς τὰς φυλὰς καταβαλὼν πολὺ, καὶ πριάμενος τὸ Μέτελλον ἐκκροῦσαι τῆς ἀρχῆς, Οὐαλέριον δὲ Φλάκκον ὑπηρέτην μᾶλλον, ἢ συνάρχοντα, τῆς ὑπατείας λαβεῖν. Οὐδενὶ μέντοι τῶν πρὸ αὐτοῦ, πλὴν μόνῳ Κορβίνῳ Οὐαλερίῳ, τοσαύτας ὑπατείας ἔδωκεν ὁ δῆμος· ἀλλ' ἐκείνῳ μὲν ἀπὸ τῆς πρώτης εἰς τὴν τελευταίαν ἔτη πέντε καὶ τεσσαράκοντα γενέσθαι λέγουσι, Μάριος δὲ μετὰ τὴν πρώτην τὰς πέντε ῥύμῃ μιᾷ τύχης διέδραμε.

ΚΘ. Καὶ μάλιστα περὶ τὴν τελευταίαν ἐφθονεῖτο, πολλὰ συνεξαμαρτάνων τοῖς περὶ τὸν Σατορνῖνον. Ὧν ἦν καὶ ὁ Νωνίου φόνος, ὃν ἀντιπαραγγέλλοντα δημαρχίαν ἀπέσφαξεν ὁ Σατορνῖνος. Εἶτα δημαρχῶν, ἐπῆγε τὸν περὶ τῆς χώρας νόμον, ᾧ προσεγέγραπτο, τὴν σύγκλητον ὀμόσαι προσελθοῦσαν, ἦ μὴν ἐμμενεῖν οἷς ἂν ὁ δῆμος ψηφίσαιτο, καὶ πρὸς μηδὲν ὑπεναντιώσεσθαι. Τοῦτο τοῦ νόμου τὸ μέρος προσποιούμενος ἐν τῇ βουλῇ διώκειν ὁ Μάριος, οὐκ ἔφη δέξεσθαι τὸν ὅρκον, οὐδ' ἄλλον οἴεσθαι σωφρονοῦντα. Καὶ γὰρ εἰ μὴ μοχθηρὸς ἦν ὁ νόμος, ὕβριν εἶναι, τὰ τοιαῦτα τὴν βουλὴν διδόναι βιαζομένην, ἀλλὰ μὴ πειθοῖ, μηδὲ ἑκοῦσαν. Ταῦτα δ' οὐχ οὕτως φρονῶν ἔλεγεν, ἀλλὰ τῷ Μετέλλῳ ἀπάτην περιτιθεὶς ἄφυκτον. Αὐτὸς μὲν γὰρ εἰς ἀρετῆς καὶ δεινότητος μερίδα τὸ ψεύσασθαι τιθέμενος, λόγον οὐδένα τῶν πρὸς τὴν σύγκλητον ὡμολογημένων ἕξειν ἔμελλε. Τὸν δὲ Μέτελλον εἰδὼς βέβαιον ἄνδρα καὶ τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδαρον ἡγούμενον, ἐβούλετο τῇ πρὸς τὴν σύγκλητον ἀρνήσει προληφθέντα, καὶ μὴ δεξάμενον τὸν ὅρκον, εἰς ἀνήκεστον ἐμβαλεῖν πρὸς τὸν δῆμον ἔχθραν. Ὃ καὶ συνέβη. Τοῦ γὰρ Μετέλλου φήσαντος μὴ ὀμόσειν, τότε μὲν ἡ βουλὴ διελύθη· μετὰ δ' ἡμέρας ὀλίγας τοῦ Σατορνίνου πρὸς τὸ βῆμα τοὺς συγκλητικοὺς ἀνακαλουμένου, καὶ τὸν ὅρκον ὀμνύειν

ἀναγκάζοντος, ὁ Μάριος παρελθὼν, γενομένης σιωπῆς, καὶ πάντων εἰς ἐκεῖνον ἀνηρτημένων, μακρὰ χαίρειν φράσας τοῖς ἐν τῇ βουλῇ νεανιευθεῖσιν ἀπὸ φωνῆς, οὐχ οὕτω πλατὺν ἔφη φορεῖν τὸν τράχηλον, ὡς προαποφαίνεσθαι καθάπαξ εἰς πρᾶγμα τηλικοῦτον, ἀλλ' ὀμεῖσθαι καὶ τῷ νόμῳ πειθαρχήσειν, εἴπερ ἐστὶ νόμος. Καὶ γὰρ τοῦτο προσέθηκε τὸ σοφὸν, ὥσπερ παρακάλυμμα τῆς αἰσχύνης. Ὁ μὲν οὖν δῆμος ἡσθεὶς ὀμόσαντος, ἀνεκρότησε καὶ κατευφήμησε· τοὺς δ' ἀρίστους κατήφεια δεινὴ καὶ μῖσος ἔσχε τοῦ Μαρίου τῆς μεταβολῆς. Ὤμνυσαν οὖν ἅπαντες ἐφεξῆς, δεδιότες τὸν δῆμον, ἄχρι Μετέλλου· Μέτελλος δὲ, καίπερ ἀντιβολούντων καὶ δεομένων τῶν φίλων ὀμόσαι, καὶ μὴ περιβαλεῖν ἑαυτὸν ἐπιτιμίοις ἀνηκέστοις, ἃ κατὰ τῶν μὴ ὀμνυόντων ὁ Σατορνῖνος εἰσέφερεν, οὐχ ὑφήκατο τοῦ φρονήματος, οὐδ' ὤμοσεν· ἀλλ' ἐμμένων τῷ ἤθει, καὶ πᾶν παθεῖν δεινὸν ἐπὶ τῷ μηθὲν αἰσχρὸν ἐργάσασθαι παρεσκευασμένος, ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, διαλεγόμενος τοῖς περὶ αὐτὸν, ὡς τὸ κακόν τι πρᾶξαι, φαῦλον εἴη· τὸ δὲ καλὸν μὲν, ἀκινδύνως δὲ, κοινόν· ἴδιον δ' ἀνδρὸς ἀγαθοῦ τὸ μετὰ κινδύνων τὰ καλὰ πράσσειν. Ἐκ τούτου ψηφίζεται Σατορνῖνος ἀποκηρύξαι τοὺς ὑπάτους, ὅπως πυρὸς καὶ ὕδατος καὶ στέγης εἴργηται Μέτελλος· καὶ τὸ φαυλότατον αὐτοῖς τοῦ πλήθους παρῆν ἕτοιμον ἀποκτιννύναι τὸν ἄνδρα. Τῶν δὲ βελτίστων περιπαθούντων καὶ συντρεχόντων πρὸς τὸν Μέτελλον, οὐκ εἴα στασιάζειν δι' αὐτὸν, ἀλλ' ἀπῆλθεν ἐκ τῆς πόλεως, ἔμφρονι λογισμῷ χρησάμενος. « Ἢ γὰρ ἀμεινόνων (ἔφη) τῶν πραγμάτων γενομένων, καὶ τοῦ δήμου μετανοήσαντος, ἀφίξομαι παρακαλούμενος· ἢ μενόντων ὁμοίων, ἀπηλλάχθαι κράτιστον ». Ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς Μέτελλος, ὃν δὲ τρόπον ἐν Ῥόδῳ φιλοσοφῶν διητήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται.

Λ. Μάριος δὲ τὸν Σατορνῖνον ἀντὶ τῆς ὑπουργίας ταύτης

ἐπὶ πᾶν προϊόντα τόλμης καὶ δυνάμεως περιορᾶν ἀναγκαζόμενος, ἔλαθεν οὐκ ἀνεκτὸν ἀπεργασάμενος κακὸν, ἀλλ' ἄντικρυς ὅπλοις καὶ σφαγαῖς ἐπὶ τυραννίδα καὶ πολιτείας ἀνατροπὴν πορευόμενον. Αἰδούμενος δὲ τοὺς κρατίστους, θεραπεύων δὲ τοὺς πολλοὺς, ἔργον ἀνελεύθερον ἐσχάτως ὑπέμεινε καὶ παλίμβολον. Ἐλθόντων γὰρ ὡς αὐτὸν ὑπὸ νύκτα τῶν πρώτων ἀνδρῶν, καὶ παρακαλούντων ἐπὶ τὸν Σατορνῖνον, ἑτέραις θύραις ἐκεῖνον ὑπεδέξατο, τούτων ἀγνοούντων· εἶτα πρόφασιν λέγων πρὸς ἀμφοτέρους κοιλίας διάῤῥοιαν, νῦν μὲν ὡς τούτους, νῦν δ' ὡς ἐκεῖνον ἐπὶ τῆς οἰκίας ἀνὰ μέρος διατρέχων, συνέκρουε καὶ παρώξυνεν. Οὐ μὴν ἀλλὰ καὶ τῆς βουλῆς καὶ τῶν ἱππέων συνισταμένων καὶ ἀγανακτούντων, ἐξήνεγκεν εἰς ἀγορὰν τὰ ὅπλα, καὶ καταδιωχθέντας αὐτοὺς εἰς τὸ Καπετώλιον, εἷλε δίψει· τοὺς γὰρ ὀχετοὺς ἀπέκοψεν. Οἱ δ' ἀπειπόντες ἐκεῖνον ἐκάλουν, καὶ παρέδωκαν σφᾶς αὐτοὺς διὰ τῆς λεγομένης δημοσίας πίστεως. Ἐπεὶ δὲ παντοῖος γενόμενος ὑπὲρ τοῦ σῶσαι τοὺς ἄνδρας, οὐδὲν ὤνησεν, ἀλλὰ κατιόντες εἰς ἀγορὰν ἀνῃρέθησαν, ἐκ τούτου τοῖς τε δυνατοῖς ἅμα καὶ τῷ δήμῳ προσκεκρουκὼς, τιμητείας παραπεσούσης, ἐπίδοξος ὢν, οὐ μετῆλθεν, ἀλλ' εἴασεν ἑτέρους ὑποδεεστέρους αἱρεθῆναι, δεδιὼς ἀποτυχεῖν. Ἄλλως δ' αὐτὸς ἐκαλλωπίζετο πολλοῖς μὴ θέλειν ἀπεχθάνεσθαι, τοὺς βίους αὐτῶν καὶ τὰ ἤθη πικρῶς ἐξετάζων.

ΛΑ. Δόγματος δ' εἰσφερομένου Μέτελλον ἀπὸ τῆς φυγῆς ἀνακαλεῖσθαι, πολλὰ καὶ διὰ λόγων καὶ δι' ἔργων μάτην ἐναντιωθεὶς, τέλος ἀπεῖπε· καὶ δεξαμένου τὴν γνώμην τοῦ δήμου προθύμως, οὐχ ὑπομένων κατερχόμενον ἰδεῖν τὸν Μέτελλον, ἐξέπλευσεν εἰς Καππαδοκίαν καὶ Γαλατίαν, λόγῳ μὲν ἀποδώσων ἃς εὔξατο τῇ Μητρὶ τῶν θεῶν θυσίας, ἑτέραν δὲ τῆς ἀποδημίας ἔχων ὑπόθεσιν, λανθάνουσαν τοὺς πολλούς. Ἀφυὴς γὰρ ὢν πρὸς εἰρήνην καὶ ἀπολίτευτος, ηὐξημένος δὲ τοῖς πολέμοις, εἶτα κατὰ μικρὸν αὐ-

θις ὑπ' ἀργίας καὶ ἡσυχίας ἀπομαραίνεσθαι τὴν δύναμιν αὑτοῦ καὶ τὴν δόξαν οἰόμενος, ἐζήτει καινῶν πραγμάτων ἀρχάς. Ἤλπιζε γὰρ, τοὺς βασιλεῖς συνταράξας, καὶ Μιθριδάτην, ἐπίδοξον ὄντα πολεμήσειν, ἀναστήσας καὶ παροξύνας, εὐθὺς ἐπ' αὐτὸν ἡγεμὼν αἱρεθήσεσθαι, καὶ νέων μὲν τὴν πόλιν θριάμβων, σκύλων δὲ Ποντικῶν καὶ πλούτου βασιλικοῦ τὸν οἶκον ἐμπλήσειν. Διὸ καὶ Μιθριδάτου πάσῃ χρησαμένου θεραπείᾳ καὶ τιμῇ πρὸς αὐτὸν, οὐ καμφθεὶς, οὐδ' ὑπείξας, ἀλλ' εἰπὼν, « Ἢ μεῖζον, ὦ βασιλεῦ, πειρῶ δύνασθαι Ῥωμαίων, ἢ ποίει σιωπῇ τὸ προςασσόμενον », ἐξέπληξεν αὐτὸν, ὡς φήμης μὲν πολλάκις, παῤῥησίας δὲ τότε πρῶτον ἀκούσαντα Ῥωμαϊκῆς.

ΛΒ. Ἐπανελθὼν δ' εἰς Ῥώμην, οἰκίαν ἐδείματο τῆς ἀγορᾶς πλησίον, εἴτε, ὡς αὐτὸς ἔλεγε, τοὺς θεραπεύοντας αὐτὸν ἐνοχλεῖσθαι μὴ βουλόμενος μακρὰν βαδίζοντας, εἴτε τοῦτ' αἴτιον οἰόμενος εἶναι τοῦ μὴ πλείονας ἄλλων ἐπὶ θύρας αὐτοῦ φοιτᾷν. Τὸ δ' οὐκ ἦν ἄρα τοιοῦτον· ἀλλ' ὁμιλίας χάριτι καὶ πολιτικαῖς χρείαις ἑτέρων λειπόμενος, ὥσπερ ὄργανον πολεμικὸν ἐπ' εἰρήνης παρημελεῖτο. Καὶ τοῖς μὲν ἄλλοις ἧττον ἤχθετο παρευδοκιμούμενος, σφόδρα δ' αὐτὸν ἠνία Σύλλας, ἐκ τοῦ πρὸς ἐκεῖνον αὐξανόμενος φθόνου τῶν δυνατῶν, καὶ τὰς πρὸς ἐκεῖνον διαφορὰς ἀρχὴν πολιτείας ποιούμενος. Ἐπεὶ δὲ καὶ Βόκχος ὁ Νομὰς, σύμμαχος Ῥωμαίων ἀναγεγραμμένος, ἔστησεν ἐν Καπετωλίῳ Νίκας τροπαιοφόρους, καὶ παῤ αὐταῖς ἐν εἰκόσι χρυσαῖς Ἰουγούρθαν ἐγχειριζόμενον ὑπ' αὐτοῦ Σύλλᾳ, τοῦτ' ἐξέστησεν ὀργῇ καὶ φιλονεικίᾳ Μάριον, ὡς Σύλλα περισπῶντος εἰς ἑαυτὸν τὰ ἔργα, καὶ παρεσκευάζετο βίᾳ τὰ ἀναθήματα καταβάλλειν. Ἀντεφιλονείκει δὲ Σύλλας, καὶ τὴν στάσιν, ὅσον οὔπω φερομένην εἰς μέσον, ἐπέσχεν ὁ συμμαχικὸς πόλεμος ἐξαίφνης ἐπὶ τὴν πόλιν ἀναῤῥαγείς. Τὰ γὰρ μαχιμώτατα τῶν Ἰταλικῶν ἐθνῶν καὶ πολυανθρωπότατα κατὰ τῆς Ῥώμης συνέστησαν, καὶ μικρὸν ἐδέησαν συγχέαι τὴν ἡγεμο-

νίαν, οὐ μόνον ὅπλοις ἐῤῥωμένα καὶ σώμασιν, ἀλλὰ καὶ τόλμαις στρατηγῶν καὶ δεινότησι χρησάμενα θαυμασταῖς καὶ ἀντιπάλοις.

ΛΓ. Οὗτος ὁ πόλεμος, τοῖς πάθεσι ποικίλος γενόμενος, καὶ ταῖς τύχαις πολυτροπώτατος, ὅσον Σύλλᾳ προσέθηκε δόξης καὶ δυνάμεως, τοσοῦτον ἀφεῖλε Μαρίου. Βραδὺς γὰρ ἐφάνη ταῖς ἐπιβολαῖς, ὄκνου τε περὶ πάντα καὶ μελλήσεως ὑπόπλεως, εἴτε τοῦ γήρως τὸ δραστήριον ἐκεῖνο καὶ θερμὸν ἐν αὐτῷ κατασβεννύντος (ἑξηκοστὸν γὰρ ἤδη καὶ πέμπτον ἔτος ὑπερέβαλλεν), εἴτε, ὡς αὐτὸς ἔλεγε, περὶ νεῦρα γεγονὼς νοσώδης, καὶ σώματι δύσεργος ὤν, ὑπέμενε παρὰ δύναμιν αἰσχύνῃ τὰς στρατείας. Οὐ μὴν ἀλλὰ καὶ τότε μάχῃ τε μεγάλῃ νικήσας, ἑξακισχιλίους ἀνεῖλε τῶν πολεμίων, καὶ λαβὴν οὐδαμῇ παρέσχεν αὐτοῖς, ἀλλὰ καὶ περιταφρευόμενος ἠνέσχετο, καὶ χλευαζόμενος καὶ καλούμενος οὐ παρωξύνθη. Λέγεται δὲ, Ποπεδίου Σίλωνος, ὃς μέγιστον εἶχε τῶν πολεμίων ἀξίωμα καὶ δύναμιν, εἰπόντος πρὸς αὐτὸν, « Εἰ μέγας εἶ στρατηγὸς, ὦ Μάριε, διαγώνισαι καταβὰς », ἀποκρίνασθαι· « Σὺ μὲν οὖν, εἰ μέγας εἶ στρατηγὸς, ἀνάγκασόν με διαγωνίσασθαι μὴ βουλόμενον ». Πάλιν δέ ποτε, τῶν μὲν πολεμίων καιρὸν ἐπιχειρήσεως παραδιδόντων, τῶν δὲ Ῥωμαίων ἀποδειλιασάντων, ὡς ἀνεχώρησαν ἀμφότεροι, συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, « Ἀπορῶ, (φησὶ) πότερον εἴπω τοὺς πολεμίους ἀνανδροτέρους, ἢ ὑμᾶς. Οὔτε γὰρ ἐκεῖνοι τὸν νῶτον ὑμῶν, οὔτε ὑμεῖς ἐκείνων τὸ ἰνίον ἰδεῖν ἐδυνήθητε ». Τέλος δ' ἀφῆκε τὴν στρατηγίαν, ὡς ἐξαδυνατῶν τῷ σώματι διὰ τὴν ἀσθένειαν.

ΛΔ. Ἐπεὶ δ' ἤδη, τῶν Ἰταλικῶν ἐγκεκλικότων, ἐμνηστεύοντο πολλοὶ τὸν Μιθριδατικὸν πόλεμον ἐν Ῥώμῃ διὰ τῶν δημαγωγῶν, παρὰ πᾶσαν ἐλπίδα Σουλπίκιος δήμαρχος, ἀνὴρ θρασύτατος, παραγαγὼν Μάριον ἀπεδείκνυεν ἀνθύπατον στρατηγὸν ἐπὶ Μιθριδάτην. Καὶ ὁ δῆμος διέστη, τῶν μὲν αἱρουμένων τὰ Μαρίου,

τῶν δὲ Σύλλαν καλούντων, καὶ τὸν Μάριον ἐπὶ θερμὰ κελευόντων εἰς Βαΐας βαδίζειν, καὶ τὸ σῶμα θεραπεύειν, ὑπό τε γήρως καὶ ῥευμάτων ἀπειρηκὸς, ὡς αὐτὸς ἔλεγε. Καὶ γὰρ ἦν ἐκεῖ περὶ Μισήνους τῷ Μαρίῳ πολυτελὴς οἰκία, τρυφὰς ἔχουσα καὶ διαίτας θηλυτέρας, ἢ κατ' ἄνδρα πολέμων τοσούτων καὶ στρατειῶν αὐτουργόν. Ταύτην λέγεται μυριάδων ἑπτὰ ἡμίσους Κορνηλία πρίασθαι· χρόνου δ' οὐ πάνυ πολλοῦ διαγενομένου, Λεύκιος Λεύκουλλος ὠνεῖται μυριάδων πεντήκοντα καὶ διακοσίων. Οὕτως ταχέως ἀνέδραμεν ἡ πολυτέλεια, καὶ τοσαύτην ἐπίδοσιν τὰ πράγματα πρὸς τρυφὴν ἔλαβεν. Οὐ μὴν ἀλλὰ Μάριος, φιλοτίμως πάνυ καὶ μειρακιωδῶς ἀποτριβόμενος τὸ γῆρας καὶ τὴν ἀσθένειαν, ὁσημέραι κατέβαινεν εἰς τὸ πεδίον, καὶ μετὰ τῶν νεανίσκων γυμναζόμενος, ἐπεδείκνυε τὸ σῶμα κοῦφον μὲν ἐν ὅπλοις, ἔποχον δὲ ταῖς ἱππασίαις, καίπερ οὐκ εὐσταλὴς γεγονὼς ἐν γήρᾳ τὸν ὄγκον, ἀλλ' εἰς σάρκα περιπληθῆ καὶ βαρεῖαν ἐνδεδωκώς. Ἐνίοις μὲν οὖν ἤρεσκε ταῦτα πράττων, καὶ κατιόντες ἐθεῶντο τὴν φιλοτιμίαν αὐτοῦ καὶ τὰς ἁμίλλας· τοῖς δὲ βελτίστοις ὁρῶσιν οἰκτείρειν ἐπῄει τὴν πλεονεξίαν, καὶ τὴν φιλοδοξίαν, ὅτι πλουσιώτατος ἐκ πένητος, καὶ μέγιστος ἐκ μικροῦ γεγονὼς, ὅρον οὐκ οἶδεν εὐτυχίας, οὐδὲ θαυμαζόμενος ἀγαπᾷ καὶ ἀπολαύων ἐν ἡσυχίᾳ τῶν παρόντων, ἀλλ', ὥσπερ ἐνδεὴς ἁπάντων, εἰς Καππαδοκίαν καὶ τὸν Εὔξεινον Πόντον ἄρας ἐκ θριάμβων καὶ δόξης ἐκφέρει τοσοῦτον γῆρας, Ἀρχελάῳ καὶ Νεοπτολέμῳ, τοῖς Μιθριδάτου σατράπαις, διαμαχούμενος. Αἱ δὲ πρὸς ταῦτα τοῦ Μαρίου δικαιολογίαι παντάπασιν ἐφαίνοντο ληρώδεις· ἔφη γὰρ ἐθέλειν τὸν υἱὸν ἀσκῆσαι παρὼν αὐτὸς ἐπὶ στρατείας.

ΛΕ. Ταῦτα τὴν πόλιν, ἐκ πολλῶν χρόνων ὕπουλον γεγενημένην, καὶ νοσοῦσαν, ἀνέῤῥηξεν, εὐφυέστατον εὑρόντος ὄργανον Μαρίου πρὸς τὸν κοινὸν ὄλεθρον τὸ Σουλπικίου θράσος· ὃς διὰ τἄλλα πάντα θαυμάζων καὶ ζηλῶν τὸν Σατορνῖνον, ἀτολμίαν

ἐπεκάλει τοῖς πολιτεύμασιν αὐτοῦ καὶ μέλλησιν. Αὐτὸς δὲ μὴ μέλλων, ἑξακοσίους μὲν εἶχε περὶ αὐτὸν τῶν ἱππικῶν, οἷον δορυφόρους, καὶ τούτους Ἀντισύγκλητον ὠνόμαζεν. Ἐπελθὼν δὲ μεθ' ὅπλων ἐκκλησιάζουσι τοῖς ὑπάτοις, τοῦ μὲν ἑτέρου, φυγόντος ἐξ ἀγορᾶς, τὸν υἱὸν ἐγκαταλαβὼν ἀπέσφαξε. Σύλλας δὲ παρὰ τὴν οἰκίαν τοῦ Μαρίου διωκόμενος, οὐδενὸς ἂν προσδοκήσαντος, εἰσέπεσε· καὶ τοὺς μὲν διώκοντας ἔλαθε δρόμῳ παρενεχθέντας, ὑπ' αὐτοῦ δὲ Μαρίου λέγεται κατὰ θύρας ἑτέρας ἀσφαλῶς ἀποπεμφθεὶς διεκπεσεῖν εἰς τὸ στρατόπεδον. Αὐτὸς δὲ Σύλλας ἐν τοῖς ὑπομνήμασιν οὔ φησι καταφυγεῖν πρὸς τὸν Μάριον, ἀλλ' ἀπαχθῆναι βουλευσόμενος ὑπὲρ ὧν Σουλπίκιος ἠνάγκαζεν αὐτὸν ἄκοντα ψηφίσασθαι, περισχὼν ἐν κύκλῳ ξίφεσι γυμνοῖς, καὶ συνελάσας πρὸς τὸν Μάριον· ἄχρις οὗ προελθὼν ἐκεῖθεν εἰς ἀγορὰν, ὡς ἠξίουν ἐκεῖνοι, τὰς ἀπραξίας ἔλυσε. Γενομένων δὲ τούτων, ὅ τε Σουλπίκιος ἤδη κρατῶν ἐπεχειροτόνησε τῷ Μαρίῳ τὴν ςρατηγίαν· ὅ τε Μάριος ἐν παρασκευῇ τῆς ἐξόδου καθειςήκει, καὶ δύο χιλιάρχους ἐξέπεμψε παραληψομένους τὸ Σύλλα ςράτευμα. Σύλλας δὲ τοὺς στρατιώτας παροξύνας (ἦσαν δὲ τρισμυρίων *ἱππεῖς* καὶ πεντακισχιλίων οὐ μείους ὁπλῖται) προήγαγεν ἐπὶ τὴν Ῥώμην. Τοὺς δὲ χιλιάρχους, οὓς ἔπεμψε Μάριος, προσπεσόντες οἱ ςρατιῶται διέφθειραν. Πολλοὺς δὲ καὶ Μάριος ἐν Ῥώμῃ τῶν Σύλλα φίλων ἀνῃρήκει, καὶ δούλοις ἐλευθερίαν ἐκήρυττεν ἐπὶ συμμαχίᾳ. Λέγονται δὲ τρεῖς μόνοι προσγενέσθαι. Μικρὰ δ' ἀντιςὰς εἰσελάσαντι τῷ Σύλλᾳ, καὶ ταχέως ἐκβιασθεὶς, ἔφυγε. Τῶν δὲ περὶ αὐτὸν, ὡς πρῶτον ἐξέπεσε τῆς πόλεως, διασπαρέντων, σκότους ὄντος, εἴς τι τῶν ἐπαυλίων αὐτοῦ, Σολώνιον, κατέφυγε. Καὶ τὸν μὲν υἱὸν ἔπεμψεν, ἐκ τῶν Μουκίου τοῦ πενθεροῦ χωρίων, οὐ μακρὰν ὄντων, τὰ ἐπιτήδεια ληψόμενον· αὐτὸς δὲ καταβὰς εἰς Ὠστίαν, φίλου τινὸς Νουμερίου πλοῖον αὐτῷ παρασκευάσαντος, οὐκ ἀναμείνας τὸν υἱὸν, ἀλλὰ Γράνιον ἔχων μεθ' αὐτοῦ τὸν πρόγονον,

πρόγονον, ἐξέπλευσεν. Ὁ δὲ νεανίας, ὡς ἦλθεν εἰς τὰ χωρία τοῦ Μουκίου, *καὶ* λαμβάνων τι καὶ σκευαζόμενος, ἡμέρας καταλαβούσης, οὐ παντάπασι τοὺς πολεμίους διέλαθεν, ἀλλ' ἦλθον ἱππεῖς ἐλαύνοντες καθ' ὑπόνοιαν ἐπὶ τὸν τόπον· οὓς ὁ τῶν ἀγρῶν ἐπιμελητὴς προϊδόμενος, ἔκρυψε τὸν Μάριον ἐν ἁμάξῃ κυάμους ἀγούσῃ, καὶ βοῦς ὑποζεύξας, ἀπήντα τοῖς ἱππεῦσιν, εἰς πόλιν ἐλαύνων τὴν ἅμαξαν. Οὕτω δὴ πρὸς τὴν οἰκίαν τῆς γυναικὸς ὁ Μάριος διακομισθεὶς, καὶ λαβὼν, ὅσων ἐδεῖτο, νυκτὸς ἐπὶ θάλασσαν ἧκε, καὶ νεὼς ἐπιβὰς εἰς Λιβύην πλεούσης ἀπεπέρασεν.

Λϛ. Ὁ δὲ πρεσβύτης Μάριος, ὡς ἀνήχθη, πνεύματι φορῷ κομιζόμενος παρὰ τὴν Ἰταλίαν, ἐφοβήθη Γεμίνιόν τινα τῶν ἐν Ταῤῥακίνῃ δυνατῶν, ἐχθρὸν αὑτοῦ, καὶ τοῖς ναύταις προεῖπεν εἴργεσθαι Ταῤῥακίνης. Οἱ δ' ἐβούλοντο μὲν αὐτῷ χαρίζεσθαι, τοῦ δὲ πνεύματος εἰς πελάγιον μεθισταμένου, καὶ κλύδωνα κατάγοντος πολὺν, οὔτε τὸ πορθμεῖον ἐδόκει περικλυζόμενον ἀνθέξειν, τοῦ τε Μαρίου δυσφοροῦντος καὶ κακῶς ἔχοντος ὑπὸ ναυτίας, μόλις ἀντιλαμβάνονται τῶν περὶ τὸ Κίρκαιον αἰγιαλῶν. Τοῦ δὲ χειμῶνος αὐξανομένου, καὶ τῶν σιτίων ἐπιλειπόντων, ἐκβάντες, ἐπλάζοντο πρὸς οὐδένα σκοπὸν, ἀλλ' οἷα συμβαίνει ταῖς μεγάλαις ἀπορίαις, ἀεὶ φεύγειν ἐκ τοῦ παρόντος ὡς χαλεπωτάτου, καὶ τὰς ἐλπίδας ἔχειν ἐν τοῖς ἀδήλοις. Ἐπεὶ πολεμία μὲν ἐκείνοις ἡ γῆ, πολεμία δὲ ἡ θάλασσα, φοβερὸν δ' ἦν ἀνθρώποις περιπεσεῖν, φοβερὸν δὲ καὶ μὴ περιπεσεῖν, δι' ἔνδειαν τῶν ἀναγκαίων. Οὐ μὴν ἀλλ' ὀψέ που βωτῆρσιν ὀλίγοις ἐντυγχάνουσιν, οἳ δοῦναι μὲν οὐδὲν ἔσχον αὐτοῖς δεομένοις, γνωρίσαντες δὲ τὸν Μάριον, ἐκέλευον ἀπαλλάττεσθαι τὴν ταχίστην· ὀλίγον γὰρ ἔμπροσθεν αὐτόθι κατὰ ζήτησιν αὐτοῦ συχνοὺς ἱππέας ὀφθῆναι διεξελαύνοντας. Ἐν παντὶ δὴ γεγονὼς ἀπορίας, μάλιστα δὲ νηστείᾳ τῶν περὶ αὐτὸν ἀπαγορευόντων, τότε μὲν

ἐκτραπόμενος τῆς ὁδοῦ, καὶ καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν, ἐπιπόνως διενυκτέρευσε. Τῇ δ' ὑςεραίᾳ συνηγμένος ὑπ' ἐνδείας, καὶ τῷ σώματι, πρὶν ἐκλελύσθαι παντάπασι, χρήσασθαι βουλόμενος, ἐχώρει παρὰ τὸν αἰγιαλὸν, ἐπιθαρσύνων τοὺς ἑπομένους, καὶ δεόμενος μὴ προαποκάμνειν τῆς τελευταίας ἐλπίδος, ἐφ' ἣν ἑαυτὸν φυλάττει μαντεύμασι παλαιοῖς πιςεύων. Νέος γὰρ ὢν ἔτι παντελῶς, καὶ διατρίβων κατ' ἀγρὸν, ὑποδέξασθαι τῷ ἱματίῳ καταφερομένην ἀετοῦ νεοττιὰν, ἑπτὰ νεοττοὺς ἔχουσαν. Ἰδόντας δὲ τοὺς γονεῖς καὶ θαυμάσαντας διαπυνθάνεσθαι τῶν μάντεων· τοὺς δ' εἰπεῖν, ὡς ἐπιφανέστατος ἀνθρώπων ἔσοιτο, καὶ τὴν μεγίστην ἡγεμονίαν καὶ ἀρχὴν ἑπτάκις αὐτὸν λαβεῖν ἀναγκαῖον εἴη. Ταῦτα οἱ μὲν ἀληθῶς τῷ Μαρίῳ συντυχεῖν οὕτω λέγουσιν· οἱ δὲ τοὺς τότε καὶ παρὰ τὴν ἄλλην φυγὴν ἀκούσαντας αὐτοῦ καὶ πιστεύσαντας, ἀναγράψαι πρᾶγμα κομιδῆ μυθῶδες. Ἀετὸς γὰρ οὐ τίκτει πλείονα τοῖν δυοῖν· ἀλλὰ καὶ Μουσαῖον ἐψεῦσθαι λέγουσιν, εἰπόντα περὶ τοῦ ἀετοῦ,

*Ὃς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει.*

Τὸ μέντοι πολλάκις ἐν τῇ φυγῇ καὶ ταῖς ἐσχάταις ἀπορίαις Μάριον εἰπεῖν, ὡς ἄχρις ἑβδόμης ὑπατείας πρόεισιν, ὁμολογούμενόν ἐςιν.

ΛΖ. Ἤδη δὲ Μιντούρνης, πόλεως Ἰταλικῆς, ὅσον εἴκοσι ςαδίων ἀπέχοντες, ὁρῶσιν ἱππέων ἴλην πρόσωθεν ἐλαύνοντας ἐπ' αὐτοὺς, καὶ κατὰ τύχην ὁλκάδας δύο φερομένας. Ὡς οὖν ἕκαςος ποδῶν εἶχε καὶ ῥώμης, καταδραμόντες ἐπὶ τὴν θάλασσαν, καὶ καταβαλόντες ἑαυτοὺς προσενήχοντο ταῖς ναυσί. Καὶ λαβόμενοι τῆς ἑτέρας οἱ περὶ τὸν Γράνιον, ἀπεπέρασαν εἰς τὴν ἀντικρὺ νῆσον, ἣ Αἰναρία καλεῖται· αὐτὸν δὲ Μάριον, βαρὺν ὄντα τῷ σώματι καὶ δυσμεταχείριςον, οἰκέται δύο μόλις καὶ χαλεπῶς ὑπὲρ τῆς θαλάσσης ἐξάραντες, εἰς τὴν ἑτέραν ἔθεντο ναῦν, ἤδη τῶν ἱππέων ἐφεςώτων, καὶ διακελευομένων ἀπὸ γῆς τοῖς

ναύταις κατάγειν τὸ πλοῖον, ἢ τὸν Μάριον ἐκβαλόντας, αὐτοὺς ἀποπλεῖν, ὅποι χρῄζοιεν. Ἱκετεύοντος δὲ τοῦ Μαρίου καὶ δακρύοντος, οἱ κύριοι τῆς ὁλκάδος, ὡς ἐν ὀλίγῳ, πολλὰς ἐπ' ἀμφότερα τῆς γνώμης τροπὰς λαβόντες, ὅμως ἀπεκρίναντο τοῖς ἱππεῦσι μὴ προήσεσθαι τὸν Μάριον. Ἐκείνων δὲ πρὸς ὀργὴν ἀπελασάντων, αὖθις ἑτέρων γενόμενοι λογισμῶν, κατεφέροντο πρὸς τὴν γῆν· καὶ περὶ τὰς ἐκβολὰς τοῦ Λίριος ποταμοῦ, διάχυσιν λιμνώδη λαμβάνοντος, ἀγκύρας βαλόμενοι, παρεκάλουν αὐτὸν ἐκβῆναι, καὶ τροφὴν ἐπὶ γῆς λαβεῖν, καὶ τὸ σῶμα θεραπεῦσαι κεκακωμένον, ἄχρις οὗ φορὰ γένηται· γίγνεσθαι δὲ τὴν εἰωθυῖαν ὥραν, τοῦ πελαγίου μαραινομένου, καὶ τῶν ἑλῶν αὖραν ἀναδιδόντων ἐπιεικῶς διαρκῆ. Ταῦτα πεισθεὶς ὁ Μάριος ἔπραττε, καὶ τῶν ναυτῶν ἐξελομένων αὐτὸν ἐπὶ τὴν γῆν, κατακλινεὶς ἔν τινι πόᾳ, πορρωτάτω τοῦ μέλλοντος εἶχε τὴν διάνοιαν. Οἱ δ', εὐθὺς ἐπιβάντες ἐπὶ τὴν ναῦν, καὶ τὰς ἀγκύρας ἀναλαβόντες, ἔφευγον, ὡς οὔτε καλὸν ἐκδοῦναι τὸν Μάριον αὐτοῖς, οὔτε σώζειν ἀσφαλὲς [ὄν]. Οὕτω δὴ πάντων ἔρημος ἀπολειφθεὶς, πολὺν μὲν χρόνον ἄναυδος ἐπὶ τῆς ἀκτῆς ἔκειτο, μόλις δέ πως ἀναλαβὼν ἑαυτὸν ἐπορεύετο ταλαιπώρως ἀνοδίαις· καὶ διεξελθὼν ἕλη βαθέα, καὶ τάφρους ὕδατος καὶ πηλοῦ γεμούσας, ἐπιτυγχάνει καλύβῃ λιμνουργοῦ γέροντος, ὃν περιπεσὼν ἱκέτευε γενέσθαι σωτῆρα καὶ βοηθὸν ἀνδρὸς, εἰ διαφύγοι τὰ παρόντα, μείζονας ἐλπίδων ἀμοιβὰς ἀποδώσοντος. Ὁ δ' ἄνθρωπος, εἴτε πάλαι γινώσκων, εἴτε πρὸς τὴν ὄψιν ὡς κρείττονα θαυμάσας, ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ τὸ σκηνύδριον ἐξαρκεῖν· εἰ δέ τινας ὑποφεύγων πλάζοιτο, κρύψειν αὐτὸν ἐν τόπῳ μᾶλλον ἡσυχίαν ἔχοντι. Τοῦ δὲ Μαρίου δεηθέντος οὕτω ποιεῖν, ἀγαγὼν αὐτὸν εἰς τὸ ἕλος, καὶ πτῆξαι κελεύσας ἐν χωρίῳ κοίλῳ παρὰ τὸν ποταμὸν, ἐπέβαλε τῶν τε καλάμων πολλοὺς, καὶ τῆς ἄλλης ἐπιφέρων ὕλης, ὅση κούφη καὶ περιπέσσειν ἀβλαβῶς δυναμένη.

ΛΗ. Χρόνου δ' οὐ πολλοῦ διαγενομένου, ψόφος αὐτῷ καὶ θόρυβος ἀπὸ τῆς καλύβης προσέπεσεν. Ὁ γὰρ Γεμίνιος ἐκ Ταῤῥακίνης ἔπεμψε πολλοὺς ἐπὶ τὴν δίωξιν. Ὧν ἔνιοι κατὰ τύχην ἐκεῖ προσελθόντες, ἐξεφόβουν καὶ κατεβόων τοῦ γέροντος, ὡς ὑποδεξαμένου καὶ κατακρύπτοντος πολέμιον Ῥωμαίων. Ἐξαναστὰς οὖν ὁ Μάριος, καὶ ἀποδυσάμενος, καθῆκεν ἑαυτὸν εἰς τὴν λίμνην, ὕδωρ παχὺ καὶ τελματῶδες ἔχουσαν. Ὅθεν οὐ διέλαθε τοὺς ζητοῦντας, ἀλλ' ἀνασπασθεὶς βορβόρου κατάπλεως καὶ γυμνὸς, εἰς Μιντούρνας ἀνήχθη, καὶ παρεδόθη τοῖς ἄρχουσιν. Ἦν γὰρ εἰς ἅπασαν ἤδη πόλιν ἐξενηνεγμένον παράγγελμα περὶ τοῦ Μαρίου, δημοσίᾳ διώκειν, καὶ κτείνειν τοὺς λαβόντας. Ὅμως δὲ βουλεύσασθαι πρότερον ἐδόκει τοῖς ἄρχουσι· καὶ κατατίθενται τὸν Μάριον εἰς οἰκίαν Φαννίας γυναικὸς, οὐκ εὐμενῶς δοκούσης ἔχειν πρὸς αὐτὸν ἐξ αἰτίας παλαιᾶς. Ἦν γὰρ ἀνὴρ τῇ Φαννίᾳ Τίννιος· τούτου διαστᾶσα τὴν φερνὴν ἀπῄτει λαμπρὰν οὖσαν. Ὁ δὲ μοιχείαν ἐνεκάλει· καὶ γίνεται Μάριος, ὑπατεύων τὸ ἕκτον, δικαστής. Ἐπεὶ δὲ, τῆς δίκης λεγομένης, ἐφαίνετο καὶ τὴν Φαννίαν ἀκόλαστον γεγονέναι, καὶ τὸν ἄνδρα τοιαύτην εἰδότα λαβεῖν καὶ συμβιῶσαι πολὺν χρόνον, ἀμφοτέρους δυσχεράνας, τὸν μὲν ἄνδρα τὴν φερνὴν ἐκέλευσεν ἀποδοῦναι, τῆς δὲ γυναικὸς, ἀτιμίας ἕνεκα, τῇ καταδίκῃ χαλκοῦς τέσσαρας προσετίμησεν. Οὐ μὴν ἥ γε Φαννία τότε πάθος γυναικὸς ἠδικημένης ἔλαβεν, ἀλλ', ὡς εἶδε τὸν Μάριον, ποῤῥωτάτω γενομένη τοῦ μνησικακεῖν, ἐκ τῶν παρόντων ἐπεμελεῖτο, καὶ παρεθάῤῥυνεν αὐτόν. Ὁ δὲ κἀκείνην ἐπῄνει καὶ θαῤῥεῖν ἔφασκε· σημεῖον γὰρ αὐτῷ γεγονέναι χρηστόν. Ἦν δὲ τοιοῦτον. Ὡς ἀγόμενος πρὸς τῇ οἰκίᾳ τῆς Φαννίας ἐγεγόνει, τῶν θυρῶν ἀνοιχθεισῶν, ὄνος ἔνδοθεν ἐχώρει δρόμῳ πιόμενος ἀπὸ κρήνης ἐγγὺς ἀποῤῥεούσης. Προσβλέψας δὲ τῷ Μαρίῳ λαμυρόν τι καὶ γεγηθὸς, ἔστη πρῶτον ἐναντίον, εἶτα φωνὴν ἀφῆκε λαμπρὰν, καὶ παρεσκίρτησε παρ' αὐτὸν ὑπὸ γαυρότητος. Ἐξ οὗ

συμβαλὼν ὁ Μάριος, ἔφασκεν, ὡς διὰ θαλάσσης αὐτῷ μᾶλλον, ἢ διὰ γῆς, ὑποδείκνυσι σωτηρίαν τὸ δαιμόνιον· τὸν γὰρ ὄνον οὐ προσέχοντα τῇ ξηρᾷ τροφῇ, πρὸς τὸ ὕδωρ ἀπ' αὐτοῦ τραπέσθαι. Ταῦτα διαλεχθεὶς τῇ Φαννίᾳ, καθ' αὑτὸν ἀνεπαύετο, τὴν θύραν τοῦ δωματίου προσθεῖναι κελεύσας.

ΛΘ. Βουλευομένοις δὲ τοῖς ἄρχουσι καὶ συνέδροις τῶν Μιντουρνησίων, ἔδοξε μὴ μέλλειν, ἀλλὰ διαχρήσασθαι τὸν ἄνδρα. Καὶ τῶν μὲν πολιτῶν οὐδεὶς ὑπέστη τὸ ἔργον, ἱππεὺς δὲ, Γαλάτης τὸ γένος, ἢ Κίμβρος (ἀμφοτέρως γὰρ ἱστορεῖται), λαβὼν ξίφος, ἐπεισῆλθεν αὐτῷ. Τοῦ δ' οἰκήματος, ἐν ᾧ ἔτυχε μέρει κατακείμενος, οὐ πάνυ λαμπρὸν φῶς ἔχοντος, ἀλλ' ὄντος ἐπισκίου, λέγεται τὰ μὲν ὄμματα τοῦ Μαρίου φλόγα πολλὴν ἐκβάλλοντα τῷ στρατιώτῃ φανῆναι, φωνὴν δὲ μεγάλην ἐκ τοῦ ἐπισκίου γενέσθαι, « Σὺ δὴ τολμᾷς, ἄνθρωπε, Γάϊον Μάριον ἀναιρεῖν; » Ἐξῆλθεν οὖν εὐθὺς ὁ βάρβαρος φυγῇ, καὶ τὸ ξίφος ἐν μέσῳ καταβαλὼν, ἐχώρει διὰ θυρῶν, τοῦτο μόνον βοῶν, « Οὐ δύναμαι Γάϊον Μάριον ἀποκτεῖναι. » Πάντας οὖν ἔκπληξις ἔσχεν, εἶτ' οἶκτος καὶ μετάνοια τῆς γνώμης, καὶ κατάμεμψις ἑαυτῶν, ὡς βούλευμα βεβουλευκότων ἄνομον καὶ ἀχάριστον, ἐπ' ἀνδρὶ σωτῆρι τῆς Ἰταλίας, ᾧ μὴ βοηθῆσαι δεινὸν ἦν. « Ἴτω δ' οὖν ὅπῃ χρῄζοι φυγὰς, ἀνατλησόμενος ἀλλαχόθι τὸ πεπρωμένον. Ἡμεῖς δ' εὐχώμεθα μὴ νεμεσῆσαι θεοὺς Μάριον ἄπορον καὶ γυμνὸν ἐκ τῆς πόλεως ἐκβαλοῦσιν. » Ὑπὸ τοιούτων λογισμῶν εἰσπεσόντες ἀθρόοι καὶ περισχόντες αὐτὸν, ἐξῆγον ἐπὶ τὴν θάλασσαν. Ἄλλου δ' ἄλλο τι προθύμως ὑπηρετοῦντος, καὶ σπευδόντων ἁπάντων, ἐγίνετο τριβὴ τοῦ χρόνου. Τὸ γὰρ τῆς λεγομένης Μαρίκας ἄλσος, ὃ σέβονται, καὶ παραφυλάττουσι μηδὲν ἐκεῖθεν ἐκκομισθῆναι τῶν εἰσκομισθέντων, ἐμποδὼν ἦν τῆς ἐπὶ θάλασσαν ὁδοῦ, καὶ κύκλῳ περιιόντας ἔδει βραδύνειν· ἄχρις οὗ τῶν πρεσβυτέρων τις ἐμβοήσας, ἔφη, μηδεμίαν ἄβατον, μηδ' ἀπό-

ρευτον ὁδὸν εἶναι, δι' ἧς σώζεται Μάριος. Καὶ πρῶτος αὐτὸς, λαβών τι τῶν κομιζομένων ἐπὶ ναῦν, διὰ τοῦ τόπου διεξῆλθε.

M. Τοιαύτῃ δὲ προθυμίᾳ ταχὺ πάντων συμπορισθέντων, καὶ Βηλαίου τινὸς ναῦν τῷ Μαρίῳ παρασχόντος, ὕστερον πίνακα τῶν πράξεων ἐκείνων γραψάμενος ἀνέθηκεν εἰς τὸ ἱερόν. Ὅθεν ἐμβὰς ὁ Μάριος, ἀνήχθη τῷ πνεύματι φερόμενος. Ἐφέρετο δέ πως κατὰ τύχην πρὸς Αἰναρίαν τὴν νῆσον, ὅπου τὸν Γράνιον καὶ τοὺς ἄλλους φίλους εὑρὼν, ἔπλει μετ' αὐτῶν ἐπὶ Λιβύης. Ὕδατος δ' ἐπιλιπόντος αὐτοὺς, ἀναγκαίως Σικελίᾳ κατὰ τὴν Ἐρυκίνην προσέσχον. Ἔτυχε δὲ περὶ τοὺς τόπους ἐκείνους ὁ Ῥωμαίων ταμίας παραφυλάσσων, καὶ μικροῦ μὲν αὐτὸν ἀποβάντα τὸν Μάριον εἷλεν, ἀπέκτεινε δὲ περὶ ἑκκαίδεκα τῶν ὑδρευομένων. Μάριος δὲ, κατὰ σπουδὴν ἀναχθεὶς, καὶ διαπεράσας τὸ πέλαγος πρὸς Μήνιγγα τὴν νῆσον, ἐνταῦθα διαπυνθάνεται πρῶτον, ὡς ὁ παῖς αὐτοῦ διασέσωσται μετὰ Κεθήγου, καὶ πορεύονται πρὸς τὸν βασιλέα τῶν Νομάδων, Ἰάμψαν, δεησόμενοι βοηθεῖν. Ἐφ' οἷς μικρὸν ἀναπνεύσας, ἐθάῤῥησεν ἀπὸ τῆς νήσου πρὸς τὴν Καρχηδονίαν προσβαλεῖν. Ἐστρατήγει δὲ τῆς Λιβύης τότε Σεξτίλιος, ἀνὴρ Ῥωμαῖος, οὔτε φαῦλον οὐδὲν, οὔτε χρηστὸν ἐκ Μαρίου προειληφὼς, ἀλλ' ὅσον ἀπ' οἴκτου τι προσδοκώμενος ὠφελήσειν. Ἄρτι δ' αὐτοῦ, μετ' ὀλίγων ἀποβεβηκότος, ὑπηρέτης ἀπαντήσας καὶ καταστὰς ἐναντίον, εἶπεν· « Ἀπαγορεύει σοι Σεξτίλιος ὁ στρατηγὸς, ὦ Μάριε, Λιβύης μὴ ἐπιβαίνειν· εἰ δὲ μὴ, φησὶν ἀμυνεῖν τοῖς τῆς βουλῆς δόγμασιν, ὡς Ῥωμαίων πολεμίῳ χρώμενος. » Ταῦτ' ἀκούσαντα τὸν Μάριον ὑπὸ λύπης καὶ βαρυθυμίας ἀπορία λόγων ἔσχε, καὶ πολὺν χρόνον ἡσυχίαν ἦγε, δεινὸν εἰς τὸν ὑπηρέτην ἀποβλέπων. Ἐρομένου δ' ἐκείνου, τί φράζει, καὶ τί λέγει πρὸς τὸν στρατηγὸν, ἀπεκρίνατο μέγα στενάξας· « Ἄγγελλε τοίνυν, ὅτι Γάϊον Μάριον ἐν τοῖς Καρχηδόνος ἐρειπίοις φυγάδα καθεζόμενον εἶδες », οὐ κακῶς ἅμα τήν τε τῆς πόλεως ἐκείνης τύχην

καὶ τὴν ἑαυτοῦ μεταβολὴν ἐν παραδείγματος λόγῳ θέμενος. Ἐν τούτῳ δ' Ἰάμψας, ὁ βασιλεὺς τῶν Νομάδων, ἐπαμφοτερίζων τοῖς λογισμοῖς, ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον Μάριον, ἀπιέναι δὲ βουλομένους ἔκ τινος ἀεὶ προφάσεως κατεῖχε· καὶ δῆλος ἦν ἐπ' οὐδενὶ χρηστῷ ποιούμενος τὴν ἀναβολήν. Οὐ μὴν ἀλλὰ συμβαίνει τι τῶν εἰκότων αὐτοῖς πρὸς σωτηρίαν. Ὁ γὰρ νέος Μάριος, εὐπρεπὴς ὢν τὴν ὄψιν, ἠνία τινὰ τῶν παλλακίδων τοῦ βασιλέως παρ' ἀξίαν πράττων· ὁ δ' οἶκτος οὗτος ἀρχὴ καὶ πρόφασις ἦν ἔρωτος. Τὸ μὲν οὖν πρῶτον ἀπετρίβετο τὴν ἄνθρωπον· ὡς δ' οὔτε φυγῆς ἑτέραν ὁδὸν ἑώρα, καὶ τὰ παρ' ἐκείνης σπουδαιότερον, ἢ πρὸς ἡδονὴν ἀκόλαστον διεπράττετο, δεξάμενος τὴν φιλοφροσύνην, καὶ συνεκπεμφθεὶς ὑπ' αὐτῆς, ἀπέδρα μετὰ τῶν φίλων, καὶ διέφυγε πρὸς τὸν Μάριον. Ἐπεὶ δ' ἀλλήλους ἠσπάσαντο, πορευόμενοι παρὰ τὴν θάλασσαν, ἐντυγχάνουσι σκορπίοις μαχομένοις· καὶ τὸ σημεῖον ἐφάνη τῷ Μαρίῳ πονηρόν. Εὐθὺς οὖν ἐπιβάντες ἁλιάδος, εἰς Κέρκιναν διεπέρων, νῆσον ἀπέχουσαν οὐ πολὺ τῆς ἠπείρου· καὶ τοσοῦτον ἔφθασαν, ὅσον ἀνηγμένων αὐτῶν ἱππεῖς ὁρᾶσθαι παρὰ τοῦ βασιλέως ἐλαύνοντας ἐπὶ τὸν τόπον, ὅθεν ἀνήχθησαν. Τοῦτον οὐδενὸς ἐλάττονα κίνδυνον ἔδοξεν ἐκφυγεῖν ὁ Μάριος.

ΜΑ. Ἐν δὲ Ῥώμῃ Σύλλας μὲν ἠκούετο τοῖς Μιθριδάτου πολεμεῖν στρατηγοῖς περὶ Βοιωτίαν. Οἱ δ' ὕπατοι στασιάσαντες ἐχώρουν εἰς ὅπλα· καὶ μάχης γενομένης, Ὀκτάβιος μὲν κρατήσας ἐξέβαλε Κίνναν, ἐπιχειροῦντα τυραννικώτερον ἄρχειν, καὶ κατέστησεν ἀντ' αὐτοῦ Κορνήλιον Μερουλᾶν ὕπατον. Ὁ δὲ Κίννας ἐκ τῆς ἄλλης Ἰταλίας συναγαγὼν δύναμιν, ἐπολέμει πρὸς αὐτούς. Ταῦτα τῷ Μαρίῳ πυνθανομένῳ, πλεῦσαι τὴν ταχίστην ἐφαίνετο· καὶ παραλαβὼν ἐκ τῆς Λιβύης Μαυρουσίων τινὰς ἱππότας, καὶ τῶν ἀπὸ τῆς Ἰταλίας τινὰς καταφερομένων, συναμφοτέρους οὐ πλείονας χιλίων γενομένους, *μεθ' ὧν* ἀνήχθη. Προσβαλὼν δὲ

Τελαμῶνι τῆς Τυῤῥηνίας, καὶ ἀποβὰς, ἐκήρυττε δούλοις ἐλευθερίαν· καὶ τῶν αὐτόθι γεωργούντων καὶ νεμόντων ἐλευθέρων κατὰ δόξαν αὐτοῦ συντρεχόντων ἐπὶ τὴν θάλασσαν, ἀναπείθων τοὺς ἀκμαιοτάτους, ἐν ἡμέραις ὀλίγαις χεῖρα μεγάλην ἤθροισε, καὶ τεσσαράκοντα ναῦς ἐπλήρωσεν. Εἰδὼς δὲ τὸν μὲν Ὀκτάβιον ἄνδρα ἄριστον, καὶ τῷ δικαιοτάτῳ τρόπῳ βουλόμενον ἄρχειν, τὸν δὲ Κίνναν ὕποπτόν τε τῷ Σύλλᾳ, καὶ πολεμοῦντα τῇ καθεστώσῃ πολιτείᾳ, τούτῳ προσνέμειν ἑαυτὸν ἔγνω μετὰ τῆς δυνάμεως. Ἔπεμψεν οὖν, ἐπαγγελλόμενος ὡς ὑπάτῳ πάντα ποιήσειν τὰ προστασσόμενα. Δεξαμένου δὲ τοῦ Κίννα, καὶ προσαγορεύσαντος αὐτὸν ἀνθύπατον, ῥάβδους δὲ καὶ τἄλλα παράσημα τῆς ἀρχῆς ἀποστείλαντος, οὐκ ἔφη πρέπειν αὐτοῦ ταῖς τύχαις τὸν κόσμον, ἀλλ' ἐσθῆτι φαύλῃ κεχρημένος, καὶ κομῶν, ἀφ' ἧς ἔφυγεν ἡμέρας, ὑπὲρ ἑβδομήκοντα γεγονὼς ἔτη, βάδην προήει, βουλόμενος μὲν ἐλεεινὸς εἶναι, τῷ δ' οἴκτῳ συμμέμικτο τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τὸ φοβερόν· καὶ διέφαινεν ἡ κατήφεια τὸν θυμὸν οὐ τεταπεινωμένον, ἀλλ' ἐξηγριωμένον ὑπὸ τῆς μεταβολῆς.

ΜΒ. Ἀσπασάμενος δὲ τὸν Κίνναν, καὶ τοῖς στρατιώταις ἐντυχὼν, εὐθὺς εἴχετο τοῦ ἔργου, καὶ μεγάλην μεταβολὴν τῶν πραγμάτων ἐποίησε. Πρῶτον μὲν γὰρ ταῖς ναυσὶ τὰ σιτηγὰ περικόπτων, καὶ τοὺς ἐμπόρους ληϊζόμενος, ἐκράτησε τῆς ἀγορᾶς. Ἔπειτα τὰς παραλίους πόλεις ἐπιπλέων ᾕρει. Τέλος δὲ τὴν Ὠστίαν αὐτὴν λαβὼν ἐκ προδοσίας, τά τε χρήματα διήρπασε, καὶ τῶν ἀνθρώπων τοὺς πολλοὺς ἀπέκτεινε· καὶ γεφυρώσας τὸν ποταμὸν, ἀπέκοψε κομιδῇ τὰς ἐκ θαλάσσης εὐπορίας τῶν πολεμίων. Ἄρας δὲ τῷ στρατῷ, πρὸς τὴν πόλιν ἐχώρει, καὶ τὸ καλούμενον Ἰανοῦκλον ὄρος κατέσχεν· οὐ τοσοῦτον ἀπειρίᾳ τοῦ Ὀκταβίου τὰ πράγματα βλάπτοντος, ὅσον ἀκριβείᾳ τῶν δικαίων προϊεμένου τὰ χρειώδη, παρὰ τὸ συμφέρον. Ὅς γε, πολλῶν κελευόντων αὐτὸν ἐπ' ἐλευθερίᾳ καλεῖν τοὺς οἰκέτας, οὐκ ἔφη

δούλοις μεταδώσειν τῆς πατρίδος, ἧς Γάϊον Μάριον εἴργει τοῖς νόμοις ἀμύνων. Ἐπεὶ δὲ Μέτελλος, υἱὸς ὢν Μετέλλου τοῦ ϛρατηγήσαντος ἐν Λιβύῃ, καὶ διὰ Μάριον ἐκπεσόντος, ἧκεν εἰς Ῥώμην, καὶ πολὺ τοῦ Ὀκταβίου ϛρατηγικώτερος ἐφαίνετο, καταλιπόντες οἱ στρατιῶται τὸν Ὀκτάβιον, ἧκον ὡς ἐκεῖνον, ἄρχειν δεόμενοι καὶ σώζειν τὴν πόλιν. Εὖ γὰρ ἀγωνιεῖσθαι καὶ κρατήσειν, ἔμπειρον ἡγεμόνα καὶ δραστήριον λαβόντες. Ἀγανακτήσαντος δὲ τοῦ Μετέλλου, καὶ κελεύσαντος ἀπιέναι πρὸς τὸν ὕπατον, ᾤχοντο πρὸς τοὺς πολεμίους. Ὑπεξέστη δὲ καὶ Μέτελλος, ἀπογνοὺς τὴν πόλιν. Ὀκτάβιον δὲ Χαλδαῖοι καὶ θυταί τινες καὶ σιβυλλισταὶ πείσαντες, ἐν Ῥώμῃ κατέσχον, ὡς εὖ γενησομένων. Ὁ γὰρ ἀνὴρ οὗτος δοκεῖ, τἄλλα Ῥωμαίων εὐγνωμονέϛατος γενόμενος, καὶ μάλιστα δὴ τὸ πρόσχημα τῆς ὑπατείας ἀκολάκευτον ἐπὶ τῶν πατρίων ἐθῶν καὶ νόμων, ὥσπερ διαγραμμάτων ἀμεταβόλων, φυλάξας, ἀῤῥωστίᾳ τῇ περὶ ταῦτα χρήσασθαι, πλείονα *δὲ* συνὼν χρόνον ἀγύρταις καὶ μάντεσιν, ἢ πολιτικοῖς καὶ πολεμικοῖς ἀνδράσιν. Οὗτος μὲν οὖν, πρὶν εἰσελθεῖν τὸν Μάριον, ὑπὸ τῶν προπεμφθέντων ἀπὸ τοῦ βήματος κατασπασθεὶς ἐσφάττετο· καὶ λέγεται διάγραμμα Χαλδαϊκὸν ἐν τοῖς κόλποις αὐτοῦ φονευθέντος εὑρεθῆναι. Καὶ τὸ πρᾶγμα πολλὴν ἀλογίαν εἶχε, τὸ δυοῖν ἡγεμόνων ἐπιφανεστάτων, Μάριον μὲν ὀρθῶσαι τὸ μὴ καταφρονῆσαι μαντικῆς, Ὀκτάβιον δ' ἀπολέσαι.

ΜΓ. Οὕτω δὴ τῶν πραγμάτων ἐχόντων, ἡ βουλὴ συνελθοῦσα, πρέσβεις ἐξέπεμψε πρὸς Κίνναν καὶ Μάριον, εἰσιέναι καὶ φείδεσθαι δεομένη τῶν πολιτῶν. Κίννας μὲν οὖν, ὡς ὕπατος, ἐπὶ τοῦ δίφρου καθήμενος ἐχρημάτιζε, καὶ φιλανθρώπους ἀποκρίσεις ἔδωκε τοῖς πρέσβεσι. Μάριος δὲ τῷ δίφρῳ παρειστήκει, φθεγγόμενος μὲν οὐδὲν, ὑποδηλῶν δ' ἀεὶ τῇ βαρύτητι τοῦ προσώπου, καὶ τῇ ϛυγνότητι τοῦ βλέμματος, ὡς εὐθὺς ἐμπλήσων φόνων τὴν πόλιν. Ἐπεὶ δ' ἀναϛάντες ἐβάδιζον, Κίννας μὲν εἰσῄει δορυ-

φορούμενος. Μάριος δὲ παρὰ ταῖς πύλαις ὑποςὰς εἰρωνεύετο πρὸς ὀργὴν, φυγὰς εἶναι λέγων καὶ τῆς πατρίδος εἴργεσθαι κατὰ τὸν νόμον· εἰ δὲ χρήζοι τις αὐτοῦ παρόντος, ἑτέρᾳ ψήφῳ λυτέον εἶναι τὴν ἐκβάλλουσαν, ὡς δὴ νόμιμός τις ὢν ἀνὴρ, καὶ κατιὼν εἰς πόλιν ἐλευθέραν. Ἐκάλει δὴ τὸ πλῆθος εἰς ἀγορὰν, καὶ πρὸ τοῦ τρεῖς, ἢ τέσσαρας φυλὰς ἐνεγκεῖν τὴν ψῆφον, ἀφεὶς τὸ πλάσμα καὶ τὴν φυγαδικὴν ἐκείνην δικαιολογίαν, κατῄει δορυφόρους ἔχων λογάδας ἐκ τῶν προσπεφοιτηκότων δούλων, οὓς Βαρδιαίους προσηγόρευεν. Οὗτοι πολλοὺς μὲν ἀπὸ φωνῆς, πολλοὺς δ' ἀπὸ νεύματος ἀνῄρουν, προςάσσοντος αὐτοῦ· καὶ τέλος Ἀγχάριον, ἄνδρα βουλευτὴν καὶ ςρατηγικὸν, ἐντυγχάνοντα τῷ Μαρίῳ καὶ μὴ προσαγορευθέντα, καταβάλλουσιν ἔμπροσθεν αὐτοῦ, ταῖς μαχαίραις τύπτοντες. Ἐκ δὲ τούτου καὶ τῶν ἄλλων ὅσους ἀσπασαμένους μὴ προσαγορεύσειε, μηδ' ἀντασπάσαιτο, τοῦτ' αὐτὸ σύμβολον ἦν ἀποσφάττειν εὐθὺς ἐν ταῖς ὁδοῖς· ὥστε καὶ τῶν φίλων ἕκαςον ἀγωνίας μεστὸν εἶναι καὶ φρίκης, ὁσάκις ἀσπασόμενοι τῷ Μαρίῳ πελάζοιεν. Κτεινομένων δὲ πολλῶν, Κίννας μὲν ἀμβλὺς ἦν καὶ μεςὸς ἤδη τοῦ φονεύειν, Μάριος δὲ καθ' ἑκάςην ἡμέραν ἀκμάζοντι τῷ θυμῷ καὶ διψῶντι διὰ πάντων ἐχώρει τῶν ὁπωσοῦν ἐν ὑποψίᾳ γεγονότων. Καὶ πᾶσα μὲν ὁδὸς, πᾶσα δὲ πόλις τῶν διωκόντων καὶ κυνηγετούντων τοὺς ὑποφεύγοντας καὶ κεκρυμμένους ἔγεμεν. Ἠλέγχετο δὲ καὶ ξενίας καὶ φιλίας πίστις οὐδὲν ἔχουσα παρὰ τὰς τύχας βέβαιον· ὀλίγοι γὰρ ἐγένοντο παντάπασιν οἱ μὴ προδόντες αὐτοῖς τοὺς παρὰ σφᾶς καταφυγόντας. Ἄξιον οὖν ἄγασθαι καὶ θαυμάσαι τοὺς τοῦ Κορνούτου θεράποντας, οἳ τὸν δεσπότην ἀποκρύψαντες οἴκοι, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον, ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις, καὶ κοσμήσαντες ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. Ὑπενόησε δ' οὐδεὶς, ἀλλ' οὕτω

λαθὼν ὁ Κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

ΜΔ. Χρηστῷ δὲ καὶ Μάρκος Ἀντώνιος ὁ ῥήτωρ φίλῳ χρησάμενος, ἠτύχησεν. Ὁ γὰρ ἄνθρωπος ἦν μὲν πένης καὶ δημοτικὸς, ὑποδεξάμενος δὲ πρῶτον ἄνδρα Ῥωμαίων, καὶ φιλοφρονούμενος ἐκ τῶν παρόντων, οἰκέτην ἔπεμψε πρός τινα τῶν ἐγγὺς καπήλων, ληψόμενον οἶνον. Διαγευομένου δὲ ἐπιμελέστερον, καὶ βελτίονα μετρῆσαι κελεύοντος, ἠρώτησεν ὁ κάπηλος, ὅ τι παθὼν, οὐχὶ τοῦ νέου, ὥσπερ εἴωθεν, ὠνεῖται καὶ δημοτικοῦ, ἀλλὰ τοῦ σπουδαίου καὶ πολυτελοῦς. Ἁπλῶς δέ πως ἐκείνου φράσαντος, ὡς πρὸς συνήθη καὶ γνώριμον, ὅτι Μάρκον Ἀντώνιον ὁ δεσπότης ἑστιᾷ, παρ' αὐτῷ κρυπτόμενον, ἀσεβὴς καὶ μιαρὸς ὢν ὁ κάπηλος, ἅμα τῷ τὸν οἰκέτην ἀπελθεῖν, αὐτὸς συνέτεινε πρὸς Μάριον ἤδη περὶ δεῖπνον ὄντα, καὶ προσαχθεὶς ὡμολόγησε παραδώσειν αὐτῷ τὸν Ἀντώνιον. Ἀκούσας οὖν ἐκεῖνος ἐκκραγεῖν λέγεται μέγα, καὶ ταῖς χερσὶν ὑφ' ἡδονῆς ἀνακροτῆσαι. Καὶ μικροῦ μὲν ἐδέησεν ἐξαναςὰς αὐτὸς ἐπὶ τὸν τόπον φέρεσθαι· τῶν δὲ φίλων κατασχόντων, Ἄννιον ἔπεμπε, καὶ ςρατιώτας μετ' αὐτοῦ, κελεύσας κατὰ τάχος τὴν κεφαλὴν τοῦ Ἀντωνίου κομίζειν. Ὡς οὖν ἧκον ἐπὶ τὴν οἰκίαν, ὁ μὲν Ἄννιος ὑπέςη παρὰ τὰς θύρας, οἱ δὲ ςρατιῶται διὰ κλιμάκων ἀναβάντες εἰς τὸ δωμάτιον, καὶ θεασάμενοι τὸν Ἀντώνιον, ἄλλος ἄλλον ἐπὶ τὴν σφαγὴν ἀνθ' ἑαυτοῦ παρεκάλει καὶ προὐβάλλετο. Τοιαύτη δέ τις ἦν, ὡς ἔοικε, τοῦ ἀνδρὸς ἡ τῶν λόγων σειρὴν καὶ χάρις, ὥς', ἀρξαμένου λέγειν καὶ παραιτεῖσθαι τὸν θάνατον, ἅψασθαι μὲν οὐδεὶς ἐτόλμησεν οὐδ' ἀντιβλέψαι, κάτω δὲ κύψαντες ἐδάκρυον ἅπαντες. Διατριβῆς δὲ γενομένης, ἀναβὰς ὁ Ἄννιος ὁρᾷ τὸν μὲν Ἀντώνιον διαλεγόμενον, τοὺς δὲ ςρατιώτας ἐκπεπληγμένους καὶ κατακεκηλημένους ὑπ' αὐτοῦ. Κακίσας οὖν ἐκείνους καὶ προσδραμὼν, αὐτὸς ἀποτέμνει τὴν κεφαλήν. Κάτλος δὲ Λουτάτιος, Μαρίῳ συνάρξας, καὶ συνθριαμβεύσας ἀπὸ Κίμβρων, ἐπεὶ

πρὸς τοὺς δεομένους ὑπὲρ αὐτοῦ καὶ παραιτουμένους ὁ Μάριος τοσοῦτον μόνον εἶπεν, « Ἀποθανεῖν δεῖ », κατακλεισάμενος εἰς οἴκημα, καὶ πολλοὺς ἄνθρακας ἐκζωπυρήσας, ἀπεπνίγη. Ῥιπτουμένων δὲ τῶν σωμάτων ἀκεφάλων, καὶ πατουμένων ἐν ταῖς ὁδοῖς, ἔλεος οὐκ ἦν, ἀλλὰ φρίκη καὶ τρόμος ἁπάντων πρὸς τὴν ὄψιν. Ἠνία δὲ μάλιστα τὸν δῆμον ἡ τῶν καλουμένων Βαρδιαίων ἀσέλγεια. Τοὺς γὰρ δεσπότας ἐν ταῖς οἰκίαις σφάττοντες, ᾔσχυνον μὲν αὐτῶν παῖδας, ἐμίγνυντο δὲ βίᾳ ταῖς δεσποίναις· ἀκατάσχετοι δ' ἦσαν ἁρπάζοντες καὶ μιαιφονοῦντες, ἕως οἱ περὶ Κίνναν καὶ Σερτώριον συμφρονήσαντες, ἐπέθεντο κοιμωμένοις αὐτοῖς ἐν τῷ στρατοπέδῳ, καὶ κατηκόντισαν ἅπαντας.

ΜΕ. Ἐν τούτῳ δὲ, ὥσπερ τροπαίας τινὸς ἀμειβούσης, ἐφοίτων ἀγγελίαι πανταχόθεν, ὡς Σύλλας συνῃρηκὼς τὸν Μιθριδατικὸν πόλεμον, καὶ τὰς ἐπαρχίας ἀνειληφὼς ἐπιπλέοι μετὰ πολλῆς δυνάμεως. Καὶ τοῦτο βραχεῖαν ἐπίσχεσιν ἐποίησε καὶ παῦλαν ὀλίγην ἀφάτων κακῶν, ὅσον οὔπω τὸν πόλεμον ἥκειν ἐπ' αὐτοὺς οἰομένων. Ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον Μάριος, καὶ προελθὼν αὐταῖς Καλάνδαις Ἰανουαρίαις, ἔτους ἀρχῇ, Σέξτον τινὰ Λουκῖνον κατεκρήμνισεν· ὃ κἀκείνοις καὶ τῇ πόλει τῶν αὖθις ἐδόκει κακῶν γεγονέναι σημεῖον μέγιστον. Αὐτὸς δ' ἤδη, τοῖς τε πόνοις ἀπειρηκὼς, καὶ ταῖς φροντίσιν οἷον ὑπέραντλος ὢν καὶ κατάπονος τὴν ψυχὴν, πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων καὶ φόβων, ὑπ' ἐμπειρίας δεινῶν καὶ καμάτου τρέμουσαν, οὐκ ἀνέφερε· λογιζόμενος, ὡς οὐ πρὸς Ὀκτάβιον, οὐδὲ Μερουλᾶν, σύγκλυδος ὁμίλου καὶ στασιώδους ὄχλου στρατηγοὺς, ὁ κίνδυνος ἔσοιτο, Σύλλας δ' ἐκεῖνος ἔπεισιν, ὁ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι, νῦν δὲ Μιθριδάτην συνεσταλκὼς εἰς τὸν Εὔξεινον Πόντον. Ὑπὸ τοιούτων θραυόμενος λογισμῶν, καὶ τὴν μακρὰν ἄλην αὐτοῦ καὶ φυγὰς καὶ κινδύνους διὰ γῆς καὶ θαλάττης ἐλαυνομένου λαμβάνων πρὸ ὀφθαλμῶν,

εἰς ἀπορίας ἐνέπιπτε δεινὰς, καὶ νυκτερινὰ δείματα, καὶ ταραχώδεις ὀνείρους, ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν·

Δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος.

Μάλιϛα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας, ἐνέβαλεν εἰς πότους ἑαυτὸν καὶ μέθας ἀώρους καὶ παρ' ἡλικίαν, ὥσπερ ἀπόδρασιν τῶν φροντίδων τὸν ὕπνον μηχανώμενος. Τέλος δ', ὡς ἧκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης, νέοι προσπίπτοντες αὐτῷ φόβοι, τὰ μὲν δέει τοῦ μέλλοντος, τὰ δὲ ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων, ῥοπῆς βραχείας ἐπιγενομένης, εἰς νόσον κατηνέχθη πλευρῖτιν, ὡς ἱϛορεῖ Ποσειδώνιος ὁ φιλόσοφος, αὐτὸς εἰσελθεῖν καὶ διαλεχθῆναι περὶ ὧν ἐπρέσβευεν, ἤδη νοσοῦντι φάσκων αὐτῷ. Γάϊος δέ τις Πείσων, ἀνὴρ ἱστορικὸς, ἱϛορεῖ, τὸν Μάριον ἀπὸ δείπνου περιπατοῦντα μετὰ τῶν φίλων, ἐν λόγοις γενέσθαι περὶ τῶν ἑαυτοῦ πραγμάτων, ἄνωθεν ἀρξάμενον· καὶ τὰς ἐπ' ἀμφότερα πολλάκις μεταβολὰς ἀφηγησάμενον, εἰπεῖν, ὡς οὐκ ἔϛι νοῦν ἔχοντος ἀνδρὸς, ἔτι τῇ τύχῃ πιϛεύειν ἑαυτόν· ἐκ δὲ τούτου τοὺς παρόντας ἀσπασάμενον, καὶ κατακλιθέντα συνεχῶς ἡμέρας ἑπτὰ, τελευτῆσαι. Τινὲς δὲ τὴν φιλοτιμίαν αὐτοῦ φασὶν ἐν τῇ νόσῳ παντάπασιν ἀποκαλυφθεῖσαν, εἰς ἄτοπον ἐξοκεῖλαι παρακοπὴν, οἰομένου τὸν Μιθριδατικὸν ϛρατηγεῖν πόλεμον, εἶτα, ὥσπερ ἐπ' αὐτῶν εἰώθει τῶν ἀγώνων, σχήματα παντοδαπὰ καὶ κινήματα σώματος μετὰ συντόνου κραυγῆς καὶ πυκνῶν ἀλαλαγμάτων ἀποδιδόντος. Οὕτω δεινὸς αὐτῷ καὶ δυσπαραμύθητος ἐκ φιλαρχίας καὶ ζηλοτυπίας ἔρως ἐντετήκει τῶν πράξεων ἐκείνων. Διὸ ἔτη μὲν ἑβδομήκοντα βεβιωκὼς, ὕπατος δὲ πρῶτος ἀνθρώπων ἑπτάκις ἀνηγορευμένος, οἶκόν τε καὶ πλοῦτον ἀρκοῦντα βασιλείαις ὁμοῦ πολλαῖς κεκτημένος, ὠδύρετο τὴν αὐτοῦ τύχην, ὡς ἐνδεὴς καὶ ἀτελὴς ὧν ἐπόθει προαποθνήσκων.

Μϛ. Πλάτων μὲν οὖν, ἤδη πρὸς τῷ τελευτᾷν γενόμενος,

ὕμνει τὸν αὑτοῦ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος, εἶτα Ἕλλην, οὐ βάρβαρος, οὐδ' ἄλογον τῇ φύσει θηρίον γένοιτο· πρὸς δὲ τούτοις, ὅτι τοῖς Σωκράτους χρόνοις ἀπήντησεν ἡ γένεσις αὐτοῦ. Καὶ νὴ Δία τὸν Ταρσέα λέγουσιν Ἀντίπατρον, ὡσαύτως ὑπὸ τὴν τελευτὴν ἀναλογιζόμενον ὧν τύχοι μακαρίων, μηδὲ τῆς εἰς Ἀθήνας οἴκοθεν εὐπλοίας ἐπιλαθέσθαι, καθάπερ φίλου χρηστοῦ, τῆς τύχης ἅπασαν δόσιν εἰς μεγάλην χάριν τιθέμενον, καὶ σώζοντα τῇ μνήμῃ διὰ τέλους, ἧς οὐδέν ἐστιν ἀνθρώπῳ ταμιεῖον ἀγαθῶν βεβαιότερον. Τοὺς δὲ ἀμνήμονας καὶ ἀνοήτους ὑπεκρεῖ τὰ γινόμενα μετὰ τοῦ χρόνου· διὸ μηθὲν στέγοντες, μηδὲ διατηροῦντες, ἀεὶ κενοὶ μὲν ἀγαθῶν, πλήρεις δ' ἐλπίδων, πρὸς τὸ μέλλον ἀποβλέπουσι, τὸ παρὸν προϊέμενοι. Καίτοι τὸ μὲν ἂν ἡ τύχη κωλῦσαι δύναιτο, τὸ δ' ἀναφαίρετόν ἐστιν· ἀλλ' ὅμως τοῦτο τῆς τύχης, ὡς ἀλλότριον, ἐκβάλλοντες, ἐκεῖνο τὸ ἄδηλον ὀνειρώττουσιν, εἰκότα πάσχοντες. Πρὶν γὰρ ἐκ λόγου καὶ παιδείας ἕδραν ὑποβαλέσθαι καὶ κρηπῖδα τοῖς ἔξωθεν ἀγαθοῖς, συνάγοντες αὐτὰ καὶ συμφοροῦντες, ἐμπλῆσαι τῆς ψυχῆς οὐ δύνανται τὸ ἀκόρεστον. Ἀποθνήσκει δ' οὖν Μάριος ἡμέρας ἑπτακαίδεκα τῆς ἑβδόμης ὑπατείας ἐπιλαβών. Καὶ μέγα ἔσχε παραυτίκα τὴν Ῥώμην χάρμα καὶ θάρσος, ὡς χαλεπῆς τυραννίδος ἀπηλλαγμένην. Ὀλίγαις δὲ ἡμέραις ᾔσθοντο νέον ἀντηλλαγμένοι καὶ ἀκμάζοντα ἀντὶ πρεσβύτου δεσπότην. Τοσαύτην ὁ υἱὸς αὐτοῦ, Μάριος, ὠμότητα καὶ πικρίαν ἐπεδείξατο, τοὺς ἀρίστους καὶ δοκιμωτάτους ἀναιρῶν. Δόξας δὲ *καὶ* τολμητὴς καὶ φιλοκίνδυνος εἶναι πρὸς τοὺς πολεμίους, ἐν ἀρχῇ παῖς Ἄρεος ὠνομάζετο, ταχὺ δὲ τοῖς ἔργοις ἐλεγχόμενος, αὖθις Ἀφροδίτης υἱὸς ἐκαλεῖτο. Τέλος δὲ, κατακλεισθεὶς εἰς Πραινεστὸν ὑπὸ Σύλλα, καὶ πολλὰ φιλοψυχήσας μάτην, ὡς ἦν ἄφυκτα τῆς πόλεως ἁλισκομένης, αὐτὸς αὑτὸν ἀπέκτεινεν.

# ΠΛΟΥΤΑΡΧ. ΛΥΣΑΝΔΡΟΣ.

Ἀκανθίων θησαυρὸς ἐν Δελφοῖς ἐπιγραφὴν ἔχει τοιαύτην, « Βρασίδας καὶ Ἀκάνθιοι ἀπ' Ἀθηναίων ». Διὸ καὶ πολλοὶ τὸν ἐντὸς ἑςῶτα τοῦ οἴκου παρὰ ταῖς θύραις λίθινον ἀνδριάντα Βρασίδου νομίζουσιν εἶναι. Λυσάνδρου δέ ἐςιν εἰκονικὸς, εὖ μάλα κομῶντος ἔθει τῷ παλαιῷ, καὶ πώγωνα καθειμένου γενναῖον. Οὐ γὰρ, ὡς ἔνιοί φασιν, Ἀργείων μετὰ τὴν μεγάλην ἧτταν ἐπὶ πένθει καρέντων, οἱ Σπαρτιᾶται πρὸς τὸ ἀντίπαλον αὐτοῖς τὰς κόμας, ἀγαλλόμενοι τοῖς πεπραγμένοις, ἀνῆκαν· οὐδὲ Βακχιαδῶν τῶν ἐκ Κορίνθου φυγόντων εἰς Λακεδαίμονα, ταπεινῶν καὶ ἀμόρφων, διὰ τὸ κείρασθαι τὰς κεφαλὰς, φανέντων, εἰς ζῆλον αὐτοὶ τοῦ κομᾷν ἦλθον. Ἀλλὰ καὶ τοῦτο Λυκούργειόν ἐςι. Καί φασιν εἰπεῖν αὐτὸν, ὡς ἡ κόμη τοὺς μὲν καλοὺς εὐπρεπεςέρους ὁρᾶσθαι ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

Β. Λέγεται δὲ ὁ Λυσάνδρου πατὴρ, Ἀριστόκλειτος, οἰκίας μὲν οὐ γενέσθαι βασιλικῆς, ἄλλως δὲ γένους εἶναι τοῦ τῶν Ἡρακλειδῶν. Ἐτράφη δὲ ὁ Λύσανδρος ἐν πενίᾳ, καὶ παρέσχεν ἑαυτὸν εὔτακτον, ὡς εἴ τις ἄλλος, πρὸς τοὺς ἐθισμοὺς, καὶ ἀνδρώδη καὶ κρείττονα πάσης ἡδονῆς, πλὴν εἴ τινα τιμωμένοις καὶ κατορθοῦσιν αἱ καλαὶ πράξεις ἐπιφέρουσι. Ταύτης δὲ οὐκ αἰσχρόν ἐστιν ἡττᾶσθαι τοὺς νέους ἐν Σπάρτῃ. Βούλονται γὰρ εὐθὺς ἐξ ἀρχῆς πάσχειν τι τοὺς παῖδας αὐτῶν πρὸς δόξαν, ἀλγυνομένους τε τοῖς ψόγοις, καὶ μεγαλυνομένους ὑπὸ τῶν ἐπαίνων. Ὁ δὲ ἀπαθὴς καὶ ἀκίνητος ἐν τούτοις, ὡς ἀφιλότιμος πρὸς ἀρετὴν καὶ ἀργὸς, καταφρονεῖται. Τὸ μὲν οὖν φιλότιμον αὐτῷ καὶ φιλόνεικον ἐκ τῆς Λακωνικῆς παρέμεινε παιδείας ἐγγενόμενον, καὶ οὐδέν τι μέγα χρὴ τὴν φύσιν ἐν τούτοις αἰτιᾶσθαι.

θεραπευτικὸς δὲ τῶν δυνατῶν μᾶλλον, ἢ κατὰ Σπαρτιάτην; φύσει δοκεῖ γενέσθαι, καὶ βάρος ἐξουσίας διὰ χρείαν ἐνεγκεῖν εὔκολος· ὃ πολιτικῆς δεινότητος οὐ μικρὸν ἔνιοι ποιοῦνται μέρος. Ἀριστοτέλης δὲ τὰς μεγάλας φύσεις ἀποφαίνων μελαγχολικὰς, ὡς τὴν Σωκράτους καὶ Πλάτωνος καὶ Ἡρακλέους, ἱστορεῖ καὶ Λύσανδρον οὐκ εὐθὺς, ἀλλὰ πρεσβύτερον ὄντα τῇ μελαγχολίᾳ περιπεσεῖν. Ἴδιον δὲ αὐτοῦ μάλιστα, τὸ καλῶς πενίαν φέροντα, καὶ μηδαμοῦ κρατηθέντα, μηδὲ διαφθαρέντα χρήμασιν αὐτὸν, ἐμπλῆσαι τὴν πατρίδα πλούτου καὶ φιλοπλουτίας, καὶ παῦσαι θαυμαζομένην ἐπὶ τῷ μὴ θαυμάζειν πλοῦτον, εἰσάγοντα χρυσίου καὶ ἀργυρίου πλῆθος, μετὰ τὸν Ἀττικὸν πόλεμον, ἑαυτῷ δὲ μηδεμίαν δραχμὴν ὑπολειπόμενον. Διονυσίου δὲ τοῦ τυράννου πέμψαντος αὐτοῦ ταῖς θυγατράσι πολυτελῆ χιτώνια τῶν Σικελικῶν, οὐκ ἔλαβεν, εἰπὼν φοβεῖσθαι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. Ἀλλ᾽ ὀλίγον ὕστερον, πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτὴς, προσπέμψαντος αὐτῷ δύο στολὰς ἐκείνου, καὶ κελεύσαντος, ἣν βούλεται τούτων ἑλόμενον τῇ θυγατρὶ κομίζειν, αὐτὴν ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι· καὶ λαβὼν ἀμφοτέρας, ἀπῆλθεν.

Γ. Ἐπεὶ δὲ τοῦ Πελοποννησιακοῦ πολέμου μῆκος λαμβάνοντος, καὶ μετὰ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων κακοπραγίαν, αὐτίκα μὲν ἐπιδόξων ὄντων ἐκπεσεῖσθαι τῆς θαλάσσης, οὐ πολλῷ δὲ ὕστερον ἀπαγορεύσειν παντάπασιν, Ἀλκιβιάδης ἀπὸ τῆς φυγῆς ἐπιστὰς τοῖς πράγμασι, μεγάλην μεταβολὴν ἐποίησε, καὶ κατέστησε τοὺς ναυτικοὺς ἀγῶνας εἰς ἀντίπαλον αὐτοῖς· δείσαντες οὖν οἱ Λακεδαιμόνιοι πάλιν, καὶ γενόμενοι ταῖς προθυμίαις καινοὶ πρὸς τὸν πόλεμον, ὡς ἡγεμόνος τε δεινοῦ καὶ παρασκευῆς ἐῤῥωμενεστέρας δεόμενον, ἐκπέμπουσιν ἐπὶ τὴν τῆς θαλάσσης ἡγεμονίαν Λύσανδρον. Γενόμενος δ᾽ ἐν Ἐφέσῳ, καὶ τὴν πόλιν εὑρὼν εὔνουν μὲν αὐτῷ καὶ λακωνίζουσαν προθυμότατα, πράττουσαν δὲ τότε λυπηρῶς,

καὶ

καὶ κινδυνεύουσαν ἐκβαρβαρωθῆναι τοῖς Περσικοῖς ἔθεσι διὰ τὰς ἐπιμιξίας, ἅτε δὴ τῆς Λυδίας περικεχυμένης, καὶ τῶν βασιλικῶν στρατηγῶν αὐτόθι τὰ πολλὰ διατριβόντων· στρατόπεδον βαλόμενος, καὶ τὰ πλοῖα πανταχόθεν ἕλκεσθαι κελεύσας ἐκεῖ τὰ φορτηγὰ, καὶ ναυπηγίαν τριήρων ἐκεῖ κατασκευασάμενος, ταῖς μὲν ἐμπορίαις τοὺς λιμένας αὐτῶν ἀνέλαβεν, ἐργασίαις δὲ τὴν ἀγορὰν, χρηματισμῶν δὲ τοὺς οἴκους καὶ τὰς τέχνας ἐνέπλησεν, ὥστε πρῶτον ἀπ' ἐκείνου τοῦ χρόνου τὴν πόλιν ἐν ἐλπίδι τοῦ περὶ αὐτὴν νῦν ὄντος ὄγκου καὶ μεγέθους διὰ Λύσανδρον γενέσθαι.

Δ. Πυθόμενος δὲ Κῦρον εἰς Σάρδεις ἀφῖχθαι, τὸν βασιλέως υἱὸν, ἀνέβη, διαλεξόμενος αὐτῷ, καὶ Τισαφέρνου κατηγορήσων, ὃς, ἔχων πρόσταγμα Λακεδαιμονίοις βοηθεῖν, καὶ τῆς θαλάσσης ἐξελάσαι τοὺς Ἀθηναίους, ἐδόκει, δι' Ἀλκιβιάδην ὑφιέμενος, ἀπρόθυμος εἶναι, καὶ γλίσχρως χορηγῶν, τὸ ναυτικὸν φθείρειν. Ἦν δὲ καὶ Κύρῳ βουλομένῳ τὸν Τισαφέρνην ἐν αἰτίαις εἶναι καὶ κακῶς ἀκούειν, πονηρὸν ὄντα, καὶ πρὸς αὐτὸν ἰδίᾳ διαφερόμενον. Ἔκ τε δὴ τούτων καὶ τῆς ἄλλης συνδιαιτήσεως ὁ Λύσανδρος ἀγαπηθεὶς, καὶ τῷ θεραπευτικῷ μάλιστα τῆς ὁμιλίας ἑλὼν τὸ μειράκιον, ἐπέῤῥωσε πρὸς τὸν πόλεμον. Ἐπεὶ δὲ ἀπαλλάττεσθαι βουλόμενον αὐτὸν ἑστιῶν ὁ Κῦρος ἠξίου μὴ διωθεῖσθαι τὰς παρ' αὐτοῦ φιλοφροσύνας, ἀλλ' αἰτεῖν ὃ βούλοιτο καὶ φράζειν, ὡς οὐδενὸς ἁπλῶς ἀποτευξόμενον, ὑπολαβὼν ὁ Λύσανδρος, « Ἐπεὶ τοίνυν (εἶπεν) οὕτως ἔχεις, ὦ Κῦρε, προθυμίας, αἰτοῦμαί σε καὶ παρακαλῶ προσθεῖναι τῷ μισθῷ τῶν ναυτῶν ὀβολὸν, ὅπως τετρώβολον ἀντὶ τριωβόλου λαμβάνωσιν. » Ἡσθεὶς οὖν ὁ Κῦρος ἐπὶ τῇ φιλοτιμίᾳ τοῦ ἀνδρὸς, μυρίους αὐτῷ δαρεικοὺς ἔδωκεν· ἐξ ὧν ἐπιμετρήσας τὸν ὀβολὸν τοῖς ναύταις, καὶ λαμπρυνάμενος, ὀλίγῳ χρόνῳ τὰς ναῦς τῶν πολεμίων κενὰς ἐποίησεν. Ἀπεφοίτων γὰρ οἱ πολλοὶ πρὸς τοὺς πλέον διδόντας· οἱ δὲ μένοντες, ἀπρόθυμοι καὶ στασιώδεις ἐγίνοντο, καὶ κακὰ παρεῖχον

ὁσημέραι τοῖς στρατηγοῖς. Οὐ μὴν ἀλλὰ, καίπερ οὕτως περισπάσας καὶ κακώσας τοὺς πολεμίους ὁ Λύσανδρος, ὠῤῥώδει ναυμαχεῖν, δραστήριον ὄντα τὸν Ἀλκιβιάδην, καὶ νεῶν πλήθει περιόντα, καὶ μάχας καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν εἰς ἐκεῖνο χρόνου πάσας ἀήττητον ἠγωνισμένον δεδοικώς.

Ε. Ἐπεὶ δὲ ὁ μὲν Ἀλκιβιάδης εἰς Φωκαίαν ἐκ Σάμου διέπλευσεν, ἐπὶ τοῦ στόλου καταλιπὼν Ἀντίοχον τὸν κυβερνήτην, ὁ δὲ Ἀντίοχος, οἷον ἐφυβρίζων τῷ Λυσάνδρῳ, καὶ θρασυνόμενος, ἐπέπλευσε δυσὶ τριήρεσιν εἰς τὸν λιμένα τῶν Ἐφεσίων, καὶ παρὰ τὸνναύσταθμον γέλωτι καὶ πατάγῳ χρώμενος, σοβαρῶς παρήλαυνεν· ἀγανακτήσας ὁ Λύσανδρος, καὶ κατασπάσας τὸ πρῶτον οὐ πολλὰς τῶν τριηρῶν ἐδίωκεν αὐτὸν, ἰδὼν δὲ αὖ τοὺς Ἀθηναίους βοηθοῦντας, ἄλλας ἐπλήρου, καὶ τέλος ἐναυμάχουν συμπεσόντες. Ἐνίκα δὲ Λύσανδρος, καὶ πεντεκαίδεκα τριήρεις λαβὼν, ἔστησε τρόπαιον. Ἐπὶ τούτῳ τὸν Ἀλκιβιάδην ὁ μὲν ἐν ἄστει δῆμος ὀργισθεὶς ἀπεχειροτόνησεν· ὑπὸ δὲ τῶν ἐν Σάμῳ στρατιωτῶν ἀτιμαζόμενος καὶ κακῶς ἀκούων, ἀπέπλευσεν εἰς Χεῤῥόνησον ἐκ τοῦ στρατοπέδου. Ταύτην μὲν οὖν τὴν μάχην, καίπερ οὐ μεγάλην τῇ πράξει γενομένην, ἡ τύχη δι' Ἀλκιβιάδην ὀνομαστὴν ἐποίησεν. Ὁ δὲ Λύσανδρος, ἀπὸ τῶν πόλεων εἰς Ἔφεσον μεταπεμπόμενος, οὓς ἑώρα μάλιστα ταῖς τε τόλμαις καὶ τοῖς φρονήμασιν ὑπὲρ τοὺς πολλοὺς ὄντας, ἀρχὰς ὑπέσπειρε τῶν ὕστερον ἐπ' αὐτοῦ γενομένων δεκαδαρχιῶν καὶ νεωτερισμῶν, προτρέπων καὶ παροξύνων ἑταιρικὰ συνίστασθαι, καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ὡς ἅμα τῷ καταλυθῆναι τοὺς Ἀθηναίους, τῶν τε δήμων ἀπαλλαξομένους, καὶ δυναστεύσοντας ἐν ταῖς πατρίσι. Τούτων δὲ τὴν πίστιν ἑκάστῳ δι' ἔργων παρεῖχε, τοὺς ἤδη γεγονότας φίλους αὐτῷ καὶ ξένους εἰς μεγάλα πράγματα καὶ τιμὰς καὶ στρατηγίας ἀνάγων, καὶ συναδικῶν καὶ συνεξαμαρτάνων αὐτὸς ὑπὲρ τῆς ἐκείνων πλεονεξίας· ὥστε προσέχειν ἅπαντας

αὐτῷ καὶ χαρίζεσθαι καὶ ποθεῖν, ἐλπίζοντας οὐδενὸς ἀτυχήσειν τῶν μεγίστων, ἐκείνου κρατοῦντος. Διὸ καὶ Καλλικρατίδαν οὔτ' εὐθὺς ἡδέως εἶδον ἐλθόντα τῷ Λυσάνδρῳ διάδοχον τῆς ναυαρχίας, οὔτε, ὡς ὕστερον διδοὺς *καὶ* πεῖραν ἀνὴρ ἐφαίνετο πάντων ἄριστος καὶ δικαιότατος, ἠρέσκοντο τῷ τρόπῳ τῆς ἡγεμονίας, ἁπλοῦν τι καὶ Δώριον ἐχούσης καὶ ἀληθινόν. Ἀλλὰ τούτου μὲν τὴν ἀρετὴν, ὥσπερ ἀγάλματος ἡρωϊκοῦ κάλλος, ἐθαύμαζον, ἐπόθουν δὲ τὴν ἐκείνου σπουδὴν, καὶ τὸ φιλέταιρον καὶ χρειῶδες ἐζήτουν, ὥστε ἀθυμεῖν ἐκπλέοντος αὐτοῦ καὶ δακρύειν.

ς. Ὁ δὲ τούτους τε τῷ Καλλικρατίδᾳ δυσμενεστέρους ἐποίει ἔτι μᾶλλον, καὶ τῶν ὑπὸ Κύρου χρημάτων αὐτῷ δεδομένων εἰς τὸ ναυτικὸν, τὰ περιόντα πάλιν εἰς Σάρδεις ἀνέπεμψεν· αὐτὸν αἰτεῖν, εἰ βούλοιτο, τὸν Καλλικρατίδαν, καὶ σκοπεῖν ὅπως θρέψει τοὺς στρατιώτας κελεύσας. Τέλος δὲ, ἀποπλέων ἐμαρτύρατο πρὸς αὐτὸν, ὅτι θαλασσοκρατοῦν τὸ ναυτικὸν παραδίδωσιν. Ὁ δὲ, βουλόμενος ἐλέγξαι τὴν φιλοτιμίαν ἀλαζονικὴν καὶ κενὴν οὖσαν, « Οὐκοῦν (ἔφη) λαβὼν ἐν ἀριστερᾷ Σάμον, καὶ περιπλεύσας εἰς Μίλητον, ἐκεῖ μοι παράδος τὰς τριήρεις· δεδιέναι γὰρ οὐ χρὴ παραπλέοντας ἡμᾶς τοὺς ἐν Σάμῳ πολεμίους, εἰ θαλασσοκρατοῦμεν. » Πρὸς ταῦτα εἰπὼν ὁ Λύσανδρος, ὅτι οὐκ αὐτὸς, ἀλλ' ἐκεῖνος ἄρχοι τῶν νεῶν, ἀπέπλευσεν εἰς Πελοπόννησον, ἐν πολλῇ τὸν Καλλικρατίδαν ἀπορίᾳ καταλιπών. Οὔτε γὰρ οἴκοθεν ἀφῖκτο χρήματα κομίζων, οὔτε τὰς πόλεις ἀργυρολογεῖν καὶ βιάζεσθαι μοχθηρὰ πραττούσας ὑπέμεινε. Λοιπὸν οὖν ἦν, ἐπὶ θύρας ἰόντα τῶν βασιλέως στρατηγῶν, ὥσπερ Λύσανδρος, αἰτεῖν· πρὸς ὃ πάντων ἀφυέστατος ἐτύγχανεν, ἀνὴρ ἐλευθέριος καὶ μεγαλόφρων, καὶ πᾶσαν ὑφ' Ἑλλήνων ἧτταν Ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι, τοῦ κολακεύειν καὶ φοιτᾷν ἐπὶ θύρας ἀνθρώπων βαρβάρων, πολὺ χρυσίον, ἄλλο δ' οὐδὲν καλὸν ἐχόντων. Ἐκβιαζόμενος δὲ ὑπὸ τῆς ἀπορίας,

ἀναβὰς εἰς Λυδίαν, εὐθὺς ἐπορεύετο εἰς τὴν οἰκίαν τοῦ Κύρου, καὶ φράζειν προσέταξεν, ὅτι Καλλικρατίδας ὁ ναύαρχος ἥκει διαλεχθῆναι βουλόμενος αὐτῷ. Τῶν δ' ἐπὶ θύραις τινὸς εἰπόντος, « Ἀλλ' οὐ σχολὴ νῦν, ὦ ξένε, Κύρῳ· πίνει γάρ· » ἀφελέστατά πως ὁ Καλλικρατίδας, « Ἀλλ' οὐδὲν (ἔφη) δεινόν· αὐτοῦ γὰρ ἑστὼς ἀναμενῶ, μέχρι πίῃ. » Τότε μὲν οὖν, δόξας ἀγροῖκός τις εἶναι, καὶ καταγελασθεὶς ὑπὸ τῶν βαρβάρων, ἀπῆλθεν. Ἐπεὶ δὲ καὶ δεύτερον ἐλθὼν ἐπὶ θύρας, οὐ παρείθη, βαρέως ἐνεγκὼν, εἰς Ἔφεσον ᾤχετο, πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων, καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον· ὀμνύων δὲ πρὸς τοὺς παρόντας, ἦ μὴν, ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται, πάντα ποιήσειν ὑπὲρ τοῦ διαλυθῆναι τοὺς Ἕλληνας, ὡς φοβεροὶ τοῖς βαρβάροις εἶεν αὐτοὶ, καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως.

Ζ. Ἀλλὰ Καλλικρατίδας μὲν ἄξια τῆς Λακεδαίμονος διανοηθεὶς, καὶ γενόμενος τοῖς ἄκροις ἐνάμιλλος τῶν Ἑλλήνων διὰ δικαιοσύνην καὶ μεγαλοψυχίαν καὶ ἀνδρείαν, μετ' οὐ πολὺν χρόνον ἐν Ἀργινούσσαις καταναυμαχηθεὶς ἠφανίσθη. Τῶν δὲ πραγμάτων ὑποφερομένων, οἱ σύμμαχοι πρεσβείαν πέμποντες εἰς Σπάρτην, ᾐτοῦντο Λύσανδρον ἐπὶ τὴν ναυαρχίαν, ὡς πολὺ προθυμότερον ἀντιληψόμενοι τῶν πραγμάτων, ἐκείνου στρατηγοῦντος. Τὰ δὲ αὐτὰ καὶ Κῦρος ἀξιῶν ἐπέστελλεν. Ἐπεὶ δὲ νόμος ἦν οὐκ ἐῶν δὶς τὸν αὐτὸν ναυαρχεῖν, ἐβούλοντό τε χαρίζεσθαι τοῖς συμμάχοις οἱ Λακεδαιμόνιοι, τὸ μὲν ὄνομα τῆς ναυαρχίας Ἀράκῳ τινὶ περιέθεσαν, τὸν δὲ Λύσανδρον, ἐπιστολέα τῷ λόγῳ, τῷ δ' ἔργῳ κύριον ἁπάντων ἐξέπεμψαν. Τοῖς μὲν οὖν πλείστοις τῶν πολιτευομένων καὶ δυναμένων ἐν ταῖς πόλεσι πάλαι ποθούμενος ἧκεν. Ἤλπιζον γὰρ ἔτι μᾶλλον ἰσχύσειν δι' αὐτοῦ, παντάπασι τῶν δήμων καταλυθέντων. Τοῖς δὲ τὸν ἁπλοῦν καὶ γενναῖον ἀγαπῶσι τῶν ἡγεμόνων τρόπον, ὁ Λύσαν-

δρος τῷ Καλλικρατίδᾳ παραβαλλόμενος ἐδόκει πανοῦργος εἶναι καὶ σοφιστὴς, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου, καὶ τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι μεγαλύνων· εἰ δὲ μὴ, τῷ συμφέροντι χρώμενος ὡς καλῷ, καὶ τὸ ἀληθὲς οὐ φύσει τοῦ ψεύδους κρεῖττον ἡγούμενος, ἀλλ' ἑκατέρου τῇ χρείᾳ τὴν τιμὴν ὁρίζων. Τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας, καταγελᾶν ἐκέλευεν· « Ὅπου γὰρ ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν. »

Η. Τοιαῦτα δ' αὐτοῦ καὶ τὰ περὶ Μίλητον ἱστόρηται. Τῶν γὰρ φίλων καὶ ξένων, οἷς ὑπέσχετο συγκαταλύσειν τε τὸν δῆμον, καὶ συνεκβαλεῖν τοὺς διαφόρους, μεταβαλομένων καὶ διαλλαγέντων τοῖς ἐχθροῖς, φανερῶς μὲν ἥδεσθαι προσεποιεῖτο καὶ συνδιαλλάττειν, κρύφα δὲ λοιδορῶν αὐτοὺς καὶ κακίζων, παρώξυνεν ἐπιθέσθαι τοῖς πολλοῖς. Ὡς δ' ᾔσθετο γινομένην τὴν ἐπανάστασιν, ὀξέως βοηθήσας καὶ παρεισελθὼν εἰς τὴν πόλιν, οἷς πρώτοις ἐπιτύχοι τῶν νεωτεριζόντων, ἐχαλέπαινε τῇ φωνῇ, καὶ προσῆγε τραχυνόμενος, ὡς ἐπιθήσων δίκην αὐτοῖς· τοὺς δ' ἄλλους ἐκέλευε θαῤῥεῖν, καὶ μηδὲν ἔτι προσδοκᾷν δεινὸν, αὐτοῦ παρόντος. Ὑπεκρίνετο δὲ ταῦτα καὶ διεποίκιλλε, τοὺς δημοτικωτάτους καὶ κρατίστους βουλόμενος μὴ φεύγειν, ἀλλ' ἀποθανεῖν, ἐν τῇ πόλει μείναντας. Ὃ καὶ συνέβη· πάντες γὰρ ἀπεσφάγησαν οἱ καταπιστεύσαντες. Ἀπομνημονεύεται δὲ ὑπ' Ἀνδροκλείδου λόγος, πολλήν τινα κατηγορῶν τοῦ Λυσάνδρου περὶ τοὺς ὅρκους εὐχέρειαν. Ἐκέλευε γὰρ, ὥς φησι, τοὺς μὲν παῖδας ἀστραγάλοις, τοὺς δὲ ἄνδρας ὅρκοις ἐξαπατᾷν, ἀπομιμούμενος Πολυκράτη τὸν Σάμιον, οὐκ ὀρθῶς τύραννον στρατηγός· οὐδὲ Λακωνικὸν τὸ χρῆσθαι τοῖς θεοῖς, ὥσπερ τοῖς πολεμίοις, μᾶλλον δὲ ὑβριστικώτερον. Ὁ γὰρ ὅρκῳ παρακρουόμενος, τὸν μὲν ἐχθρὸν ὁμολογεῖ δεδιέναι, τοῦ δὲ θεοῦ καταφρονεῖν.

Θ. Ὁ δ' οὖν Κῦρος, εἰς Σάρδεις μεταπεμψάμενος τὸν Λύ-

σανδρον, τὰ μὲν ἔδωκε, τὰ δὲ ὑπέσχετο, νεανιευσάμενος, εἰς τὴν ἐκείνου χάριν, καὶ εἰ μηδὲν ὁ πατὴρ διδῷη, καταχορηγήσειν τὰ οἰκεῖα· κἂν ἐπιλίπῃ πάντα, κατακόψειν ἔφη τὸν θρόνον, ἐφ' ᾧ καθήμενος ἐχρημάτιζε, χρυσοῦν καὶ ἀργυροῦν ὄντα. Τέλος δὲ, εἰς Μηδίαν ἀναβαίνων πρὸς τὸν πατέρα, τούς τε φόρους ἀπέδειξε τῶν πόλεων λαμβάνειν ἐκεῖνον, καὶ τὴν αὑτοῦ διεπίςευσεν ἀρχήν· ἀσπασάμενος δὲ, καὶ δεηθεὶς μὴ ναυμαχεῖν Ἀθηναίοις, πρὶν αὐτὸν ἀφικέσθαι πάλιν, ἀφίξεσθαι δὲ ναῦς ἔχοντα πολλὰς ἔκ τε Φοινίκης καὶ Κιλικίας, ἀνέβαινεν ὡς βασιλέα. Λύσανδρος δὲ, μήτε ναυμαχεῖν ἀγχωμάλῳ πλήθει δυνάμενος, μήτ' ἀργὸς καθέζεσθαι μετὰ νεῶν τοσούτων, ἀναχθεὶς ἐνίας προσηγάγετο τῶν νήσων, Αἴγινάν τε καὶ Σαλαμῖνα προσμίξας κατέδραμεν. Εἰς δὲ τὴν Ἀττικὴν ἀποβὰς, καὶ τὸν Ἆγιν ἀσπασάμενος, κατέβη γὰρ ἐκ Δεκελείας πρὸς αὐτὸν, ἐπεδείξατο πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέων, ᾗ βούλοιτο, κρατῶν τῆς θαλάττης. Οὐ μὴν ἀλλὰ, τοὺς Ἀθηναίους αἰσθόμενος διώκοντας αὐτὸν, ἄλλῳ δρόμῳ διὰ νήσων ἔφευγεν εἰς τὴν Ἀσίαν. Καὶ τὸν Ἑλλήσποντον ἔρημον καταλαβὼν, ἐπεχείρε Λαμψακηνοῖς, αὐτὸς ἐκ θαλάττης ταῖς ναυσί· Θώραξ δὲ τῷ πεζῷ ςρατῷ συνανύσας εἰς τὸ αὐτὸ, προσέβαλε τοῖς τείχεσιν. Ἑλὼν δὲ τὴν πόλιν κατὰ κράτος, διαρπάσαι τοῖς ςρατιώταις ἔδωκεν. Ὁ δὲ τῶν Ἀθηναίων ςόλος, ὀγδοήκοντα καὶ ἑκατὸν τριηρῶν, ἐτύγχανε μὲν ἄρτι καθωρμισμένος εἰς Ἐλεοῦντα τῆς Χεῤῥονήσου· πυνθανόμενοι δὲ ἀπολωλέναι τὴν Λάμψακον, εὐθὺς εἰς Σηςὸν καταίρουσι. Κἀκεῖθεν ἐπισιτισάμενοι, παρέπλευσαν εἰς Αἰγὸς ποταμοὺς, ἀντιπέρας τῶν πολεμίων, ἔτι ναυλοχούντων περὶ τὴν Λάμψακον. Ἐςρατήγουν δὲ τῶν Ἀθηναίων ἄλλοι τε πλείους, καὶ Φιλοκλῆς, ὁ πείσας ποτὲ ψηφίσασθαι τὸν δῆμον, ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων κατὰ πόλεμον ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται, κώπην δ' ἐλαύνωσι.

Ι. Τότε μὲν οὖν ἀνεπαύοντο πάντες, ἐλπίζοντες εἰς τὴν ὑϛεραίαν ναυμαχήσειν. Ὁ δὲ Λύσανδρος ἄλλα μὲν διενοεῖτο, προσέταττε δὲ ναύταις καὶ κυβερνήταις, ὡς ἀγῶνος ἅμα ἡμέρᾳ γενησομένου περὶ ὄρθρον, ἐμβαίνειν εἰς τὰς τριήρεις, καὶ καθέζεσθαι κόσμῳ καὶ σιωπῇ δεχομένους τὸ παραγγελλόμενον· ὡς δ' αὔτως, καὶ τὸ πεζὸν ἐν τάξει παρὰ τὴν θάλατταν ἡσυχάζειν. Ἀνίσχοντος δὲ τοῦ ἡλίου, καὶ τῶν Ἀθηναίων μετωπηδὸν ἁπάσαις ἐπιπλεόντων, καὶ προκαλουμένων, ἀντιπρώρους ἔχων τὰς ναῦς καὶ πεπληρωμένας ἔτι νυκτὸς, οὐκ ἀνήγετο. Πέμπων δὲ ὑπηρετικὰ παρὰ τὰς πρώτας τῶν νεῶν, ἀτρεμεῖν ἐκέλευε, καὶ μένειν ἐν τάξει, μὴ θορυβουμένους, μηδ' ἀντεκπλέοντας. Οὕτω δὲ περὶ δείλην ἀποπλεόντων ὀπίσω τῶν Ἀθηναίων, οὐ πρότερον ἐκ τῶν νεῶν τοὺς ϛρατιώτας ἀφῆκεν, εἰ μὴ δύο καὶ τρεῖς τριήρεις, ἃς ἔπεμψε κατασκόπους, ἐλθεῖν ἰδόντας ἀποβεβηκότας τοὺς πολεμίους. Τῇ δ' ὑϛεραίᾳ πάλιν ἐγίνοντο ταὐτὰ, καὶ τῇ τρίτῃ, μέχρι τετάρτης· ὥστε πολὺ τοῖς Ἀθηναίοις ἐγγενέσθαι θάρσος, καὶ καταφρόνησιν, ὡς δεδιότων καὶ συνεϛαλμένων τῶν πολεμίων. Ἐν τούτῳ δ' Ἀλκιβιάδης, ἐτύγχανε γὰρ περὶ Χεῤῥόνησον ἐν τοῖς ἑαυτοῦ τείχεσι διαιτώμενος, ἵππῳ προσελάσας πρὸς τὸ ϛράτευμα τῶν Ἀθηναίων, ᾐτιᾶτο τοὺς στρατηγοὺς, πρῶτον μὲν οὐ καλῶς, οὐδ' ἀσφαλῶς στρατοπεδεύειν ἐν αἰγιαλοῖς δυσόρμοις καὶ ἀναπεπταμένοις· ἔπειτα πόῤῥωθεν ἐκ Σηϛοῦ τὰ ἐπιτήδεια λαμβάνοντας ἁμαρτάνειν, δέον εἰς λιμένα καὶ πόλιν Σηστὸν δι' ὀλίγου περιπλεύσαντας, ἀπωτέρω γενέσθαι τῶν πολεμίων, ἐφορμούντων ϛρατεύματι μοναρχουμένῳ, καὶ πάντα πρὸς φόβον ὀξέως ἀπὸ συνθήματος ὑπηρετοῦντι. Ταῦτα δ' αὐτοῦ διδάσκοντος, οὐκ ἐπείθοντο. Τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἀπεκρίνατο, φήσας, οὐκ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν.

ΙΑ. Ὁ μὲν οὖν Ἀλκιβιάδης, ὑποπτεύσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπηλλάττετο. Πέμπτῃ δὲ ἡμέρᾳ τῶν Ἀθηναίων ποιησα-

μένων τὸν ἐπίπλουν, καὶ πάλιν ἀπερχομένων, ὥσπερ εἰώθεσαν, ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, ὁ Λύσανδρος ἐκπέμπων τὰς κατασκόπους ναῦς, ἐκέλευσε τοὺς τριηράρχους, ὅταν ἴδωσι τοὺς Ἀθηναίους ἐκβεβηκότας, ἐλαύνειν ἀποςρέψαντας ὀπίσω τάχει παντὶ, καὶ γενομένους κατὰ μέσον τὸν πόρον, ἀσπίδα χαλκῆν ἐπάρασθαι πρώραθεν, ἐπίπλου σύμβολον. Αὐτὸς δὲ τοὺς κυβερνήτας καὶ τριηράρχους ἐπιπλέων ἀνεκαλεῖτο, καὶ παρώρμα συνέχειν ἕκαςον ἐν τάξει τὸ πλήρωμα καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας· ὅταν δὲ σημανθῇ, μετὰ προθυμίας καὶ ῥώμης ἐλαύνειν ἐπὶ τοὺς πολεμίους. Ὡς δὲ ἥ τε ἀσπὶς ἀπὸ τῶν νεῶν ἤρθη, καὶ τῇ σάλπιγγι τὴν ἀναγωγὴν ἐσήμαινεν ἀπὸ τῆς ναυαρχίδος, ἐπέπλεον μὲν αἱ νῆες, ἡμιλλῶντο δὲ οἱ πεζοὶ παρὰ τὸν αἰγιαλὸν ἐπὶ τὴν ἄκραν. Τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάςημα, ταύτῃ πεντεκαίδεκα ςαδίων ἐςὶ, καὶ ταχέως ὑπὸ σπουδῆς καὶ προθυμίας τῶν ἐλαυνόντων συνήρητο. Κόνων δὲ πρῶτος, ὁ τῶν Ἀθηναίων ςρατηγὸς, ἀπὸ τῆς γῆς ἰδὼν ἐπιπλέοντα τὸν ςόλον, ἐξαίφνης ἀνεβόησεν ἐμβαίνειν, καὶ περιπαθῶν τῷ κακῷ, τοὺς μὲν ἐκάλει, τῶν δὲ ἐδεῖτο, τοὺς δὲ ἠνάγκαζε πληροῦν τὰς τριήρεις. Ἦν δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς, ἐσκεδασμένων τῶν ἀνθρώπων. Ὡς γὰρ ἐξέβησαν, εὐθὺς, ἅτε μηδὲν προσδοκῶντες, ἠγόραζον, ἐπλανῶντο περὶ τὴν χώραν, ἐκάθευδον ὑπὸ ταῖς σκηναῖς, ἠριςοποιοῦντο, πορρωτάτω τοῦ μέλλοντος ἀπειρίᾳ τῶν ἡγουμένων ὄντες. Ἤδη δὲ κραυγῇ καὶ ῥοθίῳ προσφερομένων τῶν πολεμίων, ὁ μὲν Κόνων ὀκτὼ ναυσὶν ὑπεξέπλευσε, καὶ διαφυγὼν ἀπεπέρασεν εἰς τὴν Κύπρον πρὸς Εὐαγόραν· ταῖς δὲ ἄλλαις ἐπιπεσόντες οἱ Πελοποννήσιοι, τὰς μὲν κενὰς παντάπασιν ᾕρουν, τὰς δ' ἔτι πληρουμένας ἔκοπτον. Οἱ δ' ἄνθρωποι πρός τε ταῖς ναυσὶν ἀπέθνησκον, ἄνοπλοι καὶ σποράδες ἐπιβοηθοῦντες, ἔν τε τῇ γῇ φεύγοντες ἀποβάντων τῶν πολεμίων ἐκτείνοντο. Λαμβάνει δὲ ὁ Λύσανδρος τρισχιλίους ἄνδρας αἰχμαλώτους μετὰ

τῶν ϛρατηγῶν· ἅπαν δὲ τὸ ναύϛαθμον, ἄνευ τῆς παράλου, καὶ τῶν μετὰ Κόνωνος ἐκφυγουσῶν. Ἀναδησάμενος δὲ τὰς ναῦς, καὶ διαπορθήσας τὸ ϛρατόπεδον, μετ' αὐλοῦ καὶ παιάνων ἀνέπλευσεν εἰς Λάμψακον, ἔργον ἐλαχίϛῳ πόνῳ μέγιϛον ἐξειργασμένος, καὶ συνῃρηκὼς ὥρᾳ μιᾷ χρόνου μήκιϛον καὶ ποικιλώτατον, πάθεσί τε καὶ τύχαις ἀπιϛότατον τῶν πρὸ αὐτοῦ, πόλεμον· ὃς μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων μεταβολὰς ἀμείψας, καὶ ϛρατηγοὺς, ὅσους οὐδὲ οἱ σύμπαντες οἱ πρὸ αὐτοῦ τῆς Ἑλλάδος, ἀναλώσας, ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συνῄρητο· δι' ὃ καὶ θεῖόν τινες ἡγήσαντο τοῦτο τὸ ἔργον.

ΙΒ. Ἦσαν δέ τινες οἳ τοὺς Διοσκόρους ἐπὶ τῆς Λυσάνδρου νεὼς ἑκατέρωθεν [εἶδον], ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, [ὡς] ἄϛρα τοῖς οἴαξιν ἐπιλάμψαι λέγοντες. Οἱ δὲ καὶ τὴν τοῦ λίθου πτῶσιν ἐπὶ τῷ πάθει τούτῳ σημεῖον φασὶ γενέσθαι. Κατηνέχθη γὰρ, ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος εἰς Αἰγὸς ποταμούς. Καὶ δείκνυται μὲν ἔτι [καὶ] νῦν, σεβομένων αὐτὸν τῶν Χεῤῥονησιτῶν· λέγεται δ' Ἀναξαγόραν προειπεῖν, ὡς τῶν κατὰ τὸν οὐρανὸν ἐνδεδεμένων σωμάτων, γενομένου τινὸς ὀλισθήματος, ἢ σάλου, ῥίψις ἔϛαι καὶ πτῶσις ἑνὸς ἀποῤῥαγέντος· εἶναι δὲ καὶ τῶν ἄϛρων ἕκαϛον οὐκ ἐν ᾗ πέφυκε χώρᾳ· λιθώδη γὰρ ὄντα καὶ βαρέα, λάμπειν μὲν ἀντερείσει καὶ περικλάσει τοῦ αἰθέρος, ἕλκεσθαι δὲ ὑπὸ βίας σφιγγόμενα δίνῃ καὶ τόνῳ τῆς περιφορᾶς, ὥς που καὶ τὸ πρῶτον ἐκρατήθη μὴ πεσεῖν δεῦρο, τῶν ψυχρῶν καὶ βαρέων ἀποκρινομένων τοῦ παντός. Ἔστι δέ τις πιθανωτέρα δόξα ταύτης, εἰρηκότων ἐνίων, ὡς οἱ διάττοντες ἀστέρες, οὐ ῥύσις εἰσὶν, οὐδ' ἐπινέμησις αἰθερίου πυρὸς ἐν ἀέρι κατασβεννυμένου περὶ τὴν ἔξαψιν αὐτὴν, οὐδὲ ἀέρος εἰς τὴν ἄνω χώραν πλήθει χυθέντος ἔκπρησις καὶ ἀνάφλεξις, ῥίψις δὲ καὶ πτῶσις οὐρανίων σωμάτων, οἷον ἐνδόσει τινὶ τόνου καὶ περιτρόπου κινήσεως·

ἐκπάλων φερομένων οὐκ ἀεὶ πρὸς τὸν οἰκούμενον τόπον τῆς γῆς, ἀλλὰ τῶν πλείστων ἐκτὸς εἰς τὴν μεγάλην ἐκπιπτόντων θάλατταν· δὶ ὃ καὶ λανθάνουσι. Τῷ δ' Ἀναξαγόρᾳ μαρτυρεῖ καὶ Δαΐμαχος ἐν τοῖς Περὶ εὐσεβείας, ἱστορῶν, ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον, ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε συνεχῶς κατὰ τὸν οὐρανὸν ἑωρᾶτο πύρινον σῶμα παμμέγεθες, ὥσπερ νέφος φλογοειδὲς, οὐ σχολάζον, ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὥστε ὑπὸ σάλου καὶ πλάνης ἀποῤῥηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀςράπτειν, ὥσπερ οἱ διάττοντες ἀστέρες. Ἐπεὶ δ' ἐνταῦθα τῆς γῆς ἔδρισε, καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον οὐδ' ἴχνος τοσούτου, λίθος δὲ κείμενος, ἄλλως μὲν μέγας, οὐθὲν δὲ μέρος, ὡς εἰπεῖν, ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων. Ὅτι μὲν οὖν εὐγνωμόνων ὁ Δαΐμαχος ἀκροατῶν δεῖται, δῆλός ἐςιν· εἰ δ' ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκοντας ἔκ τινος ἀκρωρείας ἀποκοπεῖσαν πνεύμασι καὶ ζάλαις πέτραν, ὑποληφθεῖσαν δ', ὥσπερ οἱ ςρόβιλοι, καὶ φερομένην, ᾗ πρῶτον ἐνέδωκε καὶ διελύθη τὸ περιδινῆσαν, ἐκριφῆναι καὶ πεσεῖν. Εἰ μὴ νὴ Δία πῦρ μὲν ἦν ὄντως τὸ φαινόμενον ἐπὶ πολλὰς ἡμέρας, σβέσις δὲ καὶ φθορὰ μεταβολὴν ἀέρι παρέσχεν εἰς πνεύματα βιαιότερα καὶ κινήσεις, ὑφ' ὧν συνέτυχε καὶ τὸν λίθον ἐκριφῆναι. Ταῦτα μὲν οὖν ἑτέρῳ γένει γραφῆς διακριβωτέον.

ΙΓ. Ὁ δὲ Λύσανδρος, ἐπεὶ τῶν τρισχιλίων Ἀθηναίων, οὓς ἔλαβεν αἰχμαλώτους, ὑπὸ τῶν συνέδρων θάνατος κατέγνωστο, καλέσας Φιλοκλέα τὸν ςρατηγὸν, ἠρώτησεν αὐτὸν, τίνα τιμᾶται δίκην ἑαυτῷ, τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις. Ὁ δ' οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς, ἐκέλευσε μὴ κατηγορεῖν, ὧν οὐδείς ἐστι δικαστὴς, ἀλλὰ νικῶντα πράττειν, ἅπερ ἂν νικηθεὶς ἔπασχεν· εἶτα λουσάμενος καὶ λαβὼν χλαμύδα λαμπρὰν, πρῶτος ἐπὶ τὴν σφαγὴν ἡγεῖτο τοῖς πολίταις, ὡς

ἱςορεῖ Θεόφραςος. Ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι· φείσεσθαι γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. Ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄςυ, βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. Καταλύων δὲ τοὺς δήμους, καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοςὴν ἑκάςῃ Λακεδαιμόνιον κατέλιπεν, δέκα δ' ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων κατὰ πόλιν ἑταιριῶν. Καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως, τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. Οὔτε γὰρ ἀριςίνδην, οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας, ἀλλ' ἑταιρίαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα, καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως, πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς, καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθροὺς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. Ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν, ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν. Εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρὸν, οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος.

ΙΔ. Διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολὺν, καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας, ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν Ἄγιδι καὶ Παυσανίᾳ, τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων τὴν πόλιν. Ἐπεὶ δ' ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς, πάλιν εἰς Ἀσίαν διεπέρασε· καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς

πολιτείας, καὶ καθίστη δεκαδαρχίας, πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων. Σαμίους δὲ πάντας ἐκβαλὼν, παρέδωκε τοῖς φυγάσι τὰς πόλεις. Σηστὸν δ' Ἀθηναίων ἐχόντων ἀφελόμενος, οὐκ εἴασεν οἰκεῖν Σηστίους, ἀλλὰ τοῖς γενομένοις ὑπ' αὐτῷ κυβερνήταις καὶ κελευσταῖς ἔδωκε τὴν πόλιν καὶ τὴν χώραν νέμεσθαι. Πρὸς ὃ καὶ πρῶτον ἀντέκρουσαν οἱ Λακεδαιμόνιοι, καὶ τοὺς Σηστίους αὖθις ἐπὶ τὴν χώραν κατήγαγον. Ἀλλ' ἐκεῖνά γε τοῦ Λυσάνδρου πάντες ἡδέως ἑώρων οἱ Ἕλληνες, Αἰγινήτας τε διὰ πολλοῦ χρόνου τὴν αὑτῶν πόλιν ἀπολαμβάνοντας, καὶ Μηλίους καὶ Σκιωναίους ὑπ' αὐτοῦ συνοικιζομένους, ἐξελαυνομένων Ἀθηναίων, καὶ τὰς πόλεις ἀποδιδόντων. Ἤδη δὲ καὶ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, κατέπλευσεν εἰς τὸν Πειραιᾶ· καὶ παρεστήσατο τὴν πόλιν, ἀναγκασθεῖσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε, ποιήσασθαι τὰς διαλύσεις. Καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε· « Ἁλώκαντι ταὶ Ἀθᾶναι.» Λυσάνδρῳ δ' ἀντέγραψαν οἱ ἔφοροι· « Ἀρκεῖ τό γε ἑαλωκέναι. » Ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. Τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων οὕτως εἶχε. « Τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω· Καββαλόντες τὸν Πειραιᾶ, καὶ τὰ μακρὰ σκέλη, καὶ ἐκβάντες ἐκ πασῶν τῶν πόλεων, τὰν αὑτῶν γᾶν ἔχοντες· ταῦτά κα δρῶντες τὰν εἰράναν ἔχοιτε, αἰ χρὴ δόντες, καὶ τοὺς φυγάδας ἀνέντες. Περὶ [δὲ] τᾶν ναῶν τῶ πλήθεος, ὁκοῖόν τί κα τήνοις δοκέῃ, ταῦτα ποιέετε. » Ταύτην δὲ προσεδέξαντο τὴν σκυτάλην οἱ Ἀθηναῖοι, Θηραμένους τοῦ Ἅγνωνος συμβουλεύσαντος. Ὅτε καί φασιν ὑπὸ τῶν νέων τινὸς δημαγωγῶν Κλεομένους ἐρωτώμενον, εἰ τολμᾷ τἀναντία Θεμιστοκλεῖ πράττειν καὶ λέγειν, παραδιδοὺς τὰ τείχη τοῖς Λακεδαιμονίοις, ἃ Λακεδαιμονίων ἀκόντων ἐκεῖνος ἀνέστησεν, εἰπεῖν· « Ἀλλ' οὐδὲν, ὦ μειράκιον, ὑπεναντίον ἐγὼ πράττω Θεμιστοκλεῖ· τὰ γὰρ αὐτὰ τείχη κἀκεῖνος ἐπὶ σωτηρίᾳ τῶν πολιτῶν ἀνέστησε,

καὶ ἡμεῖς ἐπὶ σωτηρίᾳ καταβαλοῦμεν. Εἰ δὲ τὰ τείχη τὰς πόλεις εὐδαίμονας ἐποίει, πασῶν ἔδει πράττειν κάκιστα τὴν Σπάρτην, ἀτείχιστον οὖσαν.»

ΙΕ. Ὁ δ' οὖν Λύσανδρος, ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας, πλὴν δώδεκα, καὶ τὰ τείχη τῶν Ἀθηναίων, ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνὸς, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. Δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον, ἔφη, τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν· ἑστάναι γὰρ τὰ τείχη, τῶν ἡμερῶν, ἐν αἷς ἔδει καθῃρῆσθαι, παρῳχημένων. Ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν, ὡς τὰς ὁμολογίας λελυκότων. Ἔνιοι δὲ καὶ προτεθῆναι φασὶν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις. Ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰσηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. Εἶτα μέντοι, συνουσίας γενομένης τῶν ἡγεμόνων, καὶ παρὰ πότον τινὸς Φωκέως ᾄσαντος ἐκ τῆς Εὐριπίδου Ἠλέκτρας τὴν πάροδον, ἧς ἡ ἀρχή·

> *Ἀγαμέμνονος ὦ κόρα, ἤλυθον, Ἠ-*
> *λέκτρα, ποτὶ σὰν ἀγρότειραν αὐλάν·*

πάντας ἐπικλασθῆναι, καὶ φανῆναι σχέτλιον ἔργον, τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι πόλιν. Ὁ δ' οὖν Λύσανδρος, ἐνδόντων τῶν Ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγὼν, τὰ τείχη κατέσκαπτε, καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλὸν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. Εὐθὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δ' ἐν Πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν, καὶ Καλλίβιον ἁρμοστὴν, ἄνδρα Σπαρτιάτην, ἐπιστή-

σας. Ἐπεὶ δὲ οὗτος Αὐτόλυκον, τὸν ἀθλητὴν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ Ξενοφῶν πεποίηκε, τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλεν, ὁ δὲ, τῶν σκελῶν συναράμενος, ἀνέτρεψεν αὐτὸν, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε, φήσας αὐτὸν οὐκ ἐπίστασθαι τον Καλλίβιον ἐλευθέρων ἄρχειν. Ἀλλὰ τὸν μὲν Αὐτόλυκον οἱ τριάκοντα, τῷ Καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον.

Iϛ. Ὁ δὲ Λύσανδρος ἀπὸ τούτων γενόμενος, αὐτὸς μὲν ἐπὶ Θρᾴκης ἐξέπλευσε, τῶν δὲ χρημάτων τὰ περιόντα, καὶ ὅσας δωρεὰς αὐτὸς, ἢ ϛεφάνους ἐδέξατο, πολλῶν, ὡς εἰκὸς, διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς Ἑλλάδος, ἀπέϛειλεν εἰς Λακεδαίμονα διὰ Γυλίππου τοῦ ϛρατηγήσαντος περὶ Σικελίαν. Ὁ δὲ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας, καὶ ἀφελὼν συχνὸν ἀργύριον ἐξ ἑκάϛου, πάλιν συνέρῥαψεν, ἀγνοήσας, ὅτι γραμματίδιον ἐνῆν ἑκάϛῳ τὸν ἀριθμὸν σημαῖνον. Ἐλθὼν δ' εἰς Σπάρτην, ἃ μὲν ὑφῄρητο, κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας, τὰ δ' ἀγγεῖα παρέδωκε τοῖς ἐφόροις, καὶ τὰς σφραγῖδας ἐπέδειξεν. Ἐπεὶ δ', ἀνοιξάντων καὶ ἀριθμούντων, διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀργυρίου, καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φράζει θεράπων τοῦ Γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος, ὑπὸ τῷ κεραμικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. Ἦν γὰρ, ὡς ἔοικε, τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος, διὰ τοὺς Ἀθηναίους, γλαῦκες.

IΖ. Ὁ μὲν οὖν Γύλιππος αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος, μετέϛησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. Οἱ δὲ φρονιμώτατοι τῶν Σπαρτιατῶν, οὐχ ἥκιϛα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες, ὡς οὐχὶ τῶν τυχόντων ἁπτομένην πολιτῶν, τόν τε Λύσανδρον ἐλοιδόρουν, καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον, ὥσπερ κῆρας ἐπ-

αγωγίμους. Οἱ δὲ προὔθεσαν γνώμην. Καὶ Θεόπομπος μέν φησι Σκιραφίδαν, Ἔφορος δὲ Φλογίδαν, εἶναι τὸν ἀποφηνάμενον ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν, ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. Τοῦτο δ' ἦν σιδηροῦν, πρῶτον μὲν ὄξει μεταβαπτόμενον ἐκ πυρὸς, ὅπως μὴ καταχαλκεύοιτο, ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἀδρανὲς γίνοιτο· ἔπειτα βαρύσταθμον, καὶ δυσπαρακόμιστον, καὶ ἀπὸ πολλοῦ τινος πλήθους καὶ ὄγκου μικράν τινα ἀξίαν δυνάμενον. Κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς, ἐνίων δὲ χαλκοῖς· ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι, δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς· τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. Τῶν δὲ Λυσάνδρου φίλων ὑπεναντιουμένων, καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσάγεσθαι νόμισμα τοιοῦτον, ἂν δέ τις ἁλῷ κεκτημένος ἰδίᾳ, ζημίαν ὥρισαν θάνατον· ὥσπερ τοῦ Λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῄρει τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποιεῖτο, τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. Οὐ γὰρ ἦν, δημοσίᾳ τιμώμενον ὁρῶντας, ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου· καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα, τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. Ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιῤῥέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. Τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον, εἰκός· αἱ δ' ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. Οἱ δὲ ταῖς μὲν οἰκίαις τῶν πολιτῶν, ὅπως οὐ πάρεισιν εἰς αὐτὰς νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον· αὐτὰς δὲ τὰς ψυχὰς

ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον, ὡς σεμνοῦ δή τινος καὶ μεγάλου, τοῦ πλουτεῖν ἅπαντας. Περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα Λακεδαιμονίων.

III. Ὁ δὲ Λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν Δελφοῖς αὐτοῦ χαλκῆν εἰκόνα, καὶ τῶν ναυάρχων ἑκάστου, καὶ χρυσοῦς ἀστέρας τῶν Διοσκούρων, οἳ πρὸ τῶν Λευκτρικῶν ἠφανίσθησαν. Ἐν δὲ τῷ Βρασίδου καὶ Ἀκανθίων θησαυρῷ τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος, δυοῖν πηχῶν, ἣν Κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. Ἀλεξανδρίδης δὲ ὁ Δελφὸς ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα Λυσάνδρου κεῖσθαι, τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο, καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας· οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. Τότε δ' οὖν ὁ Λύσανδρος, ὅσον οὐδεὶς τῶν πρόσθεν Ἑλλήνων δυνηθείς, ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. Πρώτῳ μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις, Ἑλλήνων ἐκείνῳ βωμοὺς αἱ πόλεις ἀνέστησαν, ὡς θεῷ, καὶ θυσίας ἔθυσαν· εἰς δὲ πρῶτον παιᾶνες ᾔσθησαν, ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε·

> Τὸν Ἑλλάδος ἀγαθέας στραταγὸν εὐρυχώρου Σπάρτας ὑμνήσομεν. Ὦ ἰὴ παιάν.

Σάμιοι δὲ τὰ παρ' αὐτοῖς Ἡραῖα, Λυσάνδρια καλεῖν ἐψηφίσαντο. Τῶν δὲ ποιητῶν Χοίριλον μὲν ἀεὶ περὶ αὑτὸν εἶχεν, ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. Ἀντιλόχῳ δὲ, ποιήσαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους, ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πῖλον. Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου, καὶ Νικηράτου τινὸς Ἡρακλεώτου, ποιήμασι Λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτῷ, τὸν Νικήρατον ἐστεφάνωσεν· ὁ δ' Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ, νέος ὢν τότε, καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε

βανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. Ἐπεὶ μέντοι ὁ κιθαρῳδὸς Ἀριστόνους, ἑξάκις Πύθια νενικηκὼς, ἐπηγγέλλετο τῷ Λυσάνδρῳ φιλοφρονούμενος, ἂν νικήσῃ πάλιν, Λυσάνδρου κηρύξειν ἑαυτὸν, « Ἦ δοῦλον; » εἶπεν.

ΙΘ. Ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ Λυσάνδρου τοῖς πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὴς μόνον. Ὑπεροψίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θεραπεύοντας ἐγγενομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς, οὔτε τιμωρίας μέτρον ἦν παρ' αὐτῷ δημοτικόν· ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας, ἀνυπεύθυνοι δυναστεῖαι πόλεων καὶ τυραννίδες ἀνεξέταστοι, θυμοῦ δὲ μία πλήρωσις, ἀπολέσθαι τὸν ἀπεχθανόμενον· οὐδὲ γὰρ φυγεῖν ἐξῆν. Ἀλλὰ καὶ Μιλησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς, μὴ φύγωσι, καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βουλόμενος, ὤμοσε μὴ ἀδικήσειν· πιστεύσαντας δὲ καὶ προελθόντας, ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς παρέδωκεν, οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας. Ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δημοτικῶν φόνος οὐκ ἀριθμητὸς, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος, ἀλλὰ πολλαῖς μὲν ἔχθραις, πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦντος. Ὅθεν εὐδοκίμησεν Ἐτεοκλῆς ὁ Λακεδαιμόνιος, εἰπὼν, ὡς οὐκ ἂν ἡ Ἑλλὰς δύο Λυσάνδρους ἤνεγκε. Τὸ δ' αὐτὸ τοῦτο καὶ περὶ Ἀλκιβιάδου φησὶ Θεόφραστος εἰπεῖν Ἀρχέστρατον. Ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ τρυφὴ σὺν αὐθαδείᾳ τὸ μάλιστα δυσχεραινόμενον· τὴν δὲ Λυσάνδρου δύναμιν ἡ τοῦ τρόπου χαλεπότης φοβερὰν ἐποίει καὶ βαρεῖαν. Οἱ δὲ Λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν· ἐπεὶ δὲ Φαρνάβαζος, ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος, ἀπέστειλεν εἰς τὴν Σπάρτην κατηγόρους, ἀγανακτήσαντες οἱ ἔφοροι, τῶν μὲν φίλων αὐτοῦ καὶ στρατήγων ἕνα, Θώρακα, λαβόντες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν,

ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν, ἥκειν κελεύοντες. Ἔςι δ' ἡ σκυτάλη τοιοῦτον. Ἐπὰν ἐκπέμψωσι ναύαρχον, ἢ ςρατηγὸν, οἱ ἔφοροι, ξύλα δύο ςρογγύλα μῆκος καὶ πάχος ἀκριβῶς ἐπισώσαντες, ὥςε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν αὐτοὶ φυλάττουσι, θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. Ταῦτα δὲ τὰ ξύλα σκυτάλας καλοῦσιν. Ὅταν οὖν ἀπόῤῥητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον, ὥσπερ ἱμάντα, μακρὸν καὶ ςενὸν ποιοῦντες, περιελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. Τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται, καταγράφουσιν εἰς τὸ βιβλίον, ὥσπερ ἐςὶ τῇ σκυτάλῃ περικείμενον. Ὅταν δὲ γράψωσιν, ἀφελόντες τὸ βιβλίον, ἄνευ τοῦ ξύλου πρὸς τὸν ςρατηγὸν ἀποςέλλουσι. Δεξάμενος δ' ἐκεῖνος, ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι δύναται τῶν γραμμάτων, συναφὴν οὐκ ἐχόντων, ἀλλὰ διεσπασμένων· τὴν δὲ παρ' αὐτῷ σκυτάλην λαβὼν, τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν, ὥςε, τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθισταμένης, ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα, κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν. Καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον.

Κ. Ὁ δὲ Λύσανδρος, ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν Ἑλλήσποντον, διεταράχθη, καὶ μάλιστα τὰς τοῦ Φαρναβάζου δεδιὼς κατηγορίας, ἐσπούδασεν εἰς λόγους αὐτῷ ὡς λύσων τὴν διαφορὰν συνελθεῖν. Καὶ συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας ἑτέραν ἐπιςολὴν, ὡς οὐδὲν ἠδικημένον, οὐδ' ἐγκαλοῦντα. Πρὸς Κρῆτα δ' ἄρα, τὸ τοῦ λόγου, κρητίζων ἠγνόει τὸν Φαρνάβαζον. Ὑποσχόμενος γὰρ ἅπαντα ποιήσειν, φανερῶς μὲν ἔγραψεν, οἵαν ὁ Λύσανδρος ἠξίωσεν ἐπιστολὴν, κρύφα δ' εἶχεν ἑτέραν αὐτόθι γεγραμμένην. Ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν, ἐναλλάξας τὰ βιβλία μηδὲν διαφέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην.

Ἀφικόμενος οὖν ὁ Λύσανδρος εἰς Λακεδαίμονα, καὶ πορευθεὶς, ὥσπερ ἔθος ἐςὶ, πρὸς τὸ ἀρχεῖον, ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμματα τοῦ Φαρναβάζου, πεπεισμένος ἀνῃρῆσθαι τὸ μέγιςον αὐτοῦ τῶν ἐγκλημάτων. Ἠγαπᾶτο γὰρ ὁ Φαρνάβαζος ὑπὸ τῶν Λακεδαιμονίων, προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως ςρατηγῶν γεγενημένος. Ἐπεὶ δ' ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιςολὴν, ἔδειξαν αὐτῷ, καὶ συνῆκεν, ὡς

*Οὐκ ἄρ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνον,*

τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς ἄρχουσιν, ἔφη δεῖν αὐτὸν εἰς Ἄμμωνος ἀναβῆναι, καὶ τῷ θεῷ θῦσαι θυσίας, ἃς ηὔξατο πρὸ τῶν ἀγώνων. Ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασὶν αὐτῷ πολιορκοῦντι τὴν τῶν Ἀφυταίων πόλιν ἐν Θρᾴκῃ κατὰ τοὺς ὕπνους παραςῆναι τὸν Ἄμμωνα· διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς, ὡς τοῦ θεοῦ προστάξαντος, ἐκέλευε τοὺς Ἀφυταίους Ἄμμωνι θύειν, καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν Λιβύην πορευθεὶς ἐξιλάσασθαι. Τοῖς δὲ πλείςοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν θεὸν, ἄλλως δὲ τοὺς ἐφόρους δεδοικὼς, καὶ τὸν οἴκοι ζυγὸν οὐ φέρων, οὐδ' ὑπομένων ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεως τινός· ὥσπερ ἵππος ἐκ νομῆς ἀφέτου καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνην, καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. Ἣν μὲν γὰρ Ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι.

ΚΑ. Μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων, ἐξέπλευσεν. Οἱ δὲ βασιλεῖς, ἀποδημήσαντος αὐτοῦ, συμφρονήσαντες, ὅτι ταῖς ἑταιρίαις τὰς πόλεις κατέχων, διὰ παντὸς ἄρχει καὶ κύριός ἐςι τῆς Ἑλλάδος, ἔπρασσον, ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. Οὐ μὴν ἀλλὰ πάλιν πρὸς ταῦτα κινήματος γενομένου, καὶ πρώτων τῶν ἀπὸ Φυλῆς Ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα, καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ Λύσανδρος,

ἔπεισε τοὺς Λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν, καὶ τοὺς δήμους κολάζειν. Καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον, καὶ ϛρατηγὸν αὐτῶν, Λύσανδρον. Οἱ δὲ βασιλεῖς φθονοῦντες, καὶ δεδιότες, μὴ πάλιν ἕλῃ τὰς Ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. Ἐξῆλθε δὲ ὁ Παυσανίας, λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ Λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν Ἀθηνῶν. Τοῦτο μὲν οὖν διεπράξατο ῥᾳδίως, καὶ τοὺς Ἀθηναίους διαλλάξας, καὶ καταπαύσας τὴν στάσιν, ἀφείλετο τοῦ Λυσάνδρου τὴν φιλοτιμίαν. Ὀλίγῳ δὲ ὕϛερον ἀποϛάντων πάλιν τῶν Ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν, ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνασθαι· τῷ δὲ Λυσάνδρῳ προσεθήκατο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν, οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ Σπάρτῃ συμφέρον αὐθεκάϛως ϛρατηγοῦντος.

ΚΒ. Ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς, καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιτείνοντας. Ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων, καὶ δικαιότερα τῶν Λακεδαιμονίων οἰομένοις λέγειν, δείξας τὴν μάχαιραν, « Ὁ ταύτης (ἔφη) κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. » Μεγαρέως δ' ἀνδρὸς ἔν τινι συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, « Οἱ λόγοι σου (εἶπεν), ὦ ξένε, πόλεως δέονται. » Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας ἠρώτα, Πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις, διαπορεύηται τὴν χώραν αὐτῶν. Ἐπεὶ δὲ, τῶν Κορινθίων ἀφεϛώτων, παρερχομένους πρὸς τὰ τείχη τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, « Οὐκ αἰσχύνεσθε (ἔφη) τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωοὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν; » Ἐπεὶ δὲ Ἆγις ὁ βασιλεὺς ἐτελεύτησεν, ἀδελφὸν μὲν Ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον Λεωτυχίδαν, ἐραϛὴς τοῦ Ἀγησιλάου γεγονὼς ὁ Λύ-

σανδρος, ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας, ὡς Ἡρακλείδην ὄντα γνήσιον. Ὁ γὰρ Λεωτυχίδας διαβολὴν εἶχεν ἐξ Ἀλκιβιάδου γεγονέναι, συνόντος αὐτοῦ κρύφα τῇ Ἄγιδος γυναικὶ Τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν Σπάρτῃ διέτριβεν. Ὁ δ' Ἄγις, ὥς φασι, χρόνου μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν, ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ Λεωτυχίδου, καὶ φανερὸς ἦν ἀναινόμενος αὐτὸν, παρά γε τὸν λοιπὸν χρόνον. Ἐπεὶ δὲ νοσῶν εἰς Ἡραίαν ἐκομίσθη, καὶ τελευτᾷν ἔμελλε, τὰ μὲν ὑπ' αὐτοῦ τοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς, ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὐτοῦ τὸν Λεωτυχίδαν, καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς Λακεδαιμονίους, ἀπέθανεν. Οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ Λεωτυχίδᾳ· τὸν δ' Ἀγησίλαον, λαμπρὸν ὄντα τἄλλα, καὶ συναγωνιστῇ τῷ Λυσάνδρῳ χρώμενον, ἔβλαπτε Διοπείθης, ἀνὴρ εὐδόκιμος ἐπὶ χρησμολογίᾳ, τοιόνδε μάντευμα προσφέρων εἰς τὴν χωλότητα τοῦ Ἀγησιλάου·

*Φράζεο δὴ, Σπάρτη, καίπερ μεγάλαυχος ἐοῦσα,*
*Μὴ σέθεν ἀρτίποδος βλάψῃ χωλὴ βασιλεία·*
*Δηρὸν γὰρ μόχθοι σε κατασχήσουσιν ἄελπτοι,*
*Φθερσίβροτόν τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.*

Πολλῶν οὖν ὑποκατακλινομένων πρὸς τὸ λόγιον, καὶ τρεπομένων πρὸς τὸν Λεωτυχίδαν, ὁ Λύσανδρος οὐκ ὀρθῶς ἔφη τὸν Διοπείθη τὴν μαντείαν ὑπολαμβάνειν· οὐ γὰρ, ἂν προσπταίσας τις ἄρχῃ Λακεδαιμονίων, δυσχεραίνειν τὸν θεὸν, ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γεγονότες βασιλεύσουσιν Ἡρακλείδαις. Τοιαῦτα λέγων καὶ δυνάμενος πλεῖστον, ἔπεισε· καὶ γίνεται βασιλεὺς Ἀγησίλαος.

ΚΓ. Εὐθὺς οὖν αὐτὸν ἐξώρμα καὶ προὔτρεπεν ὁ Λύσανδρος εἰς τὴν Ἀσίαν στρατεύειν, ὑποτιθεὶς ἐλπίδας, ὡς καταλύσοντι Πέρσας, καὶ μεγίστῳ γενησομένῳ. Πρός τε τοὺς ἐν Ἀσίᾳ φίλους

ἔγραψεν, αἰτεῖσθαι κελεύων παρὰ Λακεδαιμονίων στρατηγὸν Ἀγησίλαον, ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. Οἱ δ' ἐπείθοντο, καὶ πρέσβεις ἔπεμπον εἰς Λακεδαίμονα δεομένους· ὃ δοκεῖ τῆς βασιλείας οὐκ ἔλαττον Ἀγησιλάῳ καλὸν ὑπάρξαι διὰ Λύσανδρον. Ἀλλ' αἱ φιλότιμοι φύσεις ἄλλως μὲν οὐ κακαὶ πρὸς τὰς ἡγεμονίας εἰσὶ, τὸ δὲ φθονεῖν τοῖς ὁμοίοις διὰ δόξαν, οὐ μικρὸν ἐμπόδιον τῶν καλῶν πράξεων ἔχουσι. Ποιοῦνται γὰρ ἀνταγωνιστὰς τῆς ἀρετῆς, οἷς πάρεστι χρῆσθαι συνεργοῖς. Ἀγησίλαος μὲν οὖν ἐπηγάγετο Λύσανδρον ἐν τοῖς τριάκοντα συμβούλοις, ὡς μάλιστα καὶ πρώτῳ τῶν φίλων χρησόμενος. Ἐπεὶ δ', εἰς τὴν Ἀσίαν παραγενομένων, πρὸς ἐκεῖνον μὲν, οὐκ ἔχοντες οἱ ἄνθρωποι συνήθως, βραχέα καὶ σπανίως διελέγοντο· τὸν δὲ Λύσανδρον ἐκ πολλῆς τῆς πρόσθεν ὁμιλίας, οἵ τε φίλοι θεραπεύοντες, οἵ τε ὕποπτοι δεδοικότες, ἐφοίτων ἐπὶ θύρας καὶ παρηκολούθουν· οἷον ἐν τραγῳδίαις ἐπιεικῶς συμβαίνει περὶ τοὺς ὑποκριτὰς, τὸν μὲν, ἀγγέλου τινὸς, ἢ θεράποντος ἐπικείμενον πρόσωπον, εὐδοκιμεῖν καὶ πρωταγωνιστεῖν, τὸν δὲ διάδημα καὶ σκῆπτρον φοροῦντα μηδ' ἀκούεσθαι φθεγγόμενον· οὕτω περὶ τὸν σύμβουλον ἦν τὸ πᾶν ἀξίωμα τῆς ἀρχῆς, τῷ δὲ βασιλεῖ τοὔνομα τῆς δυνάμεως ἔρημον ὑπελείπετο. Γενέσθαι μὲν οὖν ἔδει ἴσως τινὰ τῆς ἐκμελοῦς ταύτης φιλοτιμίας ἐπαφὴν, καὶ συσταλῆναι τὸν Λύσανδρον ἄχρι τῶν δευτερείων· τὸ δὲ παντελῶς ἀποῤῥίψαι καὶ προπηλακίσαι διὰ δόξαν εὐεργέτην ἄνδρα καὶ φίλον, οὐκ ἦν ἄξιον Ἀγησιλάῳ προσεῖναι. Πρῶτον μὲν οὖν οὐ παρεῖχεν αὐτῷ πράξεων ἀφορμὰς, οὐδ' ἔταττεν ἐφ' ἡγεμονίας· ἔπειτα ὑπὲρ ὧν αἴσθοιτό τι πράττοντα καὶ σπουδάζοντα τὸν Λύσανδρον, ἀεὶ τούτους πάντων ἀπράκτους, καὶ τῶν ἐπιτυχόντων ἔλαττον ἔχοντας ἀπέπεμπε, παραλύων ἡσυχῆ καὶ διαψύχων τὴν ἐκείνου δύναμιν. Ἐπεὶ δὲ τῶν πάντων διαμαρτάνων ὁ Λύσανδρος, ἔγνω τοῖς φίλοις τὴν παρ' αὐτοῦ σπουδὴν ἐναντίωμα γινομένην, αὐ-

τός τε τὸ βοηθεῖν ἐξέλιπε, κἀκείνων ἐδεῖτο μὴ προσιέναι, μηδὲ θεραπεύειν αὐτὸν, ἀλλὰ τῷ βασιλεῖ διαλέγεσθαι, καὶ τοῖς δυναμένοις ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς μᾶλλον ἐν τῷ παρόντι. Ταῦτ᾽ ἀκούοντες οἱ πολλοὶ, τοῦ μὲν ἐνοχλεῖν αὐτὸν περὶ πραγμάτων ἀπείχοντο, τὰς δὲ θεραπείας οὐ κατέλιπον, ἀλλὰ προσφοιτῶντες ἐν τοῖς περιπάτοις καὶ γυμνασίοις, ἔτι μᾶλλον, ἢ πρότερον, ἠνίων τὸν Ἀγησίλαον ὑπὸ φθόνου τῆς τιμῆς· ὥςε τοῖς πολλοῖς ςρατιώταις ἡγεμονίας πραγμάτων καὶ διοικήσεις πόλεων ἀποδιδοὺς, τὸν Λύσανδρον ἀπέδειξε κρεωδαίτην. Εἶτα οἷον ἐφυβρίζων πρὸς τοὺς Ἴωνας· « Ἀπιόντες (ἔφη) νῦν τὸν ἐμὸν κρεωδαίτην θεραπευέτωσαν. » Ἔδοξεν οὖν Λυσάνδρῳ διὰ λόγων πρὸς αὐτὸν ἐλθεῖν· καὶ γίνεται βραχὺς καὶ Λακωνικὸς αὐτῶν διάλογος. « Ἦ καλῶς ᾔδεις, ὦ Ἀγησίλαε, φίλους ἐλαττοῦν. » Καὶ ὅς· « Ἄν γε ἐμοῦ βούλωνται μείζονες εἶναι. Τοὺς δ᾽ αὔξοντας τὴν ἐμὴν δύναμιν, καὶ μετέχειν αὐτῆς δίκαιον. » « Ἀλλ᾽ ἴσως μὲν, ὦ Ἀγησίλαε, σοὶ λέλεκται μᾶλλον, ἢ ἐμοὶ πέπρακται. Δέομαι δέ σου καὶ διὰ τοὺς ἐκτὸς ἀνθρώπους, οἳ πρὸ ἡμᾶς ἀποβλέπουσιν, ἐνταῦθά με τῆς σεαυτοῦ ςρατηγίας τάξον, ὅπου τεταγμένον, ἥκιςα μὲν ἐπαχθῆ, μᾶλλον δὲ χρήσιμον ἔσεσθαι σεαυτῷ νομίζεις. »

ΚΔ. Ἐκ τούτου πρεσβευτὴς εἰς Ἑλλήσποντον ἐπέμπετο· καὶ τὸν μὲν Ἀγησίλαον δι᾽ ὀργῆς εἶχε, οὐκ ἠμέλει δὲ τοῦ τὰ δέοντα πράττειν. Σπιθριδάτην δὲ τὸν Πέρσην προσκεκρουκότα Φαρναβάζῳ, γενναῖον ἄνδρα καὶ ςρατιὰν ἔχοντα περὶ αὐτὸν, ἀποςήσας, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. Ἄλλο δ᾽ οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον· ἀλλὰ τοῦ χρόνου διελθόντος, ἀπέπλευσεν εἰς τὴν Σπάρτην ἀτίμως, ὀργιζόμενος μὲν τῷ Ἀγησιλάῳ, μισῶν δὲ καὶ τὴν ὅλην πολιτείαν μᾶλλον ἔτι, ἢ πρότερον, καὶ τὰ πάλαι δοκοῦντα συγκεῖσθαι καὶ μεμηχανῆσθαι πρὸς μεταβολὴν καὶ νεωτερισμὸν, ἐγνωκὼς ἐγχειρεῖν τότε καὶ μὴ διαμέλλειν. Ἦν δὲ τοιάδε. Τῶν ἀναμιχθέντων Δωριεῦσιν Ἡρακλειδῶν καὶ

κατελθόντων εἰς Πελοπόννησον, πολὺ μὲν ἐν Σπάρτῃ καὶ λαμπρὸν ἤνθησε γένος· οὐ παντὶ δ' αὐτῶν τῆς βασιλικῆς μετῆν διαδοχῆς. Ἀλλ' ἐβασίλευον ἐκ δυεῖν οἴκων μόνων, Εὐρυτιωντίδαι καὶ Ἀγιάδαι προσαγορευόμενοι· τοῖς δ' ἄλλοις οὐδὲν ἑτέρου πλέον ἔχειν ἐν τῇ πολιτείᾳ διὰ τὴν εὐγένειαν ὑπῆρχεν. Αἱ δ' ἀπ' ἀρετῆς τιμαὶ πᾶσι προὔκειντο τοῖς δυναμένοις. Τούτων οὖν γεγονὼς ὁ Λύσανδρος, ὡς εἰς δόξαν τῶν πράξεων ἤρθη μεγάλην, καὶ φίλους ἐκέκτητο πολλοὺς καὶ δύναμιν, ἤχθετο τὴν πόλιν ὁρῶν ὑπ' αὐτοῦ μὲν αὐξανομένην, ὑφ' ἑτέρων δὲ βασιλευομένην, οὐδενὶ βέλτιον αὐτοῦ γεγονότων. Καὶ διενοεῖτο τὴν ἀρχὴν ἐκ τῶν δυεῖν οἴκων μεταστήσας, εἰς κοινὸν ἀποδοῦναι πᾶσιν Ἡρακλείδαις. ὡς δ' ἔνιοι φασὶν, οὐχ Ἡρακλείδαις, ἀλλὰ Σπαρτιάταις· ἵνα μὴ ᾖ τῶν ἀφ' Ἡρακλέους, ἀλλὰ τῶν οἷος Ἡρακλῆς, τὸ γέρας, ἀρετῇ κρινομένων, ἣ κἀκεῖνον εἰς θεῶν τιμὰς ἀνήγαγεν. Ἤλπιζε δὲ, τῆς βασιλείας οὕτω δικαζομένης, οὐδένα πρὸ αὐτοῦ Σπαρτιάτην ἂν αἱρεθήσεσθαι.

ΚΕ. Πρῶτον μὲν οὖν ἐπεχείρησε καὶ παρεσκευάσατο πείθειν δι' ἑαυτοῦ τοὺς πολίτας, καὶ λόγον ἐξεμελέτα πρὸς τὴν ὑπόθεσιν γεγραμμένον ὑπὸ Κλέωνος τοῦ Ἁλικαρνασσέως. Ἔπειτα τὴν ἀτοπίαν καὶ τὸ μέγεθος τοῦ καινοτομουμένου πράγματος ὁρῶν ἰταμωτέρας δεόμενον βοηθείας, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν αἴρων ἐπὶ τοὺς πολίτας, λόγια πυθόχρηστα καὶ χρησμοὺς συνετίθει καὶ κατεσκεύαζεν· ὡς οὐδὲν ὠφελησόμενος ὑπὸ τῆς Κλέωνος δεινότητος, εἰ μὴ φόβῳ τινὶ θεοῦ καὶ δεισιδαιμονίᾳ προεκπλήξας καὶ χειρωσάμενος, ὑπαγάγοι πρὸς τὸν λόγον τοὺς πολίτας. Ἔφορος μὲν οὖν φησὶν, αὐτὸν, ὡς τήν τε Πυθίαν ἐπιχειρήσας διαφθεῖραι, καὶ τὰς Δωδωνίδας αὖθις ἀναπείθων διὰ Φερεκλέους ἀπέτυχεν, εἰς Ἄμμωνος ἀναβῆναι, καὶ διαλέγεσθαι τοῖς προφήταις πολὺ χρυσίον διδόντα· τοὺς δὲ δυσχεραίνοντας, εἰς Σπάρτην τινὰς ἀποστεῖλαι τοῦ Λυσάνδρου κατηγορήσοντας· Ἐπεὶ δ' ἀπ-

ελύθη, τοὺς Λίβυας ἀπιόντας εἰπεῖν· « Ἀλλ' ἡμεῖς γε βέλτιον, ὦ Σπαρτιᾶται, κρινοῦμεν, ὅταν ἥκητε πρὸς ἡμᾶς εἰς Λιβύην οἰκήσοντες· » ὡς δὴ χρησμοῦ τινος ὄντος παλαιοῦ, Λακεδαιμονίους ἐν Λιβύῃ κατοικῆσαι. Τὴν δὲ ὅλην ἐπιβουλὴν καὶ σκευωρίαν τοῦ πλάσματος, οὐ φαύλην οὖσαν, οὐδ' ἀφ' ὧν ἔτυχεν ἀρξαμένην, ἀλλὰ πολλὰς καὶ μεγάλας ὑποθέσεις, ὥσπερ ἐν διαγράμματι μαθηματικῷ, προσλαβοῦσαν, καὶ διὰ λημμάτων χαλεπῶν καὶ δυσπορίςων ἐπὶ τὸ συμπέρασμα προϊοῦσαν, ἡμεῖς ἀναγράψομεν, ἀνδρὸς ἱςορικοῦ καὶ φιλοσόφου λόγῳ κατακολουθήσαντες.

Κϛ. Ἦν γύναιον ἐν Πόντῳ κύειν ἐξ Ἀπόλλωνος φάμενον, ᾧ πολλοὶ μὲν, ὡς εἰκὸς ἦν, ἠπίςουν, πολλοὶ δὲ καὶ προσεῖχον· ὥςε καὶ τεκούσης παιδίον ἄῤῥεν, ὑπὸ πολλῶν καὶ γνωρίμων σπουδάζεσθαι τὴν ἐκτροφὴν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν. Ὄνομα δὲ τῷ παιδὶ Σιληνὸς ἔκ δή τινος αἰτίας ἐτέθη. Ταύτην λαβὼν ὁ Λύσανδρος ἀρχὴν, τὰ λοιπὰ παρ' ἑαυτοῦ προσετεκταίνετο καὶ συνύφαινεν, οὐκ ὀλίγοις χρώμενος, οὐδὲ φαύλοις τοῦ μύθου προαγωνιςαῖς· οἳ τήν τε φήμην τῆς γενέσεως τοῦ παιδὸς εἰς πίςιν ἀνυπόπτως προῆγον, ἄλλον τε λόγον ἐκ Δελφῶν ἀντικομίσαντες εἰς τὴν Σπάρτην κατέβαλον καὶ διέσπειραν, ὡς ἐν γράμμασιν ἀποῤῥήτοις ὑπὸ τῶν ἱερέων φυλάττοιντο παμπάλαιοι δή τινες χρησμοὶ, καὶ λαβεῖν οὐκ ἔξεςι τούτους, οὐδ' ἐντυχεῖν θεμιτὸν, εἰ μή τις ἄρα γεγονὼς ἐξ Ἀπόλλωνος ἀφίκοιτο τῷ πολλῷ χρόνῳ, καὶ σύνθημα τοῖς φυλάττουσι τῆς γενέσεως γνώριμον παρασχὼν, κομίσαιτο τὰς δέλτους, ἐν αἷς ἦσαν οἱ χρησμοί. Τούτων δὲ προκατεσκευασμένων, ἔδει τὸν Σιληνὸν ἐλθόντα τοὺς χρησμοὺς ἀπαιτεῖν, ὡς Ἀπόλλωνος παῖδα· τοὺς δὲ συμπράττοντας τῶν ἱερέων ἐξακριβοῦν ἕκαστα, καὶ διαπυνθάνεσθαι περὶ τῆς γενέσεως, τέλος δὲ, πεπεισμένους δῆθεν, ὡς Ἀπόλλωνος υἱῷ δεῖξαι τὰ γράμματα· τὸν δ' ἀναγνῶναι πολλῶν παρόντων ἄλλας τε μαντείας, καὶ ἧς ἕνεκα [τἄλλα] πέπλασαι, τὴν περὶ τῆς

βασιλείας, ὡς ἄμεινον εἴη καὶ λῷον Σπαρτιάταις ἐκ τῶν ἀρίστων πολλῶν αἱρουμένοις τοὺς βασιλέας. Ἤδη δὲ τοῦ Σιληνοῦ μειρακίου γεγονότος, καὶ πρὸς τὴν πρᾶξιν ἥκοντος, ἐξέπεσε τοῦ δράματος ὁ Λύσανδρος, ἀτολμίᾳ τῶν ὑποκριτῶν καὶ συνεργῶν ἑνὸς, ὡς ἐπ' αὐτὸ τὸ ἔργον ἦλθεν, ἀποδειλιάσαντος καὶ ἀναδύντος. Οὐ μὴν ἐφωράθη γε τοῦ Λυσάνδρου ζῶντος οὐθὲν, ἀλλὰ μετὰ τὴν τελευτήν.

ΚΖ. Ἐτελεύτησε δὲ, πρὶν ἐξ Ἀσίας ἐπανελθεῖν τὸν Ἀγησίλαον, ἐμπεσὼν εἰς τὸν Βοιωτικὸν πόλεμον, ἢ μᾶλλον ἐμβαλὼν τὴν Ἑλλάδα. Λέγεται γὰρ ἀμφοτέρως· καὶ τὴν αἰτίαν οἱ μέν τινες ἐκείνου ποιοῦσιν, οἱ δὲ, Θηβαίων, οἱ δὲ, κοινήν. Θηβαίοις μὲν ἐγκαλοῦντες τὴν ἐν Αὐλίδι τῶν ἱερῶν διάῤῥιψιν, καὶ ὅτι τῶν περὶ Ἀνδροκλείδην καὶ Ἀμφίθεον χρήμασι βασιλικοῖς διαφθαρέντων, ἐπὶ τῷ Λακεδαιμονίοις Ἑλληνικὸν περιστῆσαι πόλεμον, ἐπέθεντο Φωκεῦσι, καὶ τὴν χώραν αὐτῶν ἐπόρθησαν. Λύσανδρον δέ φασιν ὀργῇ φέρειν, ὅτι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου Θηβαῖοι μόνοι, τῶν ἄλλων συμμάχων ἡσυχαζόντων, καὶ περὶ χρημάτων ἠγανάκτησαν, ἃ Λύσανδρος εἰς Σπάρτην ἀπέστειλε· μάλιστα δ' ἐπὶ τῷ παρασχεῖν ἀρχὴν Ἀθηναίοις ἐλευθερώσεως ἀπὸ τῶν τριάκοντα τυράννων, οὓς Λύσανδρος μὲν κατέστησε, Λακεδαιμόνιοι δὲ δύναμιν καὶ φόβον αὐτοῖς προστιθέντες, ἐψηφίσαντο τοὺς φεύγοντας ἐξ Ἀθηνῶν ἀγωγίμους εἶναι πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι. Πρὸς ταῦτα γὰρ ἀντεψηφίσαντο Θηβαῖοι ψηφίσματα πρέποντα καὶ ἀδελφὰ ταῖς Ἡρακλέους καὶ Διονύσου πράξεσιν, οἰκίαν μὲν ἀνεῷχθαι πᾶσαν καὶ πόλιν ἐν Βοιωτίᾳ τοῖς δεομένοις Ἀθηναίων, τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ βοηθήσαντα ζημίαν ὀφείλειν τάλαντον· ἂν δέ τις Ἀθήναζε διὰ τῆς Βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζῃ, μήτε ὁρᾷν τινα Θηβαίων, μήτ' ἀκούειν. Καὶ οὐκ ἐψηφίσαντο μὲν οὕτως Ἑλληνικὰ καὶ φιλάνθρωπα, τὰς δὲ πράξεις τοῖς γράμμασιν ὁμοίας οὐ παρέσχον. Ἀλλὰ Θρασύβουλος

καὶ οἱ σὺν αὐτῷ Φυλὴν καταλαβόντες, ἐκ Θηβῶν ὡρμήθησαν, ὅπλα καὶ χρήματα καὶ τὸ λαθεῖν καὶ τὸ ἄρξασθαι Θηβαίων αὐτοῖς συμπαρασκευασάντων. Αἰτίας μὲν οὖν ταύτας ἔλαβε κατὰ τῶν Θηβαίων ὁ Λύσανδρος.

ΚΗ. Ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργὴν, διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας, παρώξυνε τοὺς ἐφόρους καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ' αὐτοὺς, καὶ λαβὼν τὴν ἡγεμονίαν ἐξεστράτευσεν. Ὕστερον δὲ καὶ Παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλαν. Ἀλλὰ Παυσανίας μὲν κύκλῳ περιελθὼν διὰ τοῦ Κιθαιρῶνος, ἔμελλεν εἰς τὴν Βοιωτίαν εἰσβαλεῖν. Λύσανδρος δὲ διὰ Φωκέων ἀπήντα, στρατιώτας ἔχων πολλούς· καὶ τὴν μὲν Ὀρχομενίων πόλιν ἑκουσίως προσχωρήσασαν ἔλαβε, τὴν δὲ Λεβαδίαν ἐπελθὼν διεπόρθησεν. Ἔπεμψε δὲ τῷ Παυσανίᾳ γράμματα, κελεύων εἰς Ἁλίαρτον ἐκ Πλαταιῶν συνάπτειν, ὡς αὐτὸς ἅμ' ἡμέρᾳ πρὸς τοῖς τείχεσι τῶν Ἁλιαρτίων γενησόμενος. Ταῦτα τὰ γράμματα πρὸς τοὺς Θηβαίους ἀπηνέχθη, τοῦ κομίζοντος εἰς κατασκόπους τινὰς ἐμπεσόντος. Οἱ δὲ, προσβεβοηθηκότων αὐτοῖς Ἀθηναίων, τὴν μὲν πόλιν ἐκείνοις διεπίστευσαν, αὐτοὶ δὲ, περὶ πρῶτον ὕπνον ἐξορμήσαντες, ἔφθασαν ὀλίγῳ τὸν Λύσανδρον ἐν Ἁλιάρτῳ γενόμενοι, καὶ μέρει τινὶ παρῆλθον εἰς τὴν πόλιν. Ἐκεῖνος δὲ τὸ μὲν πρῶτον ἔγνω, τὴν στρατιὰν ἱδρύσας ἐπὶ λόφου, περιμένειν τὸν Παυσανίαν. Ἔπειτα προϊούσης τῆς ἡμέρας ἀτρεμεῖν οὐ δυνάμενος, λαβὼν τὰ ὅπλα καὶ τοὺς συμμάχους παρορμήσας, ὀρθίᾳ τῇ φάλαγγι παρὰ τὴν ὁδὸν ἦγε πρὸς τὸ τεῖχος. Τῶν δὲ Θηβαίων οἱ μὲν ἔξω μεμενηκότες, ἐν ἀριστερᾷ τὴν πόλιν λαβόντες, ἐβάδιζον ἐπὶ τοὺς ἐσχάτους τῶν πολεμίων ὑπὸ τὴν κρήνην τὴν Κισσοῦσαν προσαγορευομένην· ἔνθα μυθολογοῦσι τὰς τιθήνας νήπιον ἐκ τῆς λοχείας ἀπολοῦσαι τὸν Διόνυσον. Καὶ γὰρ οἰνωπὸν ἐπιστίλβει τὸ χρῶμα καὶ διαυγὲς, καὶ πιεῖν ἥδιστον. Οἱ δὲ Κρήσσιοι στύρακες οὐ πρόσω περι-

πεφύκασιν· ἃ τεκμήρια τῆς Ῥαδαμάνθυος αὐτόθι κατοικήσεως Ἁλιάρτιοι ποιοῦνται, καὶ τάφον αὐτοῦ δεικνύουσιν, Ἀλεᾶ καλοῦντες. Ἔστι δὲ καὶ τὸ τῆς Ἀλκμήνης μνημεῖον ἐγγύς· ἐνταῦθα γὰρ, ὥς φασιν, ἐκηδεύθη, συνοικήσασα Ῥαδαμάνθυϊ μετὰ τὴν Ἀμφιτρύωνος τελευτήν. Οἱ δ' ἐν τῇ πόλει Θηβαῖοι, μετὰ τῶν Ἁλιαρτίων συντεταγμένοι, τέως μὲν ἡσύχαζον· ἐπεὶ δὲ τὸν Λύσανδρον ἅμα τοῖς πρώτοις προσπελάζοντα τῷ τείχει κατεῖδον, ἐξαπίνης ἀνοίξαντες τὰς πύλας καὶ προσπεσόντες, αὐτόν τε μετὰ τοῦ μάντεως κατέβαλον, καὶ τῶν ἄλλων ὀλίγους τινάς· οἱ γὰρ πλεῖστοι ταχέως ἀνέφυγον πρὸς τὴν φάλαγγα. Τῶν δὲ Θηβαίων οὐκ ἀνιέντων, ἀλλὰ προσκειμένων αὐτοῖς, ἐτράποντο πάντες ἀνὰ τοὺς λόφους φεύγειν, καὶ χίλιοι πίπτουσιν αὐτῶν. Ἀπέθανον δὲ καὶ Θηβαίων τριακόσιοι, πρὸς τὰ τραχέα και καρτερὰ τοῖς πολεμίοις συνεκπεσόντες. Οὗτοι δὲ ἦσαν ἐν αἰτίᾳ τοῦ λακωνίζειν, ἣν σπουδάζοντες ἀποδύσασθαι τοῖς πολίταις, καὶ σφῶν αὐτῶν ἀφειδοῦντες ἐν τῇ διώξει, παραναλώθησαν.

ΚΘ. Τῷ δὲ Παυσανίᾳ τὸ πάθος ἀγγέλλεται καθ' ὁδὸν ἐκ Πλαταιῶν εἰς Θεσπιὰς πορευομένῳ· καὶ συνταξάμενος ἧκε πρὸς τὸν Ἁλίαρτον. Ἧκε δὲ καὶ Θρασύβουλος ἐκ Θηβῶν, ἄγων τοὺς Ἀθηναίους. Βουλευομένου δὲ τοῦ Παυσανίου τοὺς νεκροὺς ὑποσπόνδους ἀπαιτεῖν, δυσφοροῦντες οἱ πρεσβύτεροι τῶν Σπαρτιατῶν, αὐτοί τε καθ' ἑαυτοὺς ἠγανάκτουν, καὶ τῷ βασιλεῖ προσιόντες, ἐμαρτύραντο μὴ διὰ σπονδῶν ἀναιρεῖσθαι Λύσανδρον, ἀλλὰ δι' ὅπλων περὶ τοῦ σώματος ἀγωνισαμένους, καὶ νικήσαντας, οὕτω τὸν ἄνδρα θάπτειν· ἡττημένοις δὲ, καλὸν ἐνταῦθα κεῖσθαι μετὰ τοῦ στρατηγοῦ. Ταῦτα τῶν πρεσβυτέρων λεγόντων, ὁρῶν ὁ Παυσανίας μέγα μὲν ἔργον ὑπερβαλέσθαι μάχῃ τοὺς Θηβαίους ἄρτι κεκρατηκότας, ἐγγὺς δὲ τῶν τειχῶν τὸ σῶμα τοῦ Λυσάνδρου παραπεπτωκὸς, ὥστε χαλεπὴν ἄνευ σπονδῶν καὶ νικῶσιν εἶναι τὴν ἀναίρεσιν, ἐπέπεμψε κήρυκα, καὶ σπεισά-

μενος ἀπήγαγε τὴν δύναμιν ὀπίσω. Τὸν δὲ Λύσανδρον, ᾗ πρῶτον κομίζοντες ὑπὲρ τοὺς ὅρους ἐγένοντο τῆς Βοιωτίας, ἐν φίλῃ καὶ συμμαχίδι χώρᾳ τῇ Πανοπαίων κατέθεσαν· οὗ νῦν τὸ μνημεῖόν ἐςι, παρὰ τὴν ὁδὸν εἰς Χαιρώνειαν ἐκ Δελφῶν πορευομένοις. Ἐνταῦθα δὴ τῆς ςρατιᾶς καταυλισαμένης, λέγεταί τινα τῶν Φωκέων ἑτέρῳ μὴ παρατυχόντι τὸν ἀγῶνα διηγούμενον εἰπεῖν, ὡς οἱ πολέμιοι προσπέσοιεν αὐτοῖς, τοῦ Λυσάνδρου τὸν Ὁπλίτην ἤδη διαβεβηκότος. Θαυμάσαντος δὲ, Σπαρτιάτην ἄνδρα, τοῦ Λυσάνδρου φίλον, ἐρέσθαι, τίνα λέγει τὸν Ὁπλίτην· οὐ γὰρ εἰδέναι τοὔνομα. Καὶ μὴν ἐκεῖ γε, φάναι, τοὺς πρώτους ἡμῶν οἱ πολέμιοι κατέβαλον. Τὸ γὰρ παρὰ τὴν πόλιν ῥεῖθρον Ὁπλίτην καλοῦσιν. Ἀκούσαντα δὲ τὸν Σπαρτιάτην, ἐκδακρῦσαι, καὶ εἰπεῖν, ὡς ἄφευκτόν ἐστιν ἀνθρώπῳ τὸ πεπρωμένον. Ἦν γὰρ, ὡς ἔοικε, τῷ Λυσάνδρῳ δεδομένος χρησμὸς οὕτως ἔχων·

*Ὁπλίτην κελάδοντα φυλάξασθαί σε κελεύω,*
*Γῆς τε δράκονθ' υἱὸν δόλιον κατόπισθεν ἰόντα.*

Τινὲς δὲ τὸν Ὁπλίτην οὐ πρὸς Ἁλιάρτῳ ῥεῖν, λέγουσιν, ἀλλὰ πρὸς Κορώνειαν χειμάῤῥουν εἶναι, τῷ Φλιάρῳ ποταμῷ συμφερόμενον παρὰ τὴν πόλιν· ὃν πάλαι μὲν Ὁπλίαν, νῦν δὲ Ἰσόμαντον προσαγορεύουσιν. Ὁ δ' ἀποκτείνας τὸν Λύσανδρον Ἁλιάρτιος ἀνὴρ, ὄνομα Νεόχωρος, ἐπίσημον εἶχε τῆς ἀσπίδος δράκοντα· καὶ τοῦτο σημαίνειν ὁ χρησμὸς εἰκάζετο. Λέγεται δὲ καὶ Θηβαίοις ὑπὸ τὸν Πελοποννησιακὸν πόλεμον ἐν Ἰσμηνίῳ γενέσθαι χρησμὸν, ἅμα τήν τε πρὸς Δηλίῳ μάχην, καὶ τὴν πρὸς Ἁλιάρτῳ, ταύτην ἐκείνης ὕστερον ἔτει τριακοστῷ γενομένην, προμηνύοντα. Ἦν δὲ τοιοῦτος·

*Ἐσχατιὰν πεφύλαξο, λύκους καμάκεσσι δοκεύων·*
*Καὶ λόφον Ὀρχαλίδην, ὃν ἀλώπηξ οὔποτε λείπει.*

Τὸν μὲν οὖν περὶ Δήλιον τόπον, ἐσχατιὰν προσεῖπε, καθ' ἣν ἡ Βοιωτία τῇ Ἀττικῇ σύνορος ἐςιν· Ὀρχαλίδην δὲ λόφον, ὃν νῦν Ἀλώπεκον καλοῦσιν, ἐν τοῖς πρὸς τὸν Ἑλικῶνα μέρεσι τοῦ Ἁλιάρτου κείμενον.

Λ. Τοιαύτης δὲ τῷ Λυσάνδρῳ τῆς τελευτῆς γενομένης, παραχρῆμα μὲν οὕτως ἤνεγκαν βαρέως οἱ Σπαρτιᾶται, ὥςε τῷ βασιλεῖ κρίσιν προγράψαι θανατικήν· ἣν οὐχ ὑποςὰς ἐκεῖνος, εἰς Τέγεαν ἔφυγε, κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. Καὶ γὰρ ἡ πενία τοῦ Λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα, φανερωτέραν ἐποίησε τὴν ἀρετὴν, ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως, θεραπείας τε πόλεων καὶ βασιλείας τοιαύτης, μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱςορεῖ Θεόπομπος· ᾧ μᾶλλον ἐπαινοῦντι πιςεύσειεν ἄν τις, ἢ ψέγοντι· ψέγει γὰρ ἥδιον, ἢ ἐπαινεῖ. Χρόνῳ δὲ ὕςερον, Ἔφορός φησιν, ἀντιλογίας τινὸς συμμαχικῆς ἐν Σπάρτῃ γενομένης, καὶ τὰ γράμματα διασκέψασθαι δεῆσαν, ἃ παρ' ἑαυτῷ κατέσχεν ὁ Λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν Ἀγησίλαον. Εὑρόντα δὲ τὸ βιβλίον, ἐν ᾧ γεγραμμένος ἦν ὁ περὶ τῆς πολιτείας λόγος, ὡς χρὴ τῶν Εὐρυτιωντίδων καὶ Ἀγιάδων τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι, καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίςων, ὁρμῆσαι μὲν εἰς τοὺς πολίτας τὸν λόγον ἐξενεγκεῖν, καὶ παραδεικνύναι τὸν Λύσανδρον, οἷος ὢν πολίτης διαλάθοι· Λακρατίδαν δ', ἄνδρα φρόνιμον, καὶ τότε προεςῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου, καὶ εἰπεῖν, ὡς δεῖ μὴ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, οὕτω συντεταγμένον πιθανῶς καὶ πανούργως. Οὐ μὴν ἀλλὰ τάς τ' ἄλλας τιμὰς ἀπέδοσαν αὐτῷ τελευτήσαντι, καὶ τοὺς μνηςευσαμένους τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν τοῦ Λυσάνδρου, πένητος εὑρεθέντος, ἀπειπαμένους, ἐζημίωσαν, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηςὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ἐγκατέλιπον. Ἦν γὰρ, ὡς ἔοικεν, ἐν Σπάρτῃ, καὶ Ἀγαμίου δίκη, καὶ Ὀψιγαμίου, καὶ Κακογαμίου. Ταύτῃ δὲ ὑπῆγον μάλιςα τοὺς ἀντὶ τῶν ἀγαθῶν καὶ οἰκείων τοῖς πλουσίοις κηδεύοντας. Τὰ μὲν οὖν περὶ Λύσανδρον οὕτως ἱστορήσαμεν ἔχοντα.






ΣΥΛΛΑΣ

ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘΗΚΗΣ

Σελ. 127. Τομ. 3

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΦΑΛΤΑΙΤΣ

# ΠΛΟΥΤΑΡΧΟΥ ΣΥΛΛΑΣ.

Λεύκιος δὲ Κορνήλιος Σύλλας γένει μὲν ἦν ἐκ Πατρικίων, οὓς εὐπατρίδας ἄν τις εἴποι. Τῶν δὲ προγόνων αὐτοῦ λέγουσι Ῥουφῖνον ὑπατεῦσαι, καὶ τούτῳ δὲ τῆς τιμῆς ἐπιφανεστέραν γενέσθαι τὴν ἀτιμίαν. Εὑρέθη γὰρ ἀργυρίου κοίλου κεκτημένος ὑπὲρ δέκα λίτρας, τοῦ νόμου μὴ διδόντος· ἐπὶ τούτῳ δὲ τῆς βουλῆς ἐξέπεσεν. Οἱ δὲ μετ' ἐκεῖνον ἤδη ταπεινὰ πράττοντες διετέλεσαν· αὐτός τε Σύλλας ἐν οὐκ ἀφθόνοις ἐτράφη τοῖς πατρῴοις. Γενόμενος δὲ μειράκιον, ᾤκει παρ' ἑτέροις, ἐνοίκιον οὐ πολὺ τελῶν, ὡς ὕςερον ὠνειδίζετο, παρ' ἀξίαν εὐτυχεῖν δοκῶν. Σεμνυνομένῳ μὲν γὰρ αὐτῷ, καὶ μεγαληγοροῦντι μετὰ τὴν ἐν Λιβύῃ ςρατείαν, λέγεταί τις εἰπεῖν τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν· « Καὶ πῶς ἂν εἴης σὺ χρηςὸς, ὃς, τοῦ πατρός σοι μηδὲν καταλιπόντος, τοσαῦτα κέκτησαι; » Καίτοι γὰρ, οὐκ ἔτι τῶν βίων ἐν ἤθεσιν ὀρθίοις καὶ καθαροῖς μενόντων, ἀλλ' ἐγκεκλικότων καὶ παραδεδεγμένων τρυφῆς καὶ πολυτελείας ζῆλον, εἰς ἴσον ὅμως ὄνειδος ἐτίθεντο τοὺς ὑπάρχουσαν εὐπορίαν ἀπολέσαντας, καὶ τοὺς πενίαν πατρῴαν μὴ διαφυλάξαντας. Ὕςερον δ' ἤδη κρατοῦντος αὐτοῦ, καὶ πολλοὺς ἀποκτιννύντος, ἀπελευθερικὸς ἄνθρωπος, δοκῶν κρύπτειν ἕνα τῶν προγεγραμμένων, καὶ κατακρημνίζεσθαι διὰ τοῦτο μέλλων, ὠνείδιζε τὸν Σύλλαν, ὅτι πολὺν χρόνον ἐν μιᾷ συνοικίᾳ συνδιῃτῶντο, φέροντες ἐνοίκιον, αὐτὸς μὲν τῶν ἄνω, δισχιλίους νούμμους, ἐκεῖνος δὲ τῶν ὑποκάτω, τρισχιλίους· ὥςε τῆς τύχης αὐτῶν τὸ μεταξὺ χιλίους νούμμους εἶναι, οἳ πεντήκοντα καὶ διακοσίας δραχμὰς Ἀττικὰς δύνανται. Ταῦτα μὲν οὖν ἱςοροῦσι περὶ τῆς παλαιᾶς τοῦ Σύλλα τύχης.

Β. Τοῦ δὲ σώματος αὐτοῦ τὸ μὲν ἄλλο εἶδος ἐπὶ τῶν ἀν-

δριάντων φαίνεται, τὴν δὲ τῶν ὀμμάτων γλαυκότητα δεινῶς καὶ πικρὰν καὶ ἄκρατον οὖσαν, ἡ χρόα τοῦ προσώπου φοβερωτέραν ἐποίει προσιδεῖν. Ἐξήνθει γὰρ τὸ ἐρύθημα τραχὺ, καὶ σποράδην καταμεμιγμένον τῇ λευκότητι· πρὸς ὃ καὶ τοὔνομα λέγουσι γενέσθαι, τῆς χρόας ἐπίθετον· καὶ τῶν Ἀθήνησι γεφυριστῶν ἐπέσκωψέ τις, εἰς τοῦτο ποιήσας·

Συκάμινον ἔσθ' ὁ Σύλλας ἀλφίτῳ πεπασμένον.

Τοῖς δὲ τοιούτοις τῶν τεκμηρίων οὐκ ἄτοπόν ἐςι χρῆσθαι περὶ ἀνδρὸς, ὃν οὕτω φιλοσκώμμονα φύσει γεγονέναι λέγουσιν, ὥςε νέον μὲν ἔτι καὶ ἄδοξον ὄντα μετὰ μίμων καὶ γελωτοποιῶν διαιτᾶσθαι καὶ συνακολαςαίνειν· ἐπεὶ δὲ κύριος ἁπάντων κατέςη, συνάγοντα τῶν ἀπὸ σκηνῆς καὶ θεάτρου τοὺς ἰταμωτάτους ὁσημέραι πίνειν, καὶ διαπληκτίζεσθαι τοῖς σκώμμασι, τοῦ τε γήρως ἀωρότερα πράττειν δοκοῦντα, καὶ πρὸς τῷ καταισχύνειν τὸ ἀξίωμα τῆς ἀρχῆς, πολλὰ τῶν δεομένων ἐπιμελείας προϊέμενον. Οὐ γὰρ ἦν τῷ Σύλλᾳ περὶ δεῖπνον ὄντι χρήσασθαι πρὸς σπουδαῖον οὐδέν. Ἀλλ' ἐνεργὸς ὢν καὶ σκυθρωπότερος παρὰ τὸν ἄλλον χρόνον, ἀθρόαν ἐλάμβανε μεταβολὴν, ὁπότε πρῶτον ἑαυτὸν εἰς συνουσίαν καταβάλοι καὶ πότον· ὥςε μιμῳδοῖς καὶ ὀρχησταῖς τιθασσὸς εἶναι, καὶ πρὸς πᾶσαν ἔντευξιν ὑποχείριος καὶ κατάντης. Ταύτης δὲ τῆς ἀνέσεως ἔοικε γεγονέναι νόσημα καὶ ἡ πρὸς τοὺς ἔρωτας εὐχέρεια, καὶ ῥύσις αὐτοῦ τῆς φιληδονίας, ἧς οὐδὲ γηράσας ἐπαύσατο. Μητροβίου δὲ τῶν ἀπὸ σκηνῆς τινος ἐρῶν διετέλεσεν ἔτι νέος ὤν· καὶ συνήνθησεν αὐτῷ τὸ τοιοῦτον. Ἀρξάμενος γὰρ ἐρᾷν κοινῆς μὲν, εὐπόρου δὲ γυναικὸς, ὄνομα Νικοπόλεως, καὶ διὰ συνήθειαν καὶ χάριν, ἣν ἀφ' ὥρας εἶχεν, εἰς ἐρωμένου σχῆμα περιελθὼν, ἀπελείφθη κληρονόμος ὑπὸ τῆς ἀνθρώπου τελευτώσης. Ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιὰν, ἀγαπηθεὶς ὥσπερ υἱὸς ὑπ' αὐτῆς· καὶ μετρίως μὲν ἀπὸ τούτων εὐπόρησεν.

Γ.

Γ. Ἀποδειχθεὶς δὲ ταμίας, ὑπατεύοντι Μαρίῳ τὴν πρώτην ὑπατείαν συνεξέπλευσεν εἰς Λιβύην πολεμήσων Ἰουγούρθαν. Γενόμενος δ' ἐπὶ ςρατοπέδου, τά τ' ἄλλα παρεῖχεν ἑαυτὸν εὐδόκιμον, καὶ καιρῷ παραπεσόντι χρησάμενος εὖ, φίλον ἐποιήσατο τὸν Νομάδων βασιλέα Βόκχον. Πρεσβευτὰς γὰρ αὐτοῦ, ληςήριον Νομαδικὸν ἐκφυγόντας, ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς δώροις, καὶ πομπὴν ἀσφαλῆ παρασχὼν, ἀπέςειλεν. Ὁ δὲ Βόκχος ἐτύγχανε μὲν ἔτι γε πάλαι γαμβρὸν ὄντα μισῶν καὶ φοβούμενος τὸν Ἰουγούρθαν· τότε δὲ ἡττημένῳ καὶ πεφευγότι πρὸς αὐτὸν ἐπιβουλεύων, ἐκάλει τὸν Σύλλαν, δι' ἐκείνου μάλιςα βουλόμενος τὴν σύλληψιν καὶ παράδοσιν τοῦ Ἰουγούρθα γενέσθαι, ἢ δι' αὐτοῦ. Κοινωσάμενος δὲ τῷ Μαρίῳ, καὶ λαβὼν ςρατιώτας ὀλίγους ὁ Σύλλας, τὸν μέγιςον ὑπέδυ κίνδυνον, ὅτι βαρβάρῳ καὶ πρὸς τοὺς οἰκειοτάτους ἀπίςῳ πιςεύσας, ὑπὲρ τοῦ παραλαβεῖν ἕτερον, ἑαυτὸν ἐνεχείρισεν. Οὐ μὴν ἀλλὰ ὁ Βόκχος, ἀμφοτέρων κύριος γενόμενος, καὶ καταςήσας ἑαυτὸν εἰς ἀνάγκην τοῦ παρασπονδῆσαι τὸν ἕτερον, καὶ πολλὰ διενεχθεὶς τῇ γνώμῃ, τέλος ἐκύρωσε τὴν πρώτην προδοσίαν, καὶ παρέδωκε τῷ Σύλλᾳ τὸν Ἰουγούρθαν. Ὁ μὲν οὖν θριαμβεύων ἐπὶ τούτῳ, Μάριος ἦν· ἡ δὲ δόξα τοῦ κατορθώματος, ἣν ὁ Μαρίου φθόνος Σύλλᾳ προσετίθει, παρελύπει τὸν Μάριον ἡσυχῇ. Καὶ γὰρ αὐτὸς ὁ Σύλλας, φύσει τε μεγάλαυχος ὢν, καὶ τότε πρῶτον ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἔν τινι λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις, καὶ τοῦ τιμᾶσθαι γευόμενος, εἰς τοῦτο φιλοτιμίας προῆλθεν, ὥςε γλυψάμενος ἐν δακτυλίῳ φορεῖν εἰκόνα τῆς πράξεως· καὶ ταύτῃ γε χρώμενος ἀεὶ διετέλεσεν. Ἦν δ' ἡ γραφὴ, Βόκχος μὲν παραδιδοὺς, Σύλλας δὲ παραλαμβάνων τὸν Ἰουγούρθαν.

Δ. Ἠνία μὲν οὖν ταῦτα τὸν Μάριον· ἔτι δὲ ἡγούμενος ἐλάττονα τοῦ φθονεῖσθαι τὸν Σύλλαν, ἐχρῆτο πρὸς τὰς ςρατείας, τὸ μὲν δεύτερον ὑπατεύων, πρεσβευτῇ, τὸ δὲ τρίτον, χιλιάρχῳ

καὶ πολλὰ δι' ἐκείνου τῶν χρησίμων κατωρθοῦτο. Πρεσβεύων τε γὰρ, ἡγεμόνα Τεκτοσάγων Κόπιλλον εἷλε, καὶ χιλιαρχῶν, μέγα καὶ πολυάνθρωπον ἔθνος Μαρσοὺς ἔπεισε φίλους γενέσθαι καὶ συμμάχους Ῥωμαίων. Ἐκ δὲ τούτων, τὸν Μάριον αἰσθόμενος ἀχθόμενον αὐτῷ, καὶ μηκέτι προϊέμενον ἡδέως πράξεων ἀφορμὰς, ἀλλ' ἐνιστάμενον τῇ αὐξήσει, Κάτλῳ, τῷ συνάρχοντι τοῦ Μαρίου, προσένειμεν ἑαυτὸν, ἀνδρὶ χρηστῷ μὲν, ἀμβλυτέρῳ δὲ πρὸς ἀγῶνας. Ὑφ' οὗ τὰ πρῶτα καὶ μέγιστα πιστευόμενος, εἰς δύναμιν ἅμα δόξῃ προήει. Καὶ πολέμῳ μὲν αἱρεῖ πολὺ μέρος τῶν ἐν ταῖς Ἄλπεσι βαρβάρων· ἐπιλιπούσης δὲ τῆς ἀγορᾶς, ἀναδεξάμενος τὴν ἐπιμέλειαν, τοσαύτην ἐποίησε περιουσίαν, ὥστε τῶν Κάτλου στρατιωτῶν ἐν ἀφθόνοις διαγόντων, καὶ τοῖς Μαρίου προσπαρασχεῖν. Ἐφ' ᾧ φησὶν αὐτὸς ἰσχυρῶς ἀνιάσαι τὸν Μάριον. Ἡ μὲν οὖν ἔχθρα βραχεῖαν οὕτω καὶ μειρακιώδη λαβοῦσα τὴν πρώτην ὑπόθεσιν καὶ ἀρχὴν, εἶτα χωροῦσα δι' αἵματος ἐμφυλίου, καὶ στάσεων ἀνηκέστων, ἐπὶ τυραννίδα καὶ σύγχυσιν ἁπάντων πραγμάτων, ἀπέδειξε τὸν Εὐριπίδην σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοσημάτων, διακελευσάμενον φυλάττεσθαι τὴν φιλοτιμίαν, ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις.

Ε. Ὁ δὲ Σύλλας, οἰόμενος αὐτῷ τὴν ἀπὸ τῶν πολεμικῶν δόξαν ἐπὶ τὰς πολιτικὰς πράξεις διαρκεῖν, καὶ δοὺς ἑαυτὸν ἀπὸ τῆς στρατείας εὐθὺς ἐπὶ τὴν τοῦ δήμου πρᾶξιν, ἐπὶ στρατηγίαν πολιτικὴν ἀπεγράψατο, καὶ διεψεύσθη· τὴν δ' αἰτίαν τοῖς ὄχλοις ἀνατίθησι. Φησὶ γὰρ αὐτοὺς εἰδότας τὴν πρὸς Βόκχον φιλίαν, καὶ προσδεχομένους, εἰ πρὸ τῆς στρατηγίας ἀγορανομήσει, κυνηγέσια λαμπρὰ, καὶ Λιβυκῶν ἀγῶνας θηρίων, ἑτέρους ἀποδεῖξαι στρατηγοὺς, ὡς αὐτὸν ἀγορανομεῖν ἀναγκάσοντας. Ἔοικε δὲ τὴν ἀληθῆ τῆς ἀποτεύξεως αἰτίαν οὐχ ὁμολογῶν ὁ Σύλλας ἐλέγχεσθαι τοῖς πράγμασιν. Ἐνιαυτῷ γὰρ κατόπιν ἔτυχε τῆς στρατηγίας, τοῦ δήμου τὸ μέν τι θεραπείᾳ, τὸ δὲ καὶ χρήμασι

προσαγαγόμενος. Δι' ὃ δὴ καὶ ϛρατηγοῦντος αὐτοῦ, καὶ πρὸς Καίσαρα μετ' ὀργῆς εἰπόντος, ὡς χρήσεται τῇ ἰδίᾳ πρὸς αὐτὸν ἐξουσίᾳ, γελάσας ὁ Καῖσαρ· « Ὀρθῶς (ἔφη) τὴν ἀρχὴν ἰδίαν νομίζεις· ἔχεις γὰρ αὐτὴν πριάμενος. » Μετὰ δὲ τὴν ϛρατηγίαν εἰς τὴν Καππαδοκίαν ἀποϛέλλεται, τὸν μὲν ἐμφανῆ λόγον ἔχων πρὸς τὴν ϛρατείαν, Ἀριοβαρζάνην καταγαγεῖν· αἰτίαν δ' ἀληθῆ, Μιθριδάτην ἐπισχεῖν πολυπραγμονοῦντα, καὶ περιβαλλόμενον ἀρχὴν καὶ δύναμιν οὐκ ἐλάττονα τῆς ὑπαρχούσης. Ἰδίαν μὲν οὖν δύναμιν οὐ πολλὴν ἐπήγετο, χρησάμενος δὲ τοῖς συμμάχοις προθύμοις, καὶ πολλοὺς μὲν αὐτῶν Καππαδοκῶν, πλείονας δ' αὖθις Ἀρμενίων προσβοηθοῦντας ἀποκτείνας, Γόρδιον μὲν ἐξήλασεν, Ἀριοβαρζάνην δ' ἀπέδειξε βασιλέα. Διατρίβοντι δ' αὐτῷ παρὰ τὸν Εὐφράτην, ἐντυγχάνει Πάρθος Ὀρόβαζος, Ἀρσάκου βασιλέως πρεσβευτὴς, οὔπω πρότερον ἀλλήλοις ἐπιμεμιγμένων τῶν γενῶν· ἀλλὰ καὶ τοῦτο τῆς μεγάλης δοκεῖ Σύλλα τύχης γενέσθαι, τὸ πρώτῳ Ῥωμαίων ἐκείνῳ Πάρθους συμμαχίας καὶ φιλίας δεομένους διὰ λόγων ἐλθεῖν. Ὅτε καὶ λέγεται τρεῖς δίφρους προθέμενος, τὸν μὲν Ἀριοβαρζάνῃ, τὸν δ' Ὀροβάζῳ, τὸν δ' αὐτῷ, μέσος ἀμφοῖν καθεζόμενος χρηματίζειν. Ἐφ' ᾧ τὸν μὲν Ὀρόβαζον ὕϛερον ὁ τῶν Πάρθων βασιλεὺς ἀπέκτεινε· τὸν δὲ Σύλλαν οἱ μὲν ἐπήνεσαν, ἐντρυφήσαντα τοῖς βαρβάροις, οἱ δὲ ὡς φορτικὸν ᾐτιάσαντο, καὶ ἀκαίρως φιλότιμον. Ἱϛορεῖται δέ τις ἀνὴρ τῶν μετ' Ὀροβάζου καταβεβηκότων, Χαλδαῖος, εἰς τὸ τοῦ Σύλλα πρόσωπον ἀπιδὼν, καὶ ταῖς κινήσεσι τῆς τε διανοίας καὶ τοῦ σώματος οὐ παρέργως ἐπιϛήσας, ἀλλὰ πρὸς τὰς τῆς τέχνης ὑποθέσεις τὴν φύσιν ἐπισκεψάμενος, εἰπεῖν, ὡς ἀναγκαῖον εἴη τοῦτον τὸν ἄνδρα μέγιϛον γενέσθαι· θαυμάζειν δὲ καὶ νῦν πῶς ἀνέχεται μὴ πρῶτος ὢν ἁπάντων. Ἀναχωρήσαντι δ' αὐτῷ δίκην ἔλαχε δώρων Κηνσωρῖνος, ὡς πολλὰ χρήματα συνειλοχότι παρὰ τὸν νόμον ἐκ φίλης καὶ συμμάχου βασιλείας.

Οὐ μὴν ἀπήντησεν ἐπὶ τὴν κρίσιν, ἀλλ' ἀπέστη τῆς κατηγορίας.

ϛ. Ἡ μέντοι πρὸς Μάριον αὐτῷ στάσις ἀνεῤῥιπίζετο, καινὴν ὑπόθεσιν λαβοῦσα τὴν Βόκχου φιλοτιμίαν, ὃς τὸν δῆμον ἅμα θεραπεύων ἐν Ῥώμῃ, καὶ τῷ Σύλλᾳ χαριζόμενος, ἀνέθηκεν εἰκόνας ἐν Καπιτωλίῳ τροπαιοφόρους, καὶ παρ' αὐτὰς χρυσοῦν Ἰουγούρθαν ὑφ' ἑαυτοῦ Σύλλᾳ παραδιδόμενον. Ἐφ' ᾧ τοῦ Μαρίου βαρυθυμουμένου καὶ καθαιρεῖν ἐπιχειροῦντος, ἑτέρων δ' ἀμύνειν τῷ Σύλλᾳ, καὶ τῆς πόλεως ὅσον οὔπω διακεκαυμένης ὑπ' ἀμφοῖν, ὁ συμμαχικὸς πόλεμος, πάλαι τυφόμενος, ἐπὶ τὴν πόλιν ἀναλάμψας τότε τὴν στάσιν ἐπέσχεν. Ἐν τούτῳ, μεγίστῳ καὶ ποικιλωτάτῳ γενομένῳ, καὶ πλεῖστα κακὰ καὶ βαρυτάτους παρασχόντι κινδύνους Ῥωμαίοις, Μάριος μὲν οὐδὲν ἀποδεῖξαι μέγα δυνηθεὶς, ἤλεγχε τὴν πολεμικὴν ἀρετὴν ἀκμῆς καὶ ῥώμης δεομένην· Σύλλας δὲ, πολλὰ δράσας ἄξια λόγου, δόξαν ἔσχεν ἡγεμόνος μεγάλου μὲν παρὰ τοῖς πολίταις, μεγίστου δὲ παρὰ τοῖς φίλοις, εὐτυχεστάτου δὲ καὶ παρὰ τοῖς ἐχθροῖς. Ἀλλ' οὐκ ἔπαθε ταὐτὸ Τιμοθέῳ τῷ τοῦ Κόνωνος, ὃς, εἰς τὴν τύχην αὐτοῦ τὰ κατορθώματα τῶν ἐχθρῶν τιθεμένων, καὶ γραφόντων ἐν πίναξι κοιμώμενον ἐκεῖνον, τὴν δὲ τύχην δικτύῳ τὰς πόλεις περιβάλλουσαν, ἀγροικιζόμενος καὶ χαλεπαίνων πρὸς τοὺς ταῦτα ποιοῦντας, ὡς ἀποστερούμενος ὑπ' αὐτῶν τῆς ἐπὶ ταῖς πράξεσι δόξης, ἔφη ποτὲ πρὸς τὸν δῆμον ἐπανήκων ἐκ στρατείας, εὖ κεχωρηκέναι δοκούσης «Ἀλλὰ ταύτης γε τῆς στρατείας οὐδὲν, Ἀθηναῖοι ἄνδρες, τῇ τύχῃ μέτεστι.» Πρὸς Τιμόθεον μὲν οὖν φασιν, οὕτω φανέντα φιλότιμον, ἀντιμειρακιεύεσθαι τὸ δαιμόνιον, ὥστε μηδὲν ἔτι πρᾶξαι λαμπρὸν, ἀλλ' ὅλως ἀποτυγχάνοντα ταῖς πράξεσι, καὶ προσκρούοντα τῷ δήμῳ, τέλος ἐκπεσεῖν τῆς πόλεως. Σύλλας δ', οὐ μόνον ἡδέως προσιέμενος τὸν τοιοῦτον εὐδαιμονισμὸν καὶ ζῆλον, ἀλλὰ καὶ συναύξων καὶ συνεπιθειάζων τὰ πραττόμενα, τῆς τύχης ἐξῆπτεν, εἴτε κόμπῳ χρώμενος, εἴθ'

οὕτως ἔχων τῇ δόξῃ πρὸς τὸ θεῖον. Καὶ γὰρ ἐν τοῖς ὑπομνήμασι γέγραφεν, ὅτι τῶν καλῶς αὐτῷ βεβουλεῦσθαι δοκούντων αἱ μὴ κατὰ γνώμην, ἀλλὰ πρὸς καιρὸν ἀποτολμώμεναι πράξεις ἔπιπτον εἰς ἄμεινον. Ἔτι δὲ καὶ δἰ ὧν φησι, πρὸς τύχην εὖ πεφυκέναι μᾶλλον, ἢ πρὸς πόλεμον, τῇ τύχῃ τῆς ἀρετῆς πλέον ἔοικε νέμειν. Καὶ ὅλως ἔοικεν ἑαυτὸν τοῦ δαίμονος ποιεῖν, ὅς γε καὶ τῆς πρὸς Μέτελλον ὁμονοίας, ἰσότιμον ἄνδρα καὶ κηδεστὴν, εὐτυχίαν τινὰ θείαν αἰτιᾶται· πολλὰ γὰρ αὐτῷ πράγματα παρέξειν ἐπίδοξον ὄντα, πρᾳότατον ἐν τῇ κοινωνίᾳ γενέσθαι τῆς ἀρχῆς. Ἔτι δὲ Λευκούλλῳ μὲν ἐν τοῖς ὑπομνήμασιν, ὧν ἐκείνῳ τὴν γραφὴν ἀνατέθεικε, παραινεῖ μηδὲν οὕτως ἡγεῖσθαι βέβαιον, ὡς ὅ τι ἂν αὐτῷ προστάξῃ νύκτωρ τὸ δαιμόνιον. Ἐκπεμπομένου δ' αὐτοῦ μετὰ δυνάμεως εἰς τὸν συμμαχικὸν πόλεμον, ἱςορεῖ χάσμα τῆς γῆς μέγα γενέσθαι περὶ Λαβέρνιν· ἐκ δὲ τούτου πῦρ ἀναβλῦσαι πολὺ, καὶ φλόγα λαμπρὰν στηρίξαι πρὸς τὸν οὐρανόν. Εἰπεῖν δὴ τοὺς μάντεις, ὡς ἀνὴρ ἀγαθὸς, ὄψει διάφορος καὶ περιττὸς, ἄρξας ἀπαλλάξει τῇ πόλει ταραχὰς τὰς παρούσας. Τοῦτον δὲ αὐτὸν εἶναί φησιν ὁ Σύλλας· τῆς μὲν γὰρ ὄψεως ἴδιον εἶναι τὸ περὶ τὴν κόμην χρυσωπὸν, ἀρετὴν δ' οὐκ αἰσχύνεσθαι μαρτυρῶν ἑαυτῷ, μετὰ πράξεις οὕτω καλὰς καὶ μεγάλας. Ταῦτα μὲν οὖν περὶ τῆς θειότητος. Τὸν δ' ἄλλον τρόπον ἀνώμαλός τις ἔοικε γεγονέναι καὶ διάφορος πρὸς ἑαυτὸν, ἀφελέσθαι πολλὰ, χαρίσασθαι πλείονα, τιμῆσαι παραλόγως, παραλόγως ἐφυβρίσαι, θεραπεύειν ὧν δέοιτο, θρύπτεσθαι πρὸς τοὺς δεομένους· ὥς' ἀγνοεῖσθαι, πότερον ὑπερόπτης φύσει μᾶλλον, ἢ κόλαξ γέγονε. Τὴν μὲν γὰρ ἐν ταῖς τιμωρίαις ἀνωμαλίαν, ἐξ ὧν ἔτυχεν αἰτιῶν, ἀποτυμπανίζοντος αὐτοῦ, καὶ πάλιν τὰ μέγιςα τῶν ἀδικημάτων πρᾴως φέροντος, καὶ διαλλαττομένου μὲν ἐπὶ τοῖς ἀνηκέςοις μετ' εὐκολίας, τὰ δὲ μικρὰ καὶ φαῦλα προσκρούματα σφαγαῖς καὶ δημεύσεσιν οὐσιῶν

μετιόντος, οὕτως ἄν τις διαιτήσειεν, ὡς φύσει μὲν ὀργὴν χαλεπὸν ὄντα καὶ τιμωρητικὸν, ὑφιέμενον δὲ τῆς πικρίας λογισμῷ πρὸς τὸ συμφέρον. Ἐν αὐτῷ γε τούτῳ τῷ συμμαχικῷ πολέμῳ, τῶν στρατιωτῶν αὐτοῦ ϛρατηγικὸν ἄνδρα πρεσβευτὴν, Ἀλβῖνον ὄνομα, ξύλοις καὶ λίθοις διαχρησαμένων, παρῆλθε, καὶ οὐκ ἐπεξῆλθεν ἀδίκημα τοσοῦτον· ἀλλὰ καὶ σεμνυνόμενος διεδίδου λόγον, ὡς προθυμοτέροις διὰ τοῦτο χρήσαιτο πρὸς τὸν πόλεμον αὐτοῖς, ἰωμένοις τὸ ἁμάρτημα δι' ἀνδραγαθίας. Τῶν δ' ἐγκαλούντων οὐδὲν ἐφρόντιζεν, ἀλλ' ἤδη καταλῦσαι Μάριον διανοούμενος, καὶ τοῦ πρὸς τοὺς συμμάχους πολέμου τέλος ἔχειν δοκοῦντος, ἀποδειχθῆναι ϛρατηγὸς ἐπὶ Μιθριδάτην, ἐθεράπευε τὴν ὑφ' ἑαυτῷ ϛρατιὰν, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὕπατος μὲν ἀποδείκνυται μετὰ Κοΐντου Πομπηΐου, πεντήκοντα ἔτη γεγονώς. Γαμεῖ δὲ γάμον ἐνδοξότατον, Καικιλίαν τὴν Μετέλλου θυγατέρα τοῦ ἀρχιερέως. Ἐφ' ᾧ πολλὰ μὲν εἰς αὐτὸν ᾖδον οἱ δημοτικοὶ, πολλοὶ δὲ τῶν πρώτων ἐνεμέσων, οὐκ ἄξιον ἡγούμενοι τῆς γυναικὸς, ὃν ἄξιον ὑπατείας ἔκριναν, ὥς φησιν ὁ Τίτος. Οὐ μόνον δὲ ταύτην ἔγημεν· ἀλλὰ πρώτην μὲν, ἔτι μειράκιον ὢν, Ἰλίαν ἔσχε, τὴν καὶ θυγάτριον αὐτῷ τεκοῦσαν· εἶτα μετ' ἐκείνην, Αἰλίαν· τρίτην δὲ, Κοιλίαν, ἣν ἀπεπέμψατο μὲν ὡς ϛεῖραν, ἐντίμως δὲ καὶ μετ' εὐφημίας, καὶ δῶρα προσθείς. Ὀλίγαις δὲ ὕϛερον ἡμέραις ἀγαγόμενος τὴν Μετέλλαν, ἔδοξε διὰ τοῦτο τὴν Κοιλίαν οὐ καλῶς αἰτιάσασθαι. Τὴν μέντοι Μετέλλαν ἐν πᾶσι θεραπεύων διετέλεσε, ὥϛε καὶ τῶν Ῥωμαίων δῆμον, ὅτε τοὺς περὶ Μάριον φυγάδας ἐπεθύμει καταγαγεῖν, ἀρνουμένου τοῦ Σύλλα, δεόμενον ἐπιβοήσασθαι τὴν Μετέλλαν. Ἐδόκει δὲ καὶ τοῖς Ἀθηναίοις, ἑλὼν τὸ ἄϛυ, προσενεχθῆναι τραχύτερον, ὅτι τὴν Μετέλλαν ἀπὸ τοῦ τείχους γεφυρίζοντες ἐλοιδόρησαν. Ἀλλὰ ταῦτα μὲν ὕϛερον.

Ζ. Τότε δὲ τὴν ὑπατείαν πρὸς τὰ μέλλοντα μικρὸν ἡγού-

μενος, ἐπτόητο τὴν γνώμην πρὸς τὸν Μιθριδατικὸν πόλεμον. Ἀντανίστατο δ' αὐτῷ Μάριος, ὑπὸ δοξομανίας καὶ φιλοτιμίας, ἀγηράτων παθῶν, ἀνὴρ τῷ τε σώματι βαρὺς, καὶ ταῖς ἔναγχος ἀπειρηκὼς ϛρατείαις διὰ γῆρας, ἐκδήμων καὶ διαποντίων πολέμων ἐφιέμενος. Καὶ τοῦ Σύλλα πρὸς τὰς ἐπιλιπεῖς πράξεις ὁρμήσαντος εἰς τὸ ϛρατόπεδον, αὐτὸς οἰκουρῶν ἐτεκταίνετο τὴν ὀλεθριωτάτην ἐκείνην, καὶ ὅσα σύμπαντες οἱ πολέμιοι τὴν Ῥώμην οὐκ ἔβλαψαν, ἀπεργασαμένην ϛάσιν, ὡς καὶ τὸ δαιμόνιον αὐτοῖς προεσήμηνε. Πῦρ μὲν γὰρ αὐτόματον ἐκ τῶν τὰ σημεῖα δοράτων ὑποφερόντων ἀνέλαμψε, καὶ κατεσβέσθη μόλις. Κόρακες δὲ τρεῖς τοὺς νεοσσοὺς προαγαγόντες εἰς τὴν ὁδὸν κατέφαγον, τὰ δὲ λείψανα πάλιν εἰς τὴν νεοσσιὰν ἀνήνεγκαν. Καὶ μυῶν δ' ἐν ἱερῷ χρυσὸν ἀνακείμενον διαφαγόντων, μίαν οἱ ζάκοροι πάγῃ θήλειαν λαμβάνουσιν. Ἡ δ' ἐν αὐτῇ τῇ πάγῃ τεκοῦσα πέντε, κατέφαγε τὰ τρία. Τὸ δὲ πάντων μέγιϛον, ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέχοντος ἤχησε φωνὴ σάλπιγγος, ὀξὺν ἀποτείνουσα καὶ θρηνώδη φθόγγον, ὥϛε πάντας ἔκφρονας γενέσθαι, καὶ καταπτῆξαι τὸ μέγεθος. Τυῤῥηνῶν δ' οἱ λόγιοι μεταβολὴν ἑτέρου γένους ἀπεφαίνοντο, καὶ μετακόσμησιν ἀποσημαίνειν τὸ τέρας. Εἶναι μὲν γὰρ ὀκτὼ τὰ σύμπαντα γένη διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσι *δὶ* ἀλλήλων, ἑκάϛῳ δ' ἀφωρίσθαι χρόνων ἀριθμὸν, ὑπὸ τοῦ θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. Καὶ ὅταν αὕτη σχῇ τέλος, ἑτέρας ἐνισταμένης, κινεῖσθαί τι σημεῖον ἐκ γῆς, ἢ οὐρανοῦ, θαυμάσιον· ὡς δῆλον εἶναι τοῖς πεφροντικόσι τὰ τοιαῦτα καὶ μεμαθηκόσιν εὐθὺς, ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι, καὶ θεοῖς ἧττον ἢ μᾶλλον τῶν προτέρων μέλοντες. Τά τε γὰρ ἄλλα φασὶν ἐν τῇ τῶν γενῶν ἀμείψει λαμβάνειν μεγάλας καινοτομίας, καὶ τὴν μαντικὴν ποτὲ μὲν αὔξεσθαι τῇ τιμῇ, καὶ κατατυγχάνειν ταῖς προαγορεύσεσι, καθαρὰ καὶ φανερὰ σημεῖα

τοῦ δαιμονίου προπέμποντος, αὖθις δ' ἐν ἑτέρῳ γένει ταπεινὰ πράττειν, αὐτοσχέδιον οὖσαν τὰ πολλὰ, καὶ δι' ἀμυδρῶν καὶ σκοτεινῶν ὀργάνων τοῦ μέλλοντος ἁπτομένην. Ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυῤῥηνῶν, καὶ πλέον τι τῶν ἄλλων εἰδέναι δοκοῦντες, ἐμυθολόγουν. Τῆς δὲ συγκλήτου τοῖς μάντεσι περὶ τούτων σχολαζούσης, καὶ καθημένης ἐν τῷ ναῷ τῆς Ἐνυοῦς, στρουθὸς εἰσέπτη πάντων ὁρώντων, τέττιγα φέρων τῷ ςόματι, καὶ τὸ μὲν ἐκβαλὼν μέρος αὐτοῦ κατέλιπε, τὸ δ' ἔχων ἀπῆλθεν. Ὑφεωρῶντο δὴ ςάσιν οἱ τερατοσκόποι, καὶ διαφορὰν τῶν κτηματικῶν πρὸς τὸν ἀςικὸν ὄχλον καὶ ἀγοραῖον· φωνάεντα γὰρ τοῦτον εἶναι, καθάπερ τέττιγα· τοὺς δὲ χωρίτας, ἀρουραίους.

Η. Μάριος δὴ παραλαμβάνει δημαρχοῦντα Σουλπίκιον, ἄνθρωπον οὐδενὸς δεύτερον ἐν ταῖς ἄκραις κακίαις· ὥςε μὴ ζητεῖν, τίνος ἐςὶν ἑτέρου μοχθηρότερος, ἀλλὰ πρὸς τί μοχθηρότατος ἑαυτοῦ. Καὶ γὰρ ὠμότης καὶ τόλμα καὶ πλεονεξία περὶ αὐτὸν ἦν ἀπερίσκεπτος αἰσχροῦ καὶ παντὸς κακοῦ· ὅς γε τὴν Ῥωμαίων πολιτείαν ἐξελευθερικοῖς καὶ μετοίκοις πωλῶν ἀναφανδὸν, ἠρίθμει τιμὴν διὰ τραπέζης ἐν ἀγορᾷ κειμένης. Ἔτρεφε δὲ καὶ τρισχιλίους μαχαιροφόρους, καὶ πλῆθος ἱππικῶν νεανίσκων πρὸς ἅπαν ἑτοίμων περὶ αὐτὸν εἶχεν, οὓς Ἀντισύγκλητον ὠνόμαζε. Νόμον δὲ κυρώσας, μηδένα συγκλητικὸν ὑπὲρ δισχιλίας δραχμὰς ὀφείλειν, αὐτὸν ἀπέλιπε μετὰ τὴν τελευτὴν ὀφλήματος μυριάδας τριακοσίας. Οὗτος εἰς τὸν δῆμον ἀφεθεὶς ὑπὸ τοῦ Μαρίου, καὶ συνταράξας πάντα τὰ πράγματα, βίᾳ καὶ σιδήρῳ νόμους ἔγραφεν, ἄλλους τε μοχθηροὺς, καὶ τὸν διδόντα Μαρίῳ τοῦ Μιθριδατικοῦ πολέμου τὴν ἡγεμονίαν. Ἀπραξίας δὲ διὰ ταῦτα τῶν ὑπάτων ψηφισαμένων, ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσι περὶ τὸν νεὼν τῶν Διοσκούρων ὄχλον, ἄλλους τε πολλοὺς καὶ τὸ Πομπηΐου τοῦ ὑπάτου μειράκιον ἐπὶ τῆς ἀγορᾶς ἀνεῖλεν· αὐτὸς δὲ Πομπήϊος λαθὼν ἐξέφυγε. Σύλλας δ' εἰς τὴν οἰκίαν

τοῦ Μαρίου συνδιωχθεὶς, ἠναγκάσθη προελθὼν τὰς ἀπραξίας λῦσαι· καὶ διὰ τοῦτο τὸν Πομπήϊον ἐπάρχοντα παύσας ὁ Σουλπίκιος, οὐκ ἀφείλετο τοῦ Σύλλα τὴν ὑπατείαν, ἀλλὰ τὴν ἐπὶ Μιθριδάτην ϛρατείαν μόνον εἰς Μάριον μετήνεγκε· καὶ πέμπει χιλιάρχους εὐθὺς εἰς Νῶλαν, παραληψομένους τὸ ϛράτευμα, καὶ πρὸς τὸν Μάριον ἄξοντας.

Θ. Φθάσαντος δὲ τοῦ Σύλλα διαφυγεῖν εἰς τὸ στρατόπεδον, καὶ τῶν στρατιωτῶν, ὡς ἐπύθοντο ταῦτα, καταλευσάντων τοὺς χιλιάρχους, οἱ περὶ τὸν Μάριον αὖθις ἐν τῇ πόλει τοὺς Σύλλα φίλους ἀνῄρουν, καὶ χρήματα διήρπαζον αὐτῶν. Ἦσαν δὲ μεταϛάσεις καὶ φυγαὶ, τῶν μὲν εἰς πόλιν ἀπὸ ϛρατοπέδου, τῶν δ᾽ ἐκεῖσε διαφοιτώντων ἐκ τῆς πόλεως. Ἡ δὲ σύγκλητος ἦν μὲν οὐχ αὑτῆς, ἀλλὰ τοῖς Μαρίου καὶ Σουλπικίου διῳκεῖτο προστάγμασι· πυθομένη δὲ τὸν Σύλλαν ἐπὶ τὴν πόλιν ἐλαύνειν, ἔπεμψε δύο τῶν στρατηγῶν, Βροῦτον καὶ Σερουΐλιον, ἀπαγορεύσοντας αὐτῷ βαδίζειν. Τούτους θρασύτερον Σύλλᾳ διαλεχθέντας ὥρμησαν μὲν ἀνελεῖν οἱ στρατιῶται, τὰς δὲ ῥάβδους κατέκλασαν, καὶ τὰς περιπορφύρους ἀφείλοντο, καὶ πολλὰ περιυβρισμένους ἀπέπεμψαν, αὐτόθεν τε δεινὴν κατήφειαν, ὁρωμένους τῶν στρατηγικῶν παρασήμων ἐρήμους, καὶ τὴν στάσιν οὐκέτι καθεκτὴν, ἀλλ᾽ ἀνήκεστον ἀπαγγέλλοντας. Οἱ μὲν οὖν περὶ τὸν Μάριον ἐν παρασκευαῖς ἦσαν· ὁ δὲ Σύλλας ἄγων ἓξ τάγματα τέλεια μετὰ τοῦ συνάρχοντος ἀπὸ Νώλης ἐκίνει, τὸν μὲν στρατὸν ὁρῶν πρόθυμον ὄντα χωρεῖν εὐθὺς ἐπὶ τὴν πόλιν, ἐνδοιάζων δὲ τῇ γνώμῃ παρ᾽ ἑαυτῷ, καὶ δεδοικὼς τὸν κίνδυνον. Ὁ δὲ μάντις Ποστούμιος, θύσαντος αὐτοῦ, καταμαθὼν τὰ σημεῖα, καὶ τὰς χεῖρας ἀμφοτέρας τῷ Σύλλᾳ προτείνας, ἠξίου δεθῆναι καὶ φυλάττεσθαι μέχρι τῆς μάχης, ὡς, εἰ μὴ πάντα ταχὺ καὶ καλῶς συντελεσθείη, τὴν ἐσχάτην δίκην ὑποσχεῖν βουλόμενος. Λέγεται δὲ καὶ κατὰ τοὺς ὕπνους αὐτῷ Σύλλᾳ φανῆναι θεὸν,

ἣν τιμῶσι Ῥωμαῖοι, παρὰ Καππαδοκῶν μαθόντες, εἴτε δὴ Σελήνην οὖσαν, εἴτ' Ἀθηνᾶν, εἴτ' Ἐνυώ. Ταύτην ὁ Σύλλας ἔδοξεν ἐπιστᾶσαν ἐγχειρίσαι κεραυνὸν αὐτῷ, καὶ τῶν ἐχθρῶν ἕκαστον ὀνομάζουσαν τῶν ἐκείνου, βάλλειν κελεῦσαι· τοὺς δὲ πίπτειν βαλλομένους, καὶ ἀφανίζεσθαι. Θαρσήσας δὲ τῇ ὄψει, καὶ φράσας τῷ συνάρχοντι, μεθ' ἡμέραν ἐπὶ τὴν Ῥώμην ἡγεῖτο. Καὶ περὶ Πικτὰς αὐτῷ πρεσβείας ἐντυχούσης, καὶ δεομένης μὴ βαδίζειν εὐθὺς ἐξ ἐφόδου, πάντα γὰρ ἔσεσθαι τὰ δίκαια, τῆς βουλῆς ψηφισαμένης, ὡμολόγησε μὲν αὐτοῦ καταστρατοπεδεύσειν, καὶ διαμετρεῖν ἐκέλευε χώρας, ὥσπερ εἰώθει, τῷ στρατοπέδῳ τοὺς ἡγεμόνας· ὥστε τοὺς πρέσβεις ἀπελθεῖν πιστεύσαντας. Ἐκείνων δ' ἀπελθόντων, εὐθὺς ἐκπέμψας Λεύκιον Βάσιλλον καὶ Γάϊον Μόμμιον, καταλαμβάνει τὴν πύλην δι' αὐτῶν, καὶ τὰ τείχη τὰ περὶ τὸν λόφον τὸν Αἰσκυλῖνον· εἶτ' αὐτὸς ἁπάσῃ σπουδῇ συνῆπτε. Τῶν δὲ περὶ τὸν Βάσιλλον εἰς τὴν πόλιν ἐμπεσόντων καὶ κρατούντων, ὁ πολὺς καὶ ἄνοπλος δῆμος ἀπὸ τῶν τεγῶν κεράμῳ καὶ λίθῳ βάλλοντες ἐπέσχον αὐτοὺς τοῦ πρόσω χωρεῖν, καὶ συνέσειλαν εἰς τὸ τεῖχος. Ἐν τούτῳ δὲ ὁ Σύλλας παρῆν ἤδη καὶ συνιδὼν τὸ γινόμενον, ἐβόα τὰς οἰκίας ὑφάπτειν, καὶ λαβὼν δᾷδα καιομένην, ἐχώρει πρῶτος αὐτὸς, καὶ τοὺς τοξότας ἐκέλευε χρῆσθαι τοῖς πυροβόλοις ἄνω τῶν στεγασμάτων ἐφιεμένους· κατ' οὐδένα λογισμὸν, ἀλλ' ἐμπαθὴς ὢν, καὶ τῷ θυμῷ παραδεδωκὼς τὴν τῶν πρασσομένων ἡγεμονίαν, ὅς γε τοὺς ἐχθροὺς μόνον ἑώρα, φίλους δὲ καὶ συγγενεῖς καὶ οἰκείους εἰς οὐδένα λόγον θέμενος, οὐδ' οἶκτον, κατῄει διὰ πυρὸς, ᾧ τῶν αἰτίων, καὶ μὴ, διάγνωσις οὐκ ἦν. Τούτων δὲ γενομένων, ὁ Μάριος ἐξωσθεὶς πρὸς τὸ τῆς Γῆς ἱερὸν, ἐκάλει διὰ κηρύγματος ἐπ' ἐλευθερίᾳ τὸ οἰκετικόν· ἐπελθόντων δὲ τῶν πολεμίων κρατηθεὶς, ἐξέπεσε τῆς πόλεως.

I. Σύλλας δὲ τὴν βουλὴν συναγαγὼν, καταψηφίζεται θάνα-

τον αὐτοῦ τε Μαρίου καὶ ὀλίγων ἄλλων, ἐν οἷς Σουλπίκιος ἦν ὁ δήμαρχος. Ἀλλὰ Σουλπίκιος μὲν ἀπεσφάγη, προδοθεὶς ὑπὸ θεράποντος, ὃν ὁ Σύλλας ἠλευθέρωσεν, εἶτα κατεκρήμνισε. Μαρίῳ δ' ἐπεκήρυξεν ἀργύριον, οὐκ εὐγνωμόνως, οὐδὲ πολιτικῶς, ᾧ γε μικρὸν ἔμπροσθεν ὑποχείριον εἰς τὴν οἰκίαν δοὺς ἑαυτὸν, ἀσφαλῶς ἀφείθη. Καίτοι Μαρίῳ τότε, μὴ διέντι Σύλλαν, ἀλλ' ἀποθανεῖν ὑπὸ Σουλπικίου προεμένῳ, πάντων κρατεῖν ὑπῆρχεν, ἀλλ' ὅμως ἐφείσατο· καὶ μεθ' ἡμέρας ὀλίγας τὴν αὐτὴν λαβὴν παρασχὼν, οὐκ ἔτυχε τῶν ὁμοίων. Ἐφ' οἷς ὁ Σύλλας τὴν μὲν σύγκλητον ἀδήλως ἠνίασεν· ἡ δὲ παρὰ τοῦ δήμου δυσμένεια καὶ νέμεσις αὐτῷ φανερὰ δι' ἔργων ἀπήντα. Νώνιον μέν γε τὸν ἀδελφιδοῦν δι' αὐτοῦ καὶ Σερουΐον ἀρχὰς μετιόντας ἀποψηφισάμενοι καὶ καθυβρίσαντες, ἑτέρους κατέστησαν ἄρχοντας, οὓς μάλιστα τιμῶντες ᾤοντο λυπεῖν ἐκεῖνον. Ὁ δὲ τούτοις τε προσεποιεῖτο χαίρειν, ὡς τοῦ δήμου τῷ ποιεῖν, ἃ βούλοιτο, δι' αὐτὸν ἀπολαύοντος τῆς ἐλευθερίας· καὶ θεραπεύων τὸ τῶν πολλῶν μῖσος, ὕπατον κατέστησεν ἀπὸ τῆς ἐναντίας στάσεως Λεύκιον Κίνναν, ἀραῖς καὶ ὅρκοις καταλαβὼν εὐνοήσειν τοῖς ἑαυτοῦ πράγμασιν. Ὁ δ' ἀναβὰς εἰς τὸ Καπιτώλιον, ἔχων ἐν τῇ χειρὶ λίθον, ὤμνυεν, εἶτα ἐπαρασάμενος ἑαυτῷ, μὴ φυλάττοντι τὴν πρὸς ἐκεῖνον εὔνοιαν, ἐκπεσεῖν τῆς πόλεως, ὥσπερ ὁ λίθος διὰ τῆς χειρὸς, κατέβαλε χαμᾶζε τὸν λίθον, οὐκ ὀλίγων παρόντων. Παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἐπεχείρει τὰ καθεστῶτα κινεῖν· καὶ δίκην ἐπὶ τὸν Σύλλαν παρεσκεύασε, καὶ κατηγορεῖν ἐπέστησεν Οὐεργίνιον, ἕνα τῶν δημάρχων, ὃν ἐκεῖνος ἅμα τῷ δικαστηρίῳ χαίρειν ἐάσας, ἐπὶ Μιθριδάτην ἀπῆρε.

ΙΑ. Λέγεται δὲ, ὑπὸ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ὁ Σύλλας ἀπὸ τῆς Ἰταλίας ἐκίνει τὸν στόλον, ἄλλα τε πολλὰ Μιθριδάτῃ, διατρίβοντι περὶ τὸ Πέργαμον, ἐπισκῆψαι δαιμόνια, καὶ νίκην στεφανηφόρον καθιεμένην ὑπὸ τῶν Περγαμηνῶν ἐπ' αὐτὸν ἔκ

τινων ὀργάνων ἄνωθεν, ὅσον οὔπω τῆς κεφαλῆς ψαύουσαν συντριβῆναι, καὶ τὸν στέφανον ἐκπεσόντα κατὰ τοῦ θεάτρου φέρεσθαι χαμᾶζε διαθρυπτόμενον· ὥστε φρίκην μὲν τῷ δήμῳ, ἀθυμίαν δὲ πολλὴν Μιθριδάτῃ παρασχεῖν, καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. Αὐτὸς μὲν γὰρ Ἀσίαν τε Ῥωμαίων, καὶ Βιθυνίαν καὶ Καππαδοκίαν τῶν βασιλέων ἀφῃρημένος, ἐν Περγάμῳ καθῆστο, πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις. Τῶν δὲ παίδων ὁ μὲν ἐν Πόντῳ καὶ Βοσπόρῳ τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν Μαιῶτιν ἀοικήτων ἀρχὴν κατεῖχεν, οὐδενὸς παρενοχλοῦντος· Ἀριαράθης δὲ Θρᾴκην καὶ Μακεδονίαν ἐπῄει στρατῷ μεγάλῳ προσαγόμενος. Ἄλλους δὲ οἱ στρατηγοὶ τόπους ἐχειροῦντο, δυνάμεις ἔχοντες· ὧν ὁ μέγιστος Ἀρχέλαος, ταῖς μὲν ναυσὶν ὁμοῦ τι συμπάσης ἐπικρατῶν τῆς θαλάττης, τάς τε Κυκλάδας νήσους ἐδουλοῦτο καὶ τῶν ἄλλων, ὅσαι Μαλέας ἐντὸς ἵδρυνται, καὶ τὴν Εὔβοιαν αὐτὴν εἶχεν· ἐκ δ' Ἀθηνῶν ὁρμώμενος, τὰ μέχρι Θετταλίας ἔθνη τῆς Ἑλλάδος ἀφίστη, μικρὰ προσκρούσας περὶ Χαιρώνειαν. Ἐνταῦθα γὰρ αὐτῷ Βρέττιος Σούῤῥας ἀπήντησε, πρεσβευτὴς μὲν ὢν Σεντίου, τοῦ στρατηγοῦ τῆς Μακεδονίας, ἀνὴρ δὲ τόλμῃ καὶ φρονήσει διαφέρων. Οὗτος Ἀρχελάῳ, δίκην ῥεύματος φερομένῳ διὰ τῆς Βοιωτίας, ἐπὶ πλεῖστον ἀντιστὰς, καὶ τρισὶ μάχαις διαγωνισάμενος περὶ Χαιρώνειαν ἐξέωσε, καὶ συνέστειλε πάλιν ἐπὶ τὴν θάλατταν. Λευκίου δὲ Λευκούλλου κελεύσαντος αὐτὸν ὑποχωρεῖν ἐπιόντι Σύλλᾳ, καὶ τὸν ἐψηφισμένον ἐκείνῳ ἐᾶν πόλεμον, εὐθὺς ἐκλιπὼν τὴν Βοιωτίαν, ὀπίσω πρὸς Σέντιον ἀπήλαυνε, καίπερ αὐτῷ τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων, καὶ τῆς Ἑλλάδος οἰκείως ἐχούσης πρὸς μεταβολὴν, διὰ τὴν ἐκείνου καλοκαγαθίαν. Ἀλλὰ γὰρ Βρεττίῳ μὲν ταῦτα λαμπρότατα τῶν πεπραγμένων.

ΙΒ. Σύλλας δὲ τὰς μὲν ἄλλας πόλεις εὐθὺς εἶχεν ἐπιπρεσ-

ϐευομένας καὶ καλούσας, ταῖς δ' Ἀθήναις, διὰ τὸν τύραννον Ἀ-ριςίωνα βασιλεύεσθαι ἠναγκασμέναις, ἄθρους ἐπέςη· καὶ τὸν Πειραιᾶ περιλαβὼν ἐπολιόρκει, μηχανήν τε πᾶσαν ἐφιςὰς, καὶ μάχας παντοδαπὰς ποιούμενος. Καίτοι χρόνον οὐ πολὺν ἀνα-σχομένῳ παρῆν ἀκινδύνως ἑλεῖν τὴν ἄνω πόλιν, ὑπὸ λιμοῦ συν-ηγμένην ἤδη τῇ χρείᾳ τῶν ἀναγκαίων εἰς τὸν ἔσχατον καιρόν. Ἀλλ', ἐπειγόμενος εἰς Ῥώμην, καὶ δεδιὼς τὸν ἐκεῖ νεωτερισμὸν, πολλοῖς μὲν κινδύνοις, πολλαῖς δὲ μάχαις, μεγάλαις δὲ δαπά-ναις, κατέσπευδε τὸν πόλεμον. ᾯ γε, δίχα τῆς ἄλλης παρασκευ-ῆς, ἡ περὶ τὰ μηχανήματα πραγματεία ζεύγεσι μυρίοις ὀρι-κοῖς ἐχορηγεῖτο καθ' ἡμέραν ἐνεργοῖς οὖσι πρὸς τὴν ὑπηρεσίαν. Ἐπιλιπούσης δὲ τῆς ὕλης, διὰ τὸ κόπτεσθαι πολλὰ τῶν ἔργων περικλώμενα τοῖς αὐτῶν βρίθεσι, καὶ πυρπολεῖσθαι βαλλόμενα συνεχῶς ὑπὸ τῶν πολεμίων, ἐπεχείρησε τοῖς ἱεροῖς ἄλσεσι· καὶ τήν τ' Ἀκαδημίαν ἔκειρε δενδροφορωτάτην [τῶν] προαςείων οὖ-σαν, καὶ τὸ Λύκειον. Ἐπεὶ δὲ καὶ χρημάτων ἔδει πολλῶν πρὸς τὸν πόλεμον, ἐκίνει τὰ τῆς Ἑλλάδος ἄσυλα, τοῦτο μὲν ἐξ Ἐπι-δαύρου, τοῦτο δ' ἐξ Ὀλυμπίας, τὰ κάλλιςα καὶ πολυτελέςατα τῶν ἀναθημάτων μεταπεμπόμενος. Ἔγραψε δὲ καὶ τοῖς Ἀμφι-κτύοσιν εἰς Δελφοὺς, ὅτι τὰ χρήματα τοῦ θεοῦ βέλτιον εἴη κο-μισθῆναι πρὸς αὐτόν· ἢ γὰρ φυλάξειν ἀσφαλέςερον, ἢ καὶ ἀπο-χρησάμενος, ἀποδώσειν οὐκ ἐλάττω. Καὶ τῶν φίλων ἀπέστειλε Κάφιν τὸν Φωκέα, κελεύσας ςαθμῷ παραλαβεῖν ἕκαστον. Ὁ δὲ Κάφις ἧκε μὲν εἰς Δελφοὺς, ὤκνει δὲ τῶν ἱερῶν θίγειν, καὶ πολλὰ τῶν Ἀμφικτυόνων λιπαρούντων, ἀπεδάκρυσε τὴν ἀνάγ-κην. Ἐνίων δὲ φασκόντων ἀκοῦσαι φθεγγομένης τῆς ἐν τοῖς ἀνακτόροις κιθάρας, εἴτε πιςεύσας, εἴτε τὸν Σύλλαν βουλόμε-νος ἐμβαλεῖν εἰς δεισιδαιμονίαν, ἀπέςειλε πρὸς αὐτόν. Ὁ δὲ σκώπτων ἀντέγραφε, θαυμάζειν τὸν Κάφιν, εἰ μὴ συνίησιν ὅτι χαίροντος, οὐ χαλεπαίνοντος εἴη τὸ ᾄδειν· ὥστε θαῤῥοῦντα

λαμβάνειν ἐκέλευσεν, ὡς ἡδομένου τοῦ θεοῦ καὶ διδόντος. Τὰ μὲν οὖν ἄλλα διέλαθε τούς γε πολλοὺς Ἕλληνας ἐκπεμπόμενα· τὸν δ' ἀργυροῦν πίθον, ὃς ἦν ὑπόλοιπος ἔτι τῶν βασιλικῶν, διὰ βάρος καὶ μέγεθος οὐ δυναμένων ἀναλαβεῖν τῶν ὑποζυγίων, ἀναγκαζόμενοι κατακόπτειν οἱ Ἀμφικτύονες, εἰς μνήμην ἐβάλοντο, τοῦτο μὲν Τίτον Φλαμινῖνον καὶ Μάνιον Ἀκύλιον, τοῦτο δ' Αἰμίλιον Παῦλον· ὧν ὁ μὲν, Ἀντίοχον ἐξελάσας τῆς Ἑλλάδος, οἱ δὲ τοὺς Μακεδόνων βασιλεῖς καταπολεμήσαντες, οὐ μόνον ἀπέσχοντο τῶν ἱερῶν τῶν Ἑλληνικῶν, ἀλλὰ καὶ δῶρα καὶ τιμὴν αὐτοῖς καὶ σεμνότητα πολλὴν προσέθεσαν. Ἀλλ' ἐκεῖνοι μὲν ἀνδρῶν τε σωφρόνων, καὶ μεμαθηκότων σιωπῇ τοῖς ἄρχουσι παρέχειν τὰς χεῖρας, ἡγούμενοι κατὰ νόμον, αὐτοί τε ταῖς ψυχαῖς βασιλικοὶ, καὶ ταῖς δαπάναις εὐτελεῖς ὄντες, μετρίοις ἐχρῶντο καὶ τεταγμένοις ἀναλώμασι, τὸ κολακεύειν τοὺς στρατιώτας αἴσχιον ἡγούμενοι τοῦ δεδιέναι τοὺς πολεμίους. Οἱ δὲ τότε στρατηγοὶ, βίᾳ τὸ πρωτεῖον, οὐκ ἀρετῇ, κτώμενοι, καὶ μᾶλλον ἐπ' ἀλλήλους δεόμενοι τῶν ὅπλων, ἢ [ἐπὶ] τοὺς πολεμίους, ἠναγκάζοντο δημαγωγεῖν ἐν τῷ στρατηγεῖν, εἶθ' ὧν εἰς τὰς ἡδυπαθείας τοῖς στρατευομένοις ἀνήλισκον, ὠνούμενοι τοὺς πόνους αὐτῶν, ἔλαθον ὤνιον ὅλην τὴν πατρίδα ποιήσαντες, ἑαυτούς τε δούλους τῶν κακίστων, ἐπὶ τῷ τῶν βελτιόνων ἄρχειν. Ταῦτ' ἐξήλαυνε Μάριον, εἶτ' αὖθις ἐπὶ Σύλλαν κατῆγε. Ταῦτ' Ὀκταουΐου τοὺς περὶ Κίνναν, ταῦτα Φλάκκου τοὺς περὶ Φιμβρίαν αὐτόχειρας ἐποίησεν. Ὧν οὐχ ἥκιστα Σύλλας ἐνέδωκε τὰς ἀρχὰς, ἐπὶ τῷ διαφθείρειν καὶ μετακαλεῖν τοὺς ὑπ' ἄλλοις ταττομένους, καταχορηγῶν εἰς τοὺς ὑφ' αὑτῷ καὶ δαπανώμενος· ὥστε ἅμα τοὺς ἄλλους μὲν εἰς προδοσίαν, τοὺς δὲ ὑφ' αὑτῷ εἰς ἀσωτίαν διαφθείρων, χρημάτων δεῖσθαι πολλῶν, καὶ μάλιστα πρὸς τὴν πολιορκίαν ἐκείνην.

ΙΓ. Δεινὸς γάρ τις ἄρα καὶ ἀπαραίτητος εἶχεν αὐτὸν ἔρως

ἑλεῖν τὰς Ἀθήνας· εἴτε ζήλῳ τινὶ πρὸς τὴν πάλαι σκιαμαχοῦντα τῆς πόλεως δόξαν, εἴτε θυμῷ τὰ σκώμματα φέροντα καὶ τὰς βωμολοχίας, αἷς αὐτόν τε καὶ τὴν Μετέλλαν ἀπὸ τῶν τειχῶν ἑκάστοτε γεφυρίζων καὶ κατορχούμενος ἐξηρέθιζεν ὁ τύραννος Ἀριστίων, ἄνθρωπος ἐξ ἀσελγείας ὁμοῦ καὶ ὠμότητος ἔχων συγκειμένην τὴν ψυχὴν, καὶ τὰ χείριστα τῶν Μιθριδατικῶν συνεῤῥυηκότα νοσημάτων καὶ παθῶν εἰς ἑαυτὸν ἀνειληφὼς, καὶ τῇ πόλει, μυρίους μὲν πολέμους, πολλὰς δὲ τυραννίδας καὶ στάσεις διαπεφευγυίᾳ πρότερον, ὥσπερ νόσημα θανατηφόρον, εἰς τοὺς ἐσχάτους καιροὺς ἐπιτιθέμενος· ὃς, χιλίων δραχμῶν ὠνίου τοῦ μεδίμνου τῶν πυρῶν ὄντος ἐν ἄστει τότε, [καὶ] τῶν ἀνθρώπων σιτουμένων τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον, ὑποδήματα δὲ καὶ ληκύθους ἑφθὰς ἐσθιόντων, αὐτὸς ἐνδελεχῶς πότοις μεθημερινοῖς καὶ κώμοις χρώμενος, καὶ πυῤῥιχίζων καὶ γελωτοποιῶν πρὸς τοὺς πολεμίους· τὸν μὲν ἱερὸν τῆς θεοῦ λύχνον ἀπεσβηκότα διὰ σπάνιν ἐλαίου περιεῖδε· τῇ δὲ ἱεροφάντιδι πυρῶν ἡμίεκτον προσαιτούσῃ πεπέρεως ἔπεμψε· τοὺς δὲ βουλευτὰς καὶ ἱερεῖς, ἱκετεύοντας οἰκτεῖραι τὴν πόλιν, καὶ διαλύσασθαι πρὸς τὸν Σύλλαν, τοξεύμασι βάλλων διεσκέδασεν. Ὀψὲ δ' ἤδη που μόλις ἐξέπεμψεν ὑπὲρ εἰρήνης δύο ἢ τρεῖς τῶν συμποτῶν· πρὸς οὓς, οὐδὲν ἀξιοῦντας σωτήριον, ἀλλὰ τὸν Θησέα καὶ τὸν Εὔμολπον καὶ τὰ Μηδικὰ σεμνολογουμένους, ὁ Σύλλας· « Ἄπιτε (εἶπεν) ὦ μακάριοι, τοὺς λόγους τούτους ἀναλαβόντες· ἐγὼ γὰρ οὐ φιλομαθήσων εἰς Ἀθήνας ὑπὸ Ῥωμαίων ἐπέμφθην, ἀλλὰ τοὺς ἀφισταμένους καταστρεψόμενος. »

ΙΔ. Ἐν δὲ τούτῳ λέγεταί τινας ἐν Κεραμεικῷ πρεσβυτῶν ἀκούσαντας διαλεγομένων πρὸς ἀλλήλους, καὶ κακιζόντων τὸν τύραννον, ὡς μὴ φυλάττοντα τοῦ τείχους τὴν περὶ τὸ Ἑπτάχαλκον ἔφοδον καὶ προσβολὴν, ᾗ μόνῃ δυνατὸν εἶναι καὶ ῥάδιον ὑπερβῆναι τοῖς πολεμίοις, ἀπαγγεῖλαι ταῦτα πρὸς τὸν Σύλλαν.

Ὁ δ' οὐ κατεφρόνησεν, ἀλλ' ἐπελθὼν νυκτὸς, καὶ θεασάμενος τὸν τόπον ἁλώσιμον, εἴχετο τοῦ ἔργου. Λέγει δ' αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασι, τὸν πρῶτον ἐπιβάντα τοῦ τείχους, Μάρκον Τήϊον, ἀντιστάντος αὐτῷ πολεμίου, δόντα πληγὴν ἐκ καταφορᾶς τῷ κράνει περικλάσαι τὸ ξίφος, οὐ μὴν ὑφέσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν. Κατελήφθη μὲν οὖν ἡ πόλις ἐκεῖθεν, ὡς Ἀθηναίων οἱ πρεσβύτατοι διεμνημόνευον. Αὐτὸς δὲ Σύλλας τὸ μεταξὺ τῆς Πειραϊκῆς πύλης καὶ τῆς ἱερᾶς κατασκάψας καὶ συνομαλύνας, περὶ μέσας νύκτας ἐσήλαυνε φρικώδης, ὑπό τε σάλπιγξι καὶ κέρασι πολλοῖς, ἀλαλαγμῷ καὶ κραυγῇ τῆς δυνάμεως ἐφ' ἁρπαγὴν καὶ φόνον ἀφειμένης ὑπ' αὐτοῦ, καὶ φερομένης διὰ [τῶν] στενωπῶν ἐσπασμένοις τοῖς ξίφεσιν· ὥς' ἀριθμὸν μηδένα γενέσθαι τῶν ἀποσφαγέντων, ἀλλὰ τῷ τόπῳ τοῦ ῥυέντος αἵματος ἔτι [καὶ] νῦν μετρεῖσθαι τὸ πλῆθος. Ἄνευ γὰρ τῶν κατὰ τὴν ἄλλην πόλιν ἀναιρεθέντων, ὁ περὶ τὴν ἀγορὰν φόνος ἐπέσχε πάντα τὸν ἐντὸς τοῦ Διπύλου Κεραμεικόν· πολλοῖς δὲ λέγεται καὶ διὰ [τῶν] πυλῶν κατακλύσαι τὸ προάςειον. Ἀλλὰ τῶν οὕτως ἀποθανόντων, τοσούτων γενομένων, οὐκ ἐλάσσονες ἦσαν οἱ σφᾶς αὐτοὺς διαφθείραντες, οἴκτῳ καὶ πόθῳ τῆς πατρίδος, ὡς ἀναιρεθησομένης. Τοῦτο γὰρ ἀπογνῶναι καὶ φοβηθῆναι τὴν σωτηρίαν ἐποίησε τοὺς βελτίςους, οὐδὲν ἐν τῷ Σύλλᾳ φιλάνθρωπον, οὐδὲ μέτριον ἐλπίσαντας. Ἀλλὰ γὰρ, τοῦτο μὲν Μειδίου, καὶ Καλλιφῶντος, τῶν φυγάδων, δεομένων καὶ προκυλινδουμένων αὐτοῦ, τοῦτο δὲ τῶν συγκλητικῶν, ὅσοι συνεςράτευον, ἐξαιτουμένων τὴν πόλιν, αὐτός τε μεςὸς ὢν ἤδη τῆς τιμωρίας, ἐγκώμιόν τι τῶν παλαιῶν Ἀθηναίων ἐπειπὼν, ἔφη χαρίζεσθαι πολλοὺς μὲν ὀλίγοις, ζῶντας δὲ τεθνηκόσιν. Ἑλεῖν δὲ τὰς Ἀθήνας αὐτός φησιν ἐν τοῖς ὑπομνήμασι, Μαρτίαις καλάνδαις, ἥτις ἡμέρα συμπίπτει μάλιςα τῇ νουμηνίᾳ τοῦ Ἀνθεςηριῶνος μηνός· ἐν ᾧ κατὰ τύχην ὑπομνήματα πολλὰ τοῦ διὰ τὴν

ἐπομβρίαν

ἐπομβρίαν ὀλέθρου καὶ τῆς φθορᾶς ἐκείνης δρῶσιν, ὡς τότε καὶ περὶ τὸν χρόνον ἐκεῖνον μάλιστα τοῦ κατακλυσμοῦ συμπεσόντος. Ἑαλωκότος δὲ τοῦ ἄστεος, ὁ μὲν τύραννος εἰς τὴν ἀκρόπολιν καταφυγὼν ἐπολιορκεῖτο, Κουρίωνος ἐπὶ τούτῳ τεταγμένου· καὶ χρόνον ἐγκαρτερήσας συχνὸν, αὐτὸς ἑαυτὸν ἐνεχείρισε, δίψει πιεσθείς. Καὶ τὸ δαιμόνιον εὐθὺς ἐπεσήμηνε· τῆς γὰρ αὐτῆς ἡμέρας τε καὶ ὥρας ἐκεῖνόν τε Κουρίων κατῆγε, καὶ νεφῶν ἐξ αἰθρίας συνδραμόντων, πλῆθος ὄμβρου καταῤῥαγὲν ἐπλήρωσεν ὕδατος τὴν ἀκρόπολιν. Εἶχε δὲ καὶ τὸν Πειραιᾶ μετ' οὐ πολὺν χρόνον ὁ Σύλλας, καὶ τὰ πλεῖστα κατέκαυσεν· ὧν ἦν καὶ ἡ Φίλωνος ὁπλοθήκη, θαυμαζόμενον ἔργον.

ΙΕ. Ἐν δὲ τούτῳ Ταξίλλης, ὁ Μιθριδάτου στρατηγὸς, ἐκ Θρᾴκης καὶ Μακεδονίας καταβεβηκὼς δέκα μυριάσι πεζῶν, καὶ μυρίοις ἱππεῦσι, καὶ τεθρίπποις ἐνενήκοντα δρεπανηφόροις, ἐκάλει τὸν Ἀρχέλαον, ἔτι ναυλοχοῦντα περὶ τὴν Μουνυχίαν, καὶ μήτε τῆς θαλάττης βουλόμενον ἀποστῆναι, μήτε πρόθυμον ὄντα συμπλέκεσθαι τοῖς Ῥωμαίοις, ἀλλὰ τρίβειν χρόνῳ τὸν πόλεμον, καὶ τὰς εὐπορίας αὐτῶν ἀφαιρεῖν. Ἃ δὴ πολὺ μᾶλλον ἐκείνου συνορῶν ὁ Σύλλας, ἀνέζευξεν εἰς Βοιωτίαν ἐκ χωρίων γλίσχρων, καὶ μηδὲ ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. Καὶ τοῖς πολλοῖς ἐδόκει σφάλλεσθαι τὸν λογισμὸν, ὅτι τὴν Ἀττικὴν τραχεῖαν οὖσαν καὶ δύσιππον ἀπολιπὼν, ἐνέβαλεν ἑαυτὸν πεδιάσι *καὶ* ἀναπεπταμέναις, ταῖς περὶ τὴν Βοιωτίαν χώραις, ὁρῶν ἐν ἅρμασι καὶ ἵπποις τὴν βαρβαρικὴν οὖσαν ἀλκήν. Ἀλλὰ φεύγων, ὥσπερ εἴρηται, λιμὸν καὶ σπάνιν, ἠναγκάζετο διώκειν τὸν ἐκ τῆς μάχης κίνδυνον. Ἔτι δὲ Ὁρτήσιος αὐτὸν ἐφόβει, στρατηγικὸς ἀνὴρ καὶ φιλόνεικος, ὃν, ἐκ Θετταλίας ἄγοντα τῷ Σύλλᾳ δύναμιν, ἐν τοῖς στενοῖς οἱ βάρβαροι παρεφύλαττον. Διὰ ταῦτα μὲν εἰς τὴν Βοιωτίαν ἀνέζευξεν ὁ Σύλλας· Ὁρτήσιον δὲ Κάφις, ἡμέτερος ὢν, ἑτέραις ὁδοῖς, ψευσάμενος τοὺς βαρβάρους, διὰ

τοῦ Παρνασσοῦ κατῆγεν ὑπ' αὐτὴν τὴν Τιθορέαν, οὔπω τοσαύτην πόλιν οὖσαν, ὅση νῦν ἐστιν, ἀλλὰ φρούριον ἀποῤῥῶγι κρημνῷ περικοπτόμενον, εἰς ὃ καὶ πάλαι ποτὲ Φωκέων οἱ Ξέρξην ἐπιόντα φεύγοντες ἀνεσκευάσαντο καὶ διεσώθησαν. Ἐνταῦθα καταστρατοπεδεύσας Ὁρτήσιος, ἡμέρας μὲν ἀπεκρούσατο τοὺς πολεμίους, νύκτωρ δ' ἐπὶ Πατρωνίδα ταῖς δυσχωρίαις καταβὰς, ἀπαντήσαντι τῷ Σύλλᾳ μετὰ τῆς δυνάμεως συνέμιξε.

Ις. Γενόμενοι δὲ κοινῇ, καταλαμβάνονται βουνὸν ἐκ μέσων ἑστῶτα τῶν Ἐλατικῶν πεδίων εὔγεων καὶ ἀμφιλαφῆ, καὶ παρὰ τὴν ῥίζαν ὕδωρ ἔχοντα. Φιλοβοιωτὸς καλεῖται, καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν θέσιν ἐπαινεῖ θαυμασίως ὁ Σύλλας. Στρατοπεδεύσαντες δὲ, παντάπασιν ὀλίγοι τοῖς πολεμίοις κατεφάνησαν. Ἱππεῖς μὲν γὰρ οὐ πλείους πεντακοσίων καὶ χιλίων ἐγένοντο, πεζοὶ δὲ, πεντακισχιλίων καὶ μυρίων ἐλάττους. Ὅθεν ἐκβιασάμενοι τὸν Ἀρχέλαον οἱ λοιποὶ στρατηγοὶ καὶ παρατάξαντες τὴν δύναμιν, ἀνέπλησαν ἵππων, ἁρμάτων, ἀσπίδων, θυρεῶν τὸ πεδίον. Τὴν δὲ κραυγὴν καὶ ἀλαλαγμὸν οὐκ ἔστεγεν ὁ ἀὴρ, ἐθνῶν τοσούτων ἅμα καθισταμένων εἰς τάξιν. Ἦν δὲ ἅμα καὶ τὸ κομπῶδες καὶ σοβαρὸν αὐτῶν τῆς πολυτελείας οὐκ ἀργὸν, οὐδ' ἄχρηστον εἰς ἔκπληξιν, ἀλλ' αἵ τε μαρμαρυγαὶ τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς, αἵ τε βαφαὶ τῶν Μηδικῶν καὶ Σκυθικῶν χιτώνων ἀναμεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι, πυροειδῆ καὶ φοβερὰν ἐν τῷ σαλεύεσθαι καὶ διαφέρεσθαι προσέβαλλον ὄψιν· ὥστε τοὺς Ῥωμαίους ὑπὸ τὸν χάρακα συστέλλειν ἑαυτοὺς, καὶ τὸν Σύλλαν, μηδενὶ λόγῳ τὸ θάμβος αὐτῶν ἀφελεῖν δυνάμενον, βιάζεσθαί τε ἀποδιδράσκοντας οὐ βουλόμενον, ἡσυχίαν ἄγειν, καὶ φέρειν βαρέως ἐφυβρίζοντας ὁρῶντα κομπασμῷ καὶ γέλωτι τοὺς βαρβάρους. Ὤνησε μέντοι τοῦτο μάλιστα πάντων αὐτόν. Οἱ γὰρ ἐναντίοι καταφρονήσαντες ἐτράποντο πρὸς ἀταξίαν πολλὴν, οὐδ' ἄλλως ὑπήκοοι

τῶν ϛρατηγῶν διὰ πολυαρχίαν ὄντες, [ὡς] ὀλίγοι μὲν ἐν τῷ χάρακι διεκαρτέρουν, ὁ δὲ πλεῖϛος ὄχλος ἁρπαγαῖς καὶ πορθήμασι δελεαζόμενος, ὁδὸν ἡμερῶν πολλῶν ἀπὸ τοῦ ϛρατοπέδου διεσπείρετο, καὶ τήν τε τῶν Πανοπέων πόλιν ἐκκόψαι λέγονται, καὶ τὴν Λεβαδέων διαρπάσαι, καὶ συλῆσαι τὸ μαντεῖον, οὐδενὸς ϛρατηγοῦ πρόϛαγμα δόντος. Ὁ δὲ Σύλλας, ἐν ὄμμασιν αὐτοῦ πόλεων ἀπολλυμένων, δυσανασχετῶν καὶ λυπούμενος, οὐκ εἴα τοὺς ϛρατιώτας σχολάζειν, ἀλλὰ προσάγων αὐτοὺς ἠνάγκαζε τόν τε Κηφισσὸν ἐκ τοῦ ῥείθρου παρατρέπειν, καὶ τάφρους ὀρύσσειν· ἀνάπαυλαν οὐδενὶ διδοὺς, καὶ τῶν ἐνδιδόντων ἀπαραίτητος ἐφεϛὼς κολαϛὴς, ὅπως ἀπαγορεύσαντες πρὸς τὰ ἔργα, διὰ τῶν πόνων ἀσπάσωνται τὸν κίνδυνον. Ὃ καὶ συνέβη. Τρίτην γὰρ ἡμέραν ἐργαζόμενοι, τοῦ Σύλλα παρεξιόντος, ἐδέοντο μετὰ κραυγῆς ἄγειν ἐπὶ τοὺς πολεμίους. Ὁ δ', οὐ μάχεσθαι βουλομένων, ἀλλὰ μὴ βουλομένων πονεῖν, ἔφησεν εἶναι τὸν λόγον· εἰ δ' ὄντως ἔχουσιν ἀγωνιϛικῶς, ἐκέλευσεν ἤδη μετὰ τῶν ὅπλων ἐλθεῖν ἐκεῖσε, δείξας αὐτοῖς τὴν πρότερον μὲν γενομένην ἀκρόπολιν τῶν Παραποταμίων, τότε δ', ἀνῃρημένης τῆς πόλεως, λόφος ἐλείπετο πετρώδης καὶ περίκρημνος, τοῦ Ἡδυλίου διωρισμένος ὄρους, ὅσον ὁ Ἄσσος ἐπέχει ῥέων, εἶτα συμπίπτων ὑπὸ τὴν ῥίζαν αὐτὴν τῷ Κηφισσῷ, καὶ συνεκτραχυνόμενος, ὀχυρὰν ἐνϛρατοπεδεῦσαι τὴν ἄκραν ποιεῖ. Διὸ καὶ τοὺς χαλκάσπιδας ὁρῶν τῶν πολεμίων ὠθουμένους ἐπ' αὐτὴν ὁ Σύλλας, ἐβούλετο φθῆναι καταλαβὼν τὸν τόπον, καὶ κατέλαβε, χρησάμενος τοῖς ϛρατιώταις προθύμοις. Ἐπεὶ δ' ἀποκρουσθεὶς ἐκεῖθεν ὁ Ἀρχέλαος ὥρμησεν ἐπὶ τὴν Χαιρώνειαν, οἱ δὲ συϛρατευσάμενοι τῶν Χαιρωνέων ἐδέοντο τοῦ Σύλλα μὴ προέσθαι τὴν πόλιν, ἐκπέμπει τῶν χιλιάρχων ἕνα, Γαβίνιον, μετὰ τάγματος ἑνὸς, καὶ τοὺς Χαιρωνεῖς ἀφίησι, βουληθέντας μὲν, οὐ μὴν δυνηθέντας φθῆναι τὸν Γαβίνιον. Οὕτως ἦν ἀγαθὸς

καὶ προθυμότερος εἰς τὸ σῶσαι τῶν σωθῆναι δεομένων. Ὁ δ' Ἰόβας οὐ Γαβίνιον φησὶ πεμφθῆναι, ἀλλὰ Ἐρίκιον. Ἡ μὲν οὖν πόλις ἡμῶν παρὰ τοσοῦτον ἐξέφυγε τὸν κίνδυνον.

ΙΖ. Ἐκ δὲ Λεβαδείας καὶ τοῦ Τροφωνίου φῆμαί τε χρησταὶ καὶ νικηφόρα μαντεύματα τοῖς Ῥωμαίοις ἐξεπέμποντο. Περὶ ὧν οἱ μὲν ἐπιχώριοι πλείονα λέγουσιν· ὡς δὲ Σύλλας αὐτὸς ἐν τῷ δεκάτῳ τῶν ὑπομνημάτων γέγραφε, Κόϊντος Τίτιος, οὐκ ἀφανὴς ἀνὴρ τῶν ἐν τῇ Ἑλλάδι πραγματευομένων, ἧκε πρὸς αὐτὸν, ἤδη τὴν ἐν Χαιρωνείᾳ νενικηκότα μάχην, παραγγέλλων, ὅτι καὶ δευτέραν ὁ Τροφώνιος αὐτόθι μάχην καὶ νίκην προσημαίνει ἐντὸς ὀλίγου χρόνου. Μετὰ δὲ τοῦτον ἀνὴρ τῶν ἐν τάξει στρατευομένων, ὄνομα Σαλουήνιος, ἀνήνεγκε παρὰ τοῦ θεοῦ, οἷον τέλος αἱ κατὰ τὴν Ἰταλίαν πράξεις ἔμελλον ἕξειν. Ἀμφότεροι δὲ ταὐτὰ περὶ τῆς ὀμφῆς ἔφραζον· τῷ γὰρ Ὀλυμπίῳ Διῒ καὶ τὸ κάλλος καὶ τὸ μέγεθος παραπλήσιον ἰδεῖν ἔφασαν. Ἐπεὶ δὲ διέβη τὸν Ἄσσον ὁ Σύλλας, παρελθὼν ὑπὸ τὸ Ἡδύλιον, τῷ Ἀρχελάῳ παρεστρατοπέδευσεν, βεβλημένῳ χάρακα καρτερὸν ἐν μέσῳ τοῦ Ἀκοντίου καὶ τοῦ Ἡδυλίου, πρὸς τοῖς λεγομένοις Ἀσσίοις. Ὁ μέντοι τόπος, ἐν ᾧ κατεσκήνωσεν, ἄχρι νῦν Ἀρχέλαος ἀπ' ἐκείνου καλεῖται. Διαλιπὼν δὲ μίαν ἡμέραν ὁ Σύλλας, Μουρήναν μὲν ἔχοντα τάγμα καὶ σπείρας δύο πρὸς τὸ τοῖς πολεμίοις ἐνοχλῆσαι παρατατομένοις ἀπέλιπεν· αὐτὸς δὲ παρὰ τὸν Κηφισσὸν ἐσφαγιάζετο, καὶ τῶν ἱερῶν γενομένων, ἐχώρει πρὸς τὴν Χαιρώνειαν, ἀναληψόμενός τε τὴν αὐτόθι στρατιὰν, καὶ κατοψόμενος τὸ καλούμενον Θούριον ὑπὸ τῶν πολεμίων προκατειλημμένον. Ἔστι δὲ κορυφὴ τραχεῖα, καὶ στροβιλῶδες ὄρος, ὃ καλοῦμεν Ὀρθόπαγον. Ὑπὸ δ' αὐτὸ, τὸ ῥεῦμα τοῦ Μωρίου, καὶ Θουρίου νεὼς Ἀπόλλωνος. Ὠνόμασται δὲ ὁ θεὸς ἀπὸ Θουροῦς, τῆς Χαίρωνος μητρὸς, ὃν οἰκιστὴν γεγονέναι τῆς Χαιρωνείας ἱστοροῦσιν. Οἱ δέ φασι τὴν Κάδμῳ δοθεῖσαν ὑπὸ τοῦ Πυθίου

καθηγεμόνα βοῦν ἐκεῖ φανῆναι, καὶ τὸν τόπον ἀπ᾽ αὐτῆς οὕτω προσαγορευθῆναι. Θὼρ γὰρ οἱ Φοίνικες τὴν βοῦν καλοῦσι. Προσιόντος δὲ τοῦ Σύλλα πρὸς τὴν Χαιρώνειαν, ὁ τεταγμένος ἐν τῇ πόλει χιλίαρχος ἐξωπλισμένους ἄγων τοὺς ϛρατιώτας, ἀπήντησε ϛέφανον δάφνης κομίζων. Ὡς δὲ δεξάμενος ἠσπάσατο τοὺς ϛρατιώτας καὶ παρώρμησε πρὸς τὸν κίνδυνον, ἐντυγχάνουσιν αὐτῷ δύο τῶν Χαιρωνέων ἄνδρες, Ὁμολώϊχος καὶ Ἀναξίδαμος, ὑφιϛάμενοι τοὺς τὸ Θούριον κατασχόντας ἐκκόψειν, ὀλίγους ϛρατιώτας παρ᾽ ἐκείνου λαβόντες. Ἀτραπὸν γὰρ εἶναι τοῖς βαρβάροις ἄδηλον, ἀπὸ τοῦ καλουμένου Πετρώχου παρὰ τὸ Μουσεῖον ἐπὶ τὸ Θούριον ὑπὲρ κεφαλῆς ἄγουσαν· ᾗ πορευθέντες οὐ χαλεπῶς ἐπιπεσεῖσθαι, καὶ καταλεύσειν ἄνωθεν αὐτοὺς, ἢ συνώσειν εἰς τὸ πεδίον. Τοῦ δὲ Γαβινίου τοῖς ἀνδράσι μαρτυρήσαντος ἀνδρείαν καὶ πίϛιν, ἐκέλευεν ἐπιχειρεῖν ὁ Σύλλας· αὐτὸς δὲ συνέταττε τὴν φάλαγγα, καὶ διένειμε τοὺς ἱππότας ἐπὶ κέρως ἑκατέρου, τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, τὸ δ᾽ εὐώνυμον ἀποδοὺς Μουρήνᾳ. Γάλβας δὲ καὶ Ὁρτήσιος, οἱ πρεσβευταὶ, σπείρας ἐπιτάκτους ἔχοντες ἔσχατοι, παρενέβαλον ἐπὶ τῶν ἄκρων φύλακες πρὸς τὰς κυκλώσεις. Ἑωρῶντο γὰρ οἱ πολέμιοι κατασκευάζοντες ἱππεῦσι πολλοῖς καὶ ψιλοῖς ποδώκεσιν εἰς ἐπιϛροφὴν τὸ κέρας εὐκαμπὲς καὶ κοῦφον, ὡς μακρὰν ἀνάξοντες, καὶ κυκλωσόμενοι τοὺς Ῥωμαίους.

ΙΗ. Ἐν δὲ τούτῳ, τῶν Χαιρωνέων τὸν Ἐρίκιον ἄρχοντα παρὰ τοῦ Σύλλα λαβόντων, καὶ περιελθόντων ἀδήλως τὸ Θούριον, εἶτα ἐπιφανέντων, θόρυβος ἦν πολὺς καὶ φυγὴ τῶν βαρβάρων, καὶ φόνος, ὑπ᾽ ἀλλήλων ὁ πλεῖστος. Οὐ γὰρ ὑπέμειναν, ἀλλὰ κατὰ πρανοῦς φερόμενοι, τοῖς τε δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν, καὶ κατεκρήμνιζον ὠθοῦντες ἀλλήλους, ἄνωθεν ἐπικειμένων τῶν πολεμίων, καὶ τὰ γυμνὰ παιόντων· ὥϛε τρισχιλίους πεσεῖν περὶ τὸ Θούριον. Τῶν δὲ φευγόντων τοὺς μὲν

εἰς τάξιν ἤδη καθεστὼς ὁ Μουρήνας ἀπετέμνετο, καὶ διέφθειρεν ὑπαντιάζων· οἱ δ', ὠσάμενοι πρὸς τὸ φίλιον στρατόπεδον, καὶ τῇ φάλαγγι φύρδην ἐμπεσόντες, ἀνέπλησαν δέους καὶ ταραχῆς τὸ πλεῖστον μέρος, καὶ διατριβὴν τοῖς στρατηγοῖς ἐνεποίησαν, οὐχ ἥκιστα βλάψασαν αὐτούς. Ὀξέως γὰρ ὁ Σύλλας ταρασσομένοις ἐπαγαγὼν, καὶ τὸ μέσον διάστημα τῷ τάχει συνελὼν, ἀφείλετο τὴν τῶν δρεπανηφόρων ἐνέργειαν. Ἔῤῥωται γὰρ μάλιστα μήκει δρόμου, σφοδρότητα καὶ ῥύμην τῇ διεξελάσει διδόντος, αἱ δ' ἐκ βραχέος ἀφέσεις ἄπρακτοι καὶ ἀμβλεῖαι, καθάπερ βελῶν, τάσιν οὐ λαβόντων. Ὃ δὴ καὶ τότε τοῖς βαρβάροις ἀπήντα· καὶ τὰ πρῶτα τῶν ἁρμάτων ἀργῶς ἐξελαυνόμενα, καὶ προσπίπτοντα νωθρῶς, ἐκκρούσαντες οἱ Ῥωμαῖοι, μετὰ κρότου καὶ γέλωτος ἄλλα ᾔτουν, ὥσπερ εἰώθασιν ἐν ταῖς θεατρικαῖς ἱπποδρομίαις. Τοὐντεῦθεν αἱ πεζαὶ δυνάμεις συνεῤῥάγησαν, τῶν μὲν βαρβάρων προβαλλομένων τὰς σαρίσσας μακρὰς, καὶ πειρωμένων τῷ συνασπισμῷ τὴν φάλαγγα διατηρεῖν ἐν τάξει· τῶν δὲ Ῥωμαίων τοὺς μὲν ὑσσοὺς αὐτοῦ καταβαλόντων, σπασαμένων δὲ τὰς μαχαίρας, καὶ παρακρουομένων τὰς σαρίσσας, ὡς τάχιστα προσμίξειαν αὐτοῖς δι' ὀργήν. Προτεταγμένους γὰρ ἑώρων τῶν πολεμίων μυρίους καὶ πεντακισχιλίους θεράποντας, οὓς ἐκ τῶν πόλεων κηρύγμασιν ἐλευθεροῦντες οἱ βασιλέως στρατηγοὶ, κατελόχιζον εἰς τοὺς ὁπλίτας. Καί τις ἑκαντοτάρχης λέγεται Ῥωμαῖος εἰπεῖν, ὡς ἐν Κρονίοις μόνον εἰδείη τῆς παῤῥησίας δούλους μετέχοντας. Τούτους μὲν οὖν, διὰ βάθος καὶ πυκνότητα βραδέως ἐξωθουμένους ὑπὸ τῶν ὁπλιτῶν, καὶ παρὰ φύσιν μένειν τολμῶντας, αἵ τε βελοσφενδόναι καὶ οἱ γρόσφοι, χρωμένων ἀφειδῶς τῶν κατόπιν Ῥωμαίων, ἀπέστρεφον καὶ συνετάραττον.

ΙΘ. Ἀρχελάου δὲ τὸ δεξιὸν κέρας εἰς κύκλωσιν ἀνάγοντος, Ὁρτήσιος ἐφῆκε τὰς σπείρας δρόμῳ προσφερομένας, ὡς ἐμβα-

λων πλαγίοις. Ἐπιστρέψαντος δὲ ταχέως ἐκείνου τοὺς περὶ αὐτὸν ἱππεῖς δισχιλίους, ἐκθλιβόμενος ὑπὸ πλήθους, προσεστέλλετο τοῖς ὀρεινοῖς, κατὰ μικρὸν ἀποῤῥηγνύμενος τῆς φάλαγγος, καὶ περιλαμβανόμενος ὑπὸ τῶν πολεμίων. Πυθόμενος δὲ ὁ Σύλλας, ἀπὸ τοῦ δεξιοῦ, μήπω συμπεπτωκότος εἰς μάχην, ἐδίωκε βοηθῶν. Ἀρχέλαος δὲ τῷ κονιορτῷ τῆς ἐλάσεως, ὅπερ ἦν, τεκμηράμενος, Ὀρτήσιον μὲν εἴα χαίρειν, αὐτὸς δ᾽ ἐπιστρέψας ὥρμησεν, ὅθεν ὁ Σύλλας, πρὸς τὸ δεξιὸν, ὡς ἔρημον ἄρχοντος αἱρήσων. Ἅμα δὲ καὶ Μουρήνᾳ Ταξίλλης ἐπῆγε τοὺς χαλκάσπιδας· ὥστε, τῆς κραυγῆς διχόθεν φερομένης, καὶ τῶν ὀρῶν ἀνταποδιδόντων τὴν περιήχησιν, ἐπιστήσαντα τὸν Σύλλαν διαπορεῖν, ὁποτέρωσε χρὴ προσγενέσθαι. Δόξαν δὲ τὴν ἑαυτοῦ τάξιν ἀναλαμβάνειν, Μουρήνᾳ μὲν ἀρωγὸν ἔπεμψεν Ὀρτήσιον, ἔχοντα τέσσαρας σπείρας, αὐτὸς δὲ, τὴν πέμπτην ἕπεσθαι κελεύσας, ἐπὶ τὸ δεξιὸν ἠπείγετο, καὶ καθ᾽ ἑαυτὸ μὲν ἀξιομάχως ἤδη τῷ Ἀρχελάῳ συνεστηκός. Ἐκείνου δὲ ἐπιφανέντος, παντάπασιν ἐξεβιάσαντο, καὶ κρατήσαντες ἐδίωκον πρός τε τὸν ποταμὸν καὶ τὸ Ἀκόντιον ὄρος προτροπάδην φεύγοντας. Οὐ μὴν ὅ γε Σύλλας ἠμέλησε Μουρήνα κινδυνεύοντος, ἀλλ᾽ ὥρμησε τοῖς ἐκεῖ βοηθεῖν· ἰδὼν δὲ νικῶντας, τότε τῆς διώξεως μετεῖχε. Πολλοὶ μὲν οὖν ἐν τῷ πεδίῳ τῶν βαρβάρων ἀνῃροῦντο, πλεῖστοι δὲ τῷ χάρακι προσφερόμενοι κατεκόπησαν· ὥστε μυρίους διαπεσεῖν εἰς Χαλκίδα μόνους ἀπὸ τοσούτων μυριάδων. Ὁ δὲ Σύλλας λέγει, τέσσαρας καὶ δέκα ἐπιζητῆσαι τῶν αὑτοῦ στρατιωτῶν, εἶτα καὶ τούτων δύο πρὸς τὴν ἑσπέραν παραγενέσθαι. Διὸ καὶ τοῖς τροπαίοις ἐπέγραψεν Ἄρη καὶ Νίκην καὶ Ἀφροδίτην, ὡς οὐχ ἧττον εὐτυχίᾳ κατορθώσας, ἢ δεινότητι καὶ δυνάμει, τὸν πόλεμον. Ἀλλὰ τοῦτο μὲν τὸ τρόπαιον ἕστηκε τῆς πεδιάδος μάχης, ᾗ πρῶτον ἐνέκλιναν οἱ περὶ Ἀρχέλαον μέχρι παρὰ τὸ Μόλου ῥεῖθρον. Ἕτερον δ᾽ ἐστὶ τοῦ

Θουρίου κατὰ κορυφὴν βεβηκὸς, ἐπὶ τῇ κυκλώσει τῶν βαρβάρων, γράμμασιν Ἑλληνικοῖς ἐπισημαῖνον Ὁμολώϊχον καὶ Ἀναξίδαμον ἀριστεῖς. Ταύτης τὰ ἐπινίκια τῆς μάχης ἦγεν ἐν Θήβαις, περὶ τὴν Οἰδιπόδιον κρήνην κατασκευάσας θυμέλην. Οἱ δὲ κρίνοντες ἦσαν Ἕλληνες ἐκ τῶν ἄλλων ἀνακεκλημένοι πόλεων· ἐπεὶ πρός γε Θηβαίους ἀδιαλλάκτως εἶχε, καὶ τῆς χώρας αὐτῶν ἀποτεμόμενος τὴν ἡμίσειαν, τῷ Πυθίῳ καὶ τῷ Ὀλυμπίῳ καθιέρωσεν, ἐκ τῶν προσόδων κελεύσας ἀποδίδοσθαι τὰ χρήματα τοῖς θεοῖς, ἅπερ αὐτὸς εἰλήφει.

Κ. Μετὰ ταῦτα πυνθανόμενος, Φλάκκον, ἀπὸ τῆς ἐναντίας ϛάσεως ὕπατον ᾑρημένον, διαπερᾶν τὸν Ἰόνιον μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ Μιθριδάτην, ἔργῳ δὲ ἐπ᾽ ἐκεῖνον αὐτὸν, ὥρμησεν ἐπὶ Θετταλίας ὡς ἀπαντήσων. Γενομένῳ δ᾽ αὐτῷ περὶ πόλιν Μελίτειαν, ἀφικνοῦνται πολλαχόθεν ἀγγελίαι, πορθεῖσθαι τὰ κατόπιν αὖθις οὐκ ἐλάττονι ϛρατιᾷ βασιλικῇ τῆς πρότερον. Δορύλαος γὰρ εἰς Χαλκίδα καταχθεὶς παρασκευῇ νεῶν πολλῇ, ἐν αἷς ἦγεν ὀκτὼ μυριάδας, ἠσκημένας καὶ συντεταγμένας ἄριστα δὴ τῆς Μιθριδατικῆς ϛρατιᾶς, εὐθὺς εἰς Βοιωτίαν ἐνέβαλε, καὶ κατεῖχε τὴν χώραν, προθυμούμενος εἰς μάχην ἐπισπάσασθαι τὸν Σύλλαν, οὐ προσέχων Ἀρχελάῳ διακωλύοντι, καὶ λόγον περὶ τῆς προτέρας μάχης διαδιδοὺς, ὡς οὐκ ἄνευ προδοσίας μυριάδες τοσαῦται διαφθαρεῖεν. Οὐ μὴν ἀλλ᾽ ὁ Σύλλας ταχέως ὑποϛρέψας, ἀπέδειξε τὸ Δορυλάῳ τὸν Ἀρχέλαον ἄνδρα φρόνιμον, καὶ τῆς Ῥωμαίων ἐμπειρότατον ἀρετῆς· ὥϛε μικρὰ αὐτὸν τῷ Σύλλᾳ περὶ τὸ Τιλφώσσιον ἐμπεσόντα, πρῶτον εἶναι τῶν οὐκ ἀξιούντων κρίνεσθαι διὰ μάχης, ἀλλὰ δαπάναις καὶ χρόνῳ τρίβειν τὸν πόλεμον. Ὅμως δὲ θάρσος τι τῷ Ἀρχελάῳ παρεῖχεν ὁ πρὸς Ὀρχομενῷ τόπος, ἐν ᾧ κατεϛρατοπέδευσαν, εὐφυέϛατος ὢν ἱπποκρατοῦσιν ἐναγωνίσασθαι. Τῶν γὰρ Βοιωτίων πεδίων, ὅ τι πέρ ἐϛι κάλλιϛον καὶ μέγιϛον, τοῦτο, τῆς Ὀρχομενίων ἐξηρτη-

μένον πόλεως, μόνον ἀναπέπταται *καὶ* ἄδενδρον, ἄχρι τῶν ἑλῶν, ἐν οἷς ὁ Μέλας καταναλίσκεται ποταμὸς, ἀνατέλλων μὲν ὑπὸ τὴν πόλιν τῶν Ὀρχομενίων πολὺς καὶ πλώϊμος ἐν πηγαῖς μόνος τῶν Ἑλληνικῶν ποταμῶν· αὐξόμενος δὲ ὑπὸ τροπὰς θερινὰς, ὥσπερ Νεῖλος, καὶ φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ. Πόῤῥω δ' οὐ πρόεισιν· ἀλλὰ τὸ μὲν πλεῖστον εὐθὺς εἰς λίμνας τυφλὰς καὶ ὑλώδεις ἀφανίζεται, μέρος δ' οὐ πολὺ τῷ Κηφισσῷ συμμίγνυται, περὶ ὃν μάλιστα τόπον ἡ λίμνη δοκεῖ τὸν αὐλητικὸν ἐκφέρειν κάλαμον.

ΚΑ. Ἐπεὶ δ' ἐγγὺς κατεστρατοπέδευσαν, ὁ μὲν Ἀρχέλαος ἡσύχαζεν, ὁ δὲ Σύλλας ὤρυττε τάφρους ἑκατέρωθεν, ὅπως εἰ δύναιτο, τῶν στερεῶν καὶ ἱππασίμων ἀποτεμόμενος τοὺς πολεμίους, ὤσειεν εἰς τὰ ἕλη. Τῶν δὲ οὐκ ἀνασχομένων, ἀλλ', ὡς ἀφείθησαν ὑπὸ τῶν στρατηγῶν, ἐντόνως καὶ ῥύδην ἐλαυνόντων, οὐ μόνον οἱ περὶ τὰ ἔργα τοῦ Σύλλα διεσκεδάσθησαν, ἀλλὰ καὶ τοῦ παρατεταγμένου συνεχύθη τὸ πλεῖστον φυγόντος. Ἔνθα δὴ Σύλλας αὐτὸς ἀποπηδήσας τοῦ ἵππου, καὶ σημεῖον ἀναρπάσας, ὠθεῖτο διὰ τῶν φευγόντων εἰς τοὺς πολεμίους βοῶν· « Ἐμοὶ μὲν ἐνταῦθά που καλὸν, ὦ Ῥωμαῖοι, τελευτᾶν. Ὑμεῖς δὲ τοῖς πυνθανομένοις, Ποῦ προδεδώκατε τὸν αὐτοκράτορα; μεμνημένοι φράζειν, ὡς ἐν Ὀρχομενῷ. » Τούτους τε δὴ τὸ ῥηθὲν ἐπέστρεψε, καὶ τῶν ἐπὶ τοῦ δεξιοῦ κέρως σπειρῶν δύο προσεβοήθησαν, ἃς ἐπαγαγὼν τρέπεται τοὺς πολεμίους. Ἀναγαγὼν δὲ μικρὸν ὀπίσω, καὶ δοὺς ἄριστον αὐτοῖς, αὖθις ἀπετάφρευε τὸν χάρακα τῶν πολεμίων. Οἱ δ' αὖθις ἐν τάξει μᾶλλον, ἢ πρότερον, προσεφέροντο. Καὶ Διογένης μὲν, ὁ τῆς Ἀρχελάου γυναικὸς υἱὸς, ἀριστεύων ἐπὶ τοῦ δεξιοῦ περιόπτως ἔπεσεν. Οἱ δὲ τοξόται, τῶν Ῥωμαίων ἐκβιαζομένων, οὐκ ἔχοντες ἀναστροφὴν, ἀθρόοις τοῖς οἰστοῖς ἐκ χειρὸς, ὥσπερ ξίφεσι, παίοντες ἀνέκοπτον αὐτούς· τέλος δὲ, κατακλεισθέντες εἰς τὸν χάρακα,

μοχθηρῶς ὑπὸ τραυμάτων καὶ φόνου διενυκτέρευσαν. Ἡμέρας δὲ πάλιν τῷ χάρακι τοὺς ςρατιώτας προσαγαγὼν ὁ Σύλλας ἀπετάφρευεν. Ἐξελθόντας δὲ τοὺς πολλοὺς ὡς ἐπὶ μάχην, συμβαλὼν τρέπεται, καὶ, πρὸς τὸν ἐκείνων φόβον οὐδενὸς μένοντος, αἱρεῖ κατὰ κράτος τὸ ςρατόπεδον. Καὶ κατέπλησαν ἀποθνήσκοντες αἵματος τὰ ἕλη, καὶ νεκρῶν τὴν λίμνην· ὥςε μέχρι νῦν πολλὰ βαρβαρικὰ τόξα, καὶ κράνη, καὶ θωράκων σπάσματα σιδηρῶν, καὶ μαχαίρας ἐμβεβαπτισμένας τοῖς τέλμασιν εὑρίσκεσθαι, σχεδὸν ἐτῶν διακοσίων ἀπὸ τῆς μάχης διαγεγονότων. Τὰ μὲν οὖν περὶ Χαιρώνειαν καὶ πρὸς Ὀρχομενῷ τοιαῦτα λέγεται γενέσθαι.

ΚΒ. Κίννα δὲ καὶ Κάρβωνος ἐν Ῥώμῃ τοῖς ἐπιφανεςάτοις ἀνδράσι χρωμένων παρανόμως καὶ βιαίως, πολλοὶ τὴν τυραννίδα φεύγοντες, ὥσπερ εἰς λιμένα τοῦ Σύλλα τὸ ςρατόπεδον κατεφέροντο, καὶ περὶ αὐτὸν ὀλίγου χρόνου σχῆμα βουλῆς ἐγεγόνει. Καὶ Μετέλλα, μόλις διακλέψασα ἑαυτὴν καὶ τοὺς παῖδας, ἧκεν ἀγγέλλουσα, τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις ὑπὸ τῶν ἐχθρῶν ἐμπεπρῆσθαι, καὶ δεομένη τοῖς οἴκοι βοηθεῖν. Ἀπορουμένῳ δ᾽ αὐτῷ, καὶ μήτε τῆς πατρίδος ἀμελεῖν ὑπομένοντι κακουμένης, μήτε, ὅπως ἄπεισιν ἀτελὲς λιπὼν τοσοῦτον ἔργον, τὸν Μιθριδατικὸν πόλεμον, ἐπινοοῦντι, παραγίνεται Δηλιακὸς ἔμπορος, Ἀρχέλαος, ἐλπίδας τινὰς καὶ λόγους κρύφα παρὰ τοῦ βασιλικοῦ κομίζων Ἀρχελάου. Καὶ τὸ πρᾶγμα Σύλλας οὕτως ἠγάπησεν, ὥς᾽ αὐτὸς εἰς λόγους σπεῦσαι τῷ Ἀρχελάῳ συνελθεῖν· καὶ συνῆλθον ἐπὶ θαλάττῃ περὶ Δήλιον, οὗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνός ἐςιν. Ἀρξαμένου δὲ τοῦ Ἀρχελάου διαλέγεσθαι, καὶ τὸν Σύλλαν ἀξιοῦντος, ἀφέντα τὴν Ἀσίαν καὶ τὸν Πόντον, ἐπὶ τὸν ἐν Ῥώμῃ πόλεμον πλεῖν, χρήματα λαβόντα καὶ τριήρεις καὶ δύναμιν, ὅσην βούλοιτο παρὰ τοῦ βασιλέως· ὑπολαβὼν ὁ Σύλλας, Μιθριδάτου μὲν ἀμελεῖν ἐκέλευεν, αὐτὸν δὲ βασιλεύειν ἀντ᾽ ἐκείνου, σύμμαχον Ῥωμαίων γενό-

μενον, καὶ παραδόντα τὰς ναῦς. Ἀφοσιουμένου δὲ τοῦ Ἀρχελάου τὴν προδοσίαν· « Εἶτα (ἔφη) σὺ μὲν, ὦ Ἀρχέλαε, Καππαδόκης ὢν, καὶ βαρβάρου βασιλέως δοῦλος, εἰ δὲ βούλει, φίλος, οὐχ ὑπομένεις ἐπὶ τηλικούτοις ἀγαθοῖς τὸ αἰσχρὸν, ἐμοὶ δὲ, ἡγεμόνι Ῥωμαίων ὄντι καὶ Σύλλᾳ, τολμᾷς διαλέγεσθαι περὶ προδοσίας, ὥσπερ οὐκ ἐκεῖνος ὢν Ἀρχέλαος, ὁ φυγὼν μὲν ἐκ Χαιρωνείας ὀλιγοστὸς ἀπὸ μυριάδων δυοκαίδεκα, κρυβεὶς δὲ δύο ἡμέρας ἐν τοῖς Ὀρχομενίων ἕλεσιν, ἄβατον δὲ τὴν Βοιωτίαν ὑπὸ νεκρῶν πλήθους ἀπολελοιπώς; » Ἐκ τούτου μεταβαλὼν ὁ Ἀρχέλαος, καὶ προσκυνήσας, ἐδεῖτο παύσασθαι τοῦ πολέμου, καὶ διαλλαγῆναι πρὸς τὸν Μιθριδάτην. Δεξαμένου δὲ τοῦ Σύλλα τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι, Μιθριδάτην μὲν Ἀσίαν ἀφεῖναι καὶ Παφλαγονίαν, ἐκστῆναί δὲ Βιθυνίας Νικομήδει, [καὶ] Καππαδοκίας Ἀριοβαρζάνῃ, καταβαλεῖν δὲ Ῥωμαίοις δισχίλια τάλαντα, καὶ δοῦναι ναῦς ἑβδομήκοντα χαλκήρεις μετὰ τῆς οἰκείας παρασκευῆς· Σύλλαν δ' ἐκείνῳ τήν τ' ἄλλην ἀρχὴν βεβαιοῦν, καὶ σύμμαχον Ῥωμαίων ψηφίζεσθαι.

ΚΓ. Τούτων ὁμολογηθέντων, ἀναστρέψας ἐβάδιζε διὰ Θετταλίας καὶ Μακεδονίας ἐπὶ τὸν Ἑλλήσποντον, ἔχων μεθ' αὐτοῦ τὸν Ἀρχέλαον ἐν τιμῇ. Καὶ νοσήσαντος ἐπισφαλῶς περὶ Λάρισσαν, ἐπιστήσας τὴν πορείαν, ὡς ἑνὸς τῶν ὑπ' αὐτὸν ἡγεμόνων καὶ συστρατήγων ἐπεμελήθη. Ταῦτά τε δὴ διέβαλε τὸ περὶ Χαιρώνειαν ἔργον, [ὡς] οὐχὶ καθαρῶς ἀγωνισθὲν, καὶ ὅτι τοὺς ἄλλους Μιθριδάτῃ φίλους, οὓς εἶχεν αἰχμαλώτους, ἀποδιδοὺς ὁ Σύλλας, Ἀριστίωνα μόνον τὸν τύραννον ἀνεῖλε διὰ φαρμάκων, Ἀρχελάῳ διάφορον ὄντα· μάλιστα δ' ἡ δοθεῖσα γῆ τῷ Καππαδόκῃ μυρίων πλέθρων ἐν Εὐβοίᾳ, καὶ τὸ Ῥωμαίων φίλον αὐτὸν καὶ σύμμαχον ὑπὸ Σύλλα ἀναγραφῆναι. Περὶ μὲν οὖν τούτων αὐτὸς ὁ Σύλλας ἐν τοῖς ὑπομνήμασιν ἀπολογεῖται. Τότε δὲ πρεσβευτῶν παρὰ τοῦ Μιθριδάτου παραγενομένων, καὶ τὰ

μὲν ἄλλα φασκόντων δέχεσθαι, Παφλαγονίαν δ' ἀξιούντων μὴ ἀφαιρεθῆναι, τὰς δὲ ναῦς οὐδ' ὅλως ὁμολογηθῆναι, χαλεπήνας ὁ Σύλλας· « Τί φατέ; (εἶπε) Μιθριδάτης Παφλαγονίας ἀντιποιεῖται, καὶ περὶ τῶν νεῶν ἔξαρνός ἐστιν, ὃν ἐγὼ προσκυνήσειν ἐνόμιζον, εἰ τὴν δεξιὰν αὐτῷ καταλείποιμι χεῖρα, δι' ἧς τοσούτους Ῥωμαίων ἀνεῖλεν; Ἑτέρας μέντοι τάχα φωνὰς ἀφήσει διαβάντος εἰς Ἀσίαν ἐμοῦ· νῦν δ' ἐν Περγάμῳ καθήμενος, ὃν οὐχ ἑώρακε διαστρατηγείτω πόλεμον. » Οἱ μὲν οὖν πρέσβεις φοβηθέντες ἡσύχαζον· ὁ δ' Ἀρχέλαος ἐδεῖτο τοῦ Σύλλα, καὶ κατεπράϋνε τὴν ὀργὴν, ἁπτόμενος τῆς δεξιᾶς αὐτοῦ, καὶ δακρύων. Τέλος δ' ἔπεισεν ἀποσταλῆναι αὐτὸν πρὸς τὸν Μιθριδάτην· διαπράξεσθαι γὰρ ἐφ' οἷς βούλεται τὴν εἰρήνην· εἰ δὲ μὴ πείθοι, κτενεῖν αὐτὸς ἑαυτόν. Ἐπὶ τούτοις ἐκπέμψας ἐκεῖνον, αὐτὸς εἰς τὴν Μαιδικὴν ἐνέβαλε, καὶ τὰ πολλὰ διαπορθήσας, πάλιν ἀνέστρεψεν εἰς Μακεδονίαν, καὶ τὸν Ἀρχέλαον ἐδέξατο περὶ Φιλίππους, ἀγγέλλοντα καλῶς ἔχειν πάντα· δεῖσθαι δὲ πάντως αὐτῷ τὸν Μιθριδάτην εἰς λόγους ἐλθεῖν. Αἴτιος δ' ἦν μάλιστα Φιμβρίας, ὃς τὸν ἀπὸ τῆς ἑτέρας στάσεως ἄρχοντα Φλάκκον ἀνελὼν, καὶ τῶν Μιθριδατικῶν στρατηγῶν κρατήσας, ἐπ' αὐτὸν ἐκεῖνον ἐβάδιζε. Ταῦτα γὰρ δείσας ὁ Μιθριδάτης, μᾶλλον εἵλετο τῷ Σύλλᾳ φίλος γενέσθαι.

ΚΔ. Συνῆλθον οὖν τῆς Τρῳάδος ἐν Δαρδάνῳ, Μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσίας ἐνήρεις, καὶ τῆς πεζῆς δυνάμεως, ὁπλίτας μὲν δισμυρίους, ἱππεῖς δὲ ἑξακισχιλίους, καὶ συχνὰ τῶν δρεπανηφόρων· Σύλλας δὲ, τέσσαρας σπείρας καὶ διακοσίους ἱππεῖς. Ἀπαντήσαντος δὲ τοῦ Μιθριδάτου, καὶ τὴν δεξιὰν προτείναντος, ἠρώτησεν αὐτὸν, εἰ καταλύσεται τὸν πόλεμον ἐφ' οἷς ὡμολόγησεν Ἀρχέλαος· σιωπῶντος δὲ τοῦ βασιλέως, ὁ Σύλλας· « Ἀλλὰ μὴν (ἔφη) τῶν δεομένων ἐστὶ τὸ προτέρους λέγειν, τοῖς δὲ νικῶσιν ἐξαρκεῖ τὸ σιωπᾶν. » Ἐπεὶ δ'

ἀρξάμενος τῆς ἀπολογίας ὁ Μιθριδάτης, ἐπειρᾶτο τοῦ πολέμου τὰ μὲν εἰς δαίμονας τρέπειν, τὰ δ' αὐτοὺς αἰτιᾶσθαι τοὺς Ῥωμαίους· ὑπολαβὼν ὁ Σύλλας ἔφη, πάλαι μὲν ἑτέρων ἀκούειν, νῦν δ' αὐτὸς ἐγνωκέναι τὸν Μιθριδάτην δεινότατον ὄντα ῥητορεύειν, ὃς ἐπὶ πράξεσιν οὕτω πονηραῖς καὶ παρανόμοις, λόγον ἐχόντων εὐπρέπειαν οὐκ ἠπόρηκεν. Ἐξελέγξας δὲ τὰ πεπραγμένα πικρῶς ὑπ' αὐτοῦ καὶ κατηγορήσας, πάλιν ἠρώτησεν, εἰ ποιεῖ τὰ συγκείμενα δι' Ἀρχελάου. Φήσαντος δὲ ποιεῖν, οὕτως ἠσπάσατο, καὶ περιλαβὼν ἐφίλησεν αὐτόν· Ἀριοβαρζάνην δ' αὖθις καὶ Νικομήδη τοὺς βασιλεῖς προσαγαγὼν διήλλαξεν. Ὁ μὲν οὖν Μιθριδάτης, ἑβδομήκοντα ναῦς παραδοὺς, καὶ τοξότας πεντακοσίους, εἰς Πόντον ἀπέπλευσεν. Ὁ δὲ Σύλλας, αἰσθόμενος ἀχθομένους τοὺς στρατιώτας τῇ διαλύσει (τὸν γὰρ ἔχθιστον τῶν βασιλέων, καὶ δεκαπέντε μυριάδας ἡμέρᾳ μιᾷ τῶν ἐν Ἀσίᾳ Ῥωμαίων κατασφαγῆναι παρασκευάσαντα, δεινὸν ἡγοῦντο μετὰ πλούτου καὶ λαφύρων ὁρᾶν ἐκπλέοντα τῆς Ἀσίας, ἣν ἔτη τέσσαρα λεηλατῶν καὶ φορολογῶν διετέλεσεν), ἀπελογεῖτο πρὸς αὐτοὺς, ὡς οὐκ ἂν ἅμα Φιμβρίᾳ καὶ Μιθριδάτῃ πολεμεῖν, εἰ συνέστησαν ἀμφότεροι κατ' αὐτοῦ, δυνηθείς.

ΚΕ. Ὁρμήσας δ' ἐκεῖθεν ἐπὶ Φιμβρίαν πρὸς Θυατείροις στρατοπεδεύοντα, καὶ πλησίον καταζεύξας, τάφρον τῷ στρατοπέδῳ περιέβαλεν. Οἱ δὲ τοῦ Φιμβρίου στρατιῶται, μονοχίτωνες ἐκ τοῦ στρατοπέδου προϊόντες, ἠσπάζοντο τοὺς ἐκείνου, καὶ συνελάμβανον αὐτοῖς τῶν ἔργων προθύμως. Ὁρῶν δὲ ὁ Φιμβρίας τὴν μεταβολὴν, καὶ τὸν Σύλλαν ὡς ἀδιάλλακτον δεδοικὼς, αὐτὸς ἑαυτὸν ἐν τῷ στρατοπέδῳ διέφθειρε. Σύλλας δὲ κοινῇ μὲν ἐζημίωσε τὴν Ἀσίαν δισμυρίοις ταλάντοις, ἰδίᾳ δὲ τοὺς οἴκους ἐξέτριψεν, ὕβρει καὶ πολιορκίᾳ τῶν ἐπισταθμευόντων. Ἐτέτακτο γὰρ ἑκάστης ἡμέρας τῷ καταλύτῃ τὸν ξένον διδόναι τέσσαρα τετράδραχμα, καὶ παρέχειν δεῖπνον αὐτῷ καὶ φίλοις, ὅσους ἂν

ἐθέλῃ καλεῖν· ταξίαρχον δὲ πεντήκοντα δραχμὰς λαμβάνειν τῆς ἡμέρας· ἐσθῆτα δ' ἄλλην μὲν οἰκουρῶν, ἄλλην δ' εἰς ἀγορὰν προερχόμενος.

Κϛ. Ἀναχθεὶς δὲ πάσαις ταῖς ναυσὶν ἐξ Ἐφέσου, τριταῖος ἐν Πειραιεῖ καθωρμίσθη· καὶ μυηθεὶς ἐξεῖλεν ἑαυτῷ τὴν Ἀπελλίκωνος τοῦ Τηΐου βιβλιοθήκην, ἐν ᾗ τὰ πλεῖστα τῶν Ἀριστοτέλους καὶ Θεοφράστου βιβλίων ἦν, οὔπω τότε σαφῶς γνωριζόμενα τοῖς πολλοῖς. Λέγεται δὲ, κομισθείσης αὐτῆς εἰς Ῥώμην, Τυραννίωνα τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλὰ, καὶ παρ' αὐτοῦ τὸν Ῥόδιον Ἀνδρόνικον, εὐπορήσαντα τῶν ἀντιγράφων, εἰς μέσον θεῖναι, καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. Οἱ δὲ πρεσβύτεροι Περιπατητικοὶ φαίνονται μὲν καθ' ἑαυτοὺς γενόμενοι χαρίεντες καὶ φιλολόγοι, τῶν δ' Ἀριστοτέλους καὶ Θεοφράστου γραμμάτων οὔτε πολλοῖς, οὔτ' ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸ τὸν Νηλέως τοῦ Σκηψίου κλῆρον, ᾧ τὰ βιβλία κατέλιπε Θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους παραγενέσθαι. Σύλλᾳ δὲ διατρίβοντι περὶ τὰς Ἀθήνας, ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὅ φησιν ὁ Στράβων ποδάγρας ψελλισμὸν εἶναι. Διαπλεύσας οὖν εἰς Αἴδηψον, ἐχρῆτο τοῖς θερμοῖς ὕδασι, ῥαθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. Περιπατοῦντος δὲ πρὸς τῇ θαλάττῃ, ἁλιεῖς τινες ἰχθῦς αὐτῷ παγκάλους προσήνεγκαν. Ἡσθεὶς δὲ τοῖς δώροις, καὶ πυθόμενος, ὡς ἐξ Ἁλαιῶν εἶεν· « Ἔτι γὰρ ζῇ τις Ἁλαίων;» ἔφη· ἐτύγχανε γὰρ, ὅτε τὴν πρὸς Ὀρχομενῷ μάχην νενικηκὼς ἐδίωκε τοὺς πολεμίους, ἅμα τρεῖς πόλεις τῆς Βοιωτίας, Ἀνθηδόνα, Λάρυμναν, Ἁλαίας ἀνῃρηκώς. Τῶν δ' ἀνθρώπων ὑπὸ δέους ἀφώνων γενομένων, διαμειδιάσας, ἐκέλευσεν ἀπιέναι χαίροντας, ὡς οὐ μετὰ φαύλων, οὐδ' ἀξίων ὀλιγωρίας ἥκοντας παραιτητῶν. Ἁλαῖοι μὲν ἐκ τούτου λέγουσι θαῤῥήσαντες, αὖθις εἰς τὴν πόλιν συνελθεῖν.

ΚΖ. Σύλλας δὲ διὰ Θετταλίας καὶ Μακεδονίας καταβὰς ἐπὶ θάλατταν, παρεσκευάζετο χιλίαις ναυσὶ καὶ διακοσίαις ἀπὸ Δυῤῥαχίου διαβάλλειν εἰς Βρεντέσιον. Ἡ δ' Ἀπολλωνία πλησίον ἐστὶ, καὶ πρὸς αὐτῇ τὸ Νύμφαιον, ἱερὸς τόπος, ἐκ χλοερᾶς νάπης καὶ λειμώνων ἀναδιδοὺς πυρὸς πηγὰς σποράδας ἐνδελεχῶς ῥέοντος. Ἐνταῦθα φασὶ κοιμώμενον ἁλῶναι σάτυρον, οἷον οἱ πλάσται καὶ γραφεῖς εἰκάζουσιν· ἀχθέντα δὲ ὡς Σύλλαν, ἐρωτᾶσθαι δι' ἑρμηνέων πολλῶν, ὅστις εἴη· φθεγξαμένου δὲ μόλις οὐδὲν συνετῶς, ἀλλὰ τραχεῖαν καὶ μάλιστα μεμιγμένην ἵππου τε χρεμετισμῷ καὶ τράγου μηκασμῷ φωνὴν ἀφέντος, ἐκπλαγέντα τὸν Σύλλαν ἀποδιοπομπήσασθαι. Μέλλοντος δὲ τοὺς στρατιώτας διαπεραιοῦν, καὶ δεδιότος, μὴ, τῆς Ἰταλίας ἐπιλαβόμενοι, κατὰ πόλεις ἕκαστοι διαῤῥυῶσι, πρῶτον μὲν ὤμοσαν ἀφ' αὑτῶν παραμενεῖν, καὶ μηδὲν ἑκουσίως κακουργήσειν τὴν Ἰταλίαν· ἔπειτα χρημάτων δεόμενον πολλῶν ὁρῶντες, ἀπήρχοντο καὶ συνεισέφερον ὡς ἕκαστος εἶχεν εὐπορίας. Οὐ μὴν ἐδέξατο τὴν ἀπαρχὴν ὁ Σύλλας, ἀλλ' ἐπαινέσας καὶ παρορμήσας, διέβαινεν, ὥς φησιν αὐτὸς, ἐπὶ πεντεκαίδεκα στρατηγοὺς πολεμίους, πεντήκοντα καὶ τετρακοσίας σπείρας ἔχοντας, ἐκδηλότατα τοῦ θεοῦ τὰς εὐτυχίας προσημαίνοντος αὐτῷ. Θύσαντος μὲν γὰρ εὐθέως ᾗ διέβη περὶ Τάραντα, δάφνης στεφάνου τύπον ἔχων ὁ λοβὸς ὤφθη, καὶ λημνίσκων δύο κατηρτημένων. Μικρὸν δὲ πρὸ τῆς διαβάσεως, ἐν Καμπανίᾳ περὶ τὸ Ἥφαιον ὄρος ἡμέρας ὤφθησαν δύο τράγοι μεγάλοι συμφερόμενοι, καὶ πάντα δρῶντες καὶ πάσχοντες, ἃ συμβαίνει μαχομένοις ἀνθρώποις. Ἦν δ' ἄρα φάσμα· καὶ κατὰ μικρὸν αἰρόμενον ἀπὸ γῆς, διεσπείρετο πολλαχοῦ τοῦ ἀέρος, εἰδώλοις ἀμαυροῖς ὅμοιον, εἶτα οὕτως ἠφανίσθη. Καὶ μετ' οὐ πολὺν χρόνον ἐν τῷ τόπῳ τούτῳ Μαρίου τοῦ νέου καὶ Νορβανοῦ τοῦ ὑπάτου μεγάλας δυνάμεις ἐπαγαγόντων, ὁ Σύλλας, οὔτε τάξιν ἀποδοὺς, οὔτε λοχίσας τὸ οἰκεῖον στράτευμα,

ῥώμῃ δὲ προθυμίας κοινῆς καὶ φορᾷ τόλμης ἀποχρησάμενος, ἐτρέψατο τοὺς πολεμίους, καὶ κατέκλεισεν εἰς Καπύην πόλιν τὸν Νορβανὸν, ἑπτακισχιλίους ἀποκτείνας. Τοῦτο αἴτιον αὐτῷ γενέσθαι φησὶ τοῦ μὴ διαλυθῆναι τοὺς ςρατιώτας κατὰ πόλεις, ἀλλὰ συμμεῖναι καὶ καταφρονῆσαι τῶν ἐναντίων, πολλαπλασίων ὄντων. Ἐν δὲ Σιλβίῳ φησὶν οἰκέτην Ποντίου θεοφόρητον ἐντυχεῖν αὐτῷ, λέγοντα παρὰ τῆς Ἐνυοῦς κράτος πολέμου καὶ νίκην ἀπαγγέλλειν· εἰ δὴ μὴ σπεύσειεν, ἐμπεπρήσεσθαι τὸ Καπιτώλιον· ὃ καὶ συμβῆναι τῆς ἡμέρας ἐκείνης, ἧς ὁ ἄνθρωπος προηγόρευσεν. Ἦν δὲ αὕτη πρὸ μιᾶς νόνων Κυϊντιλίων, ἃς νῦν Ἰουλίας καλοῦμεν. Ἔτι δὲ Μάρκος Λεύκολλος, εἷς τῶν ὑπὸ Σύλλᾳ ςρατηγούντων, περὶ Φιδεντίαν ἑκκαίδεκα σπείραις πρὸς πεντήκοντα τὰς τῶν πολεμίων ἀντιταχθεὶς, τῇ μὲν προθυμίᾳ τῶν ςρατιωτῶν ἐπίςευεν, ἀνόπλους δὲ τοὺς πολλοὺς ἔχων, ὤκνει. Βουλευομένου δ᾽ αὐτοῦ καὶ διαμέλλοντος, ἀπὸ τοῦ πλησίον πεδίου, λειμῶνα ἔχοντος, αὖρα φέρουσα μαλακὴ πολλὰ τῶν ἀνθέων ἐπέβαλε τῇ στρατιᾷ καὶ κατέσπειρεν, αὐτομάτως ἐπιμένοντα καὶ περιπίπτοντα τοῖς θυρεοῖς καὶ τοῖς κράνεσιν αὐτῶν, ὥςε φαίνεσθαι τοῖς πολεμίοις ἐστεφανωμένους. Γενόμενοι δὲ ὑπὸ τούτου προθυμότεροι συνέβαλον, καὶ νικήσαντες, ὀκτακισχιλίους ἐπὶ μυρίοις ἀπέκτειναν, καὶ τὸ ςρατόπεδον εἷλον. Οὗτος ὁ Λεύκολλος ἀδελφὸς ἦν Λευκόλλου τοῦ Μιθριδάτην ὕςερον καὶ Τιγράνην καταπολεμήσαντος.

ΚΗ. Ὁ δὲ Σύλλας ἔτι πολλοῖς ςρατοπέδοις καὶ μεγάλαις δυνάμεσι περικεχυμένους αὐτῷ τοὺς πολεμίους ὁρῶν πανταχόθεν, ἥπτετο δυνάμει καὶ δι᾽ ἀπάτης, προκαλούμενος εἰς διαλύσεις τὸν ἕτερον τῶν ὑπάτων Σκιπίωνα. Δεξαμένου δ᾽ ἐκείνου, σύλλογοι μὲν ἐγίνοντο καὶ κοινολογίαι πλείονες, ἀεὶ δέ τινα παραγωγὴν καὶ πρόφασιν ἐμβάλλων ὁ Σύλλας, διέφθειρε τοὺς περὶ Σκιπίωνα τοῖς ἑαυτοῦ ςρατιώταις, ἠσκημένοις

πρὸς ἀπάτην καὶ γοητείαν ἅπασαν, ὥσπερ αὐτὸς ὁ ἡγεμών. Εἰσιόντες γὰρ εἰς τὸν χάρακα τῶν πολεμίων καὶ ἀναμιγνύμενοι, τοὺς μὲν εὐθὺς ἀργυρίῳ, τοὺς δὲ ὑποσχέσεσι, τοὺς δὲ κολακεύοντες καὶ ἀναπείθοντες προσήγοντο. Τέλος δὲ, τοῦ Σύλλα μετὰ σπειρῶν εἴκοσι προσελθόντος ἐγγὺς, οἱ μὲν ἠσπάσαντο τοὺς τοῦ Σκιπίωνος, οἱ δ' ἀντασπασάμενοι προσεχώρησαν· ὁ δὲ Σκιπίων, ἔρημος ἐν τῇ σκηνῇ ληφθεὶς, ἠφείθη. Σύλλας δὲ ταῖς εἴκοσι σπείραις, ὥσπερ ἠθάσιν ὄρνισι, τεσσαράκοντα τὰς τῶν πολεμίων παλεύσας, ἀπήγαγεν εἰς τὸ ςρατόπεδον ἅπαντας. Ὅτε καὶ Κάρϐωνα φασὶν εἰπεῖν, ὡς ἀλώπεκι καὶ λέοντι πολεμῶν, ἐν τῇ Σύλλα ψυχῇ κατοικοῦσιν, ὑπὸ τῆς ἀλώπεκος ἀνιῷτο μᾶλλον. Ἐκ τούτου περὶ Σίγνιον Μάριος ὀγδοήκοντα καὶ πέντε σπείρας ἔχων προὐκαλεῖτο Σύλλαν. Ὁ δὲ καὶ πάνυ πρόθυμος ἦν διαγωνίσασθαι κατ' ἐκείνην τὴν ἡμέραν· ἐτύγχανε γὰρ ὄψιν ἑωρακὼς τοιάνδε κατὰ τοὺς ὕπνους. Ἐδόκει τὸν γέροντα Μάριον τεθνηκότα πάλαι τῷ παιδὶ Μαρίῳ παραινεῖν, φυλάξασθαι τὴν ἐπιοῦσαν ἡμέραν ὡς μεγάλην αὐτῷ δυςυχίαν φέρουσαν. Διὰ τοῦτο μὲν δὴ πρόθυμος ὁ Σύλλας ἦν μάχεσθαι, καὶ μετεπέμπετο τὸν Δολοϐέλλαν ἄπωθεν ςρατοπεδεύοντα. Τῶν δὲ πολεμίων ἐφιςαμένων ταῖς ὁδοῖς καὶ ἀποφραττόντων, οἱ τοῦ Σύλλα προσμαχόμενοι καὶ ὁδοποιοῦντες ἔκαμνον· καὶ πολὺς ὄμϐρος ἅμα τοῖς ἔργοις ἐπιγενόμενος, μᾶλλον ἐκάκωσεν αὐτούς. Ὅθεν οἱ ταξίαρχοι, προσιόντες τῷ Σύλλᾳ, ἐδέοντο τὴν μάχην ἀναϐαλέσθαι, δεικνύντες ἅμα τοὺς ςρατιώτας ἐῤῥιμμένους ὑπὸ κόπου, καὶ προσαναπαυομένους χαμᾶζε τοῖς θυρεοῖς κεκλιμένους. Ἐπεὶ δὲ συνεχώρησεν ἄκων, καὶ πρόσαγμα καταζεύξεως ἔδωκεν, ἀρχομένων αὐτῶν τὸν χάρακα βάλλειν καὶ τάφρον ὀρύσσειν πρὸ τῆς στρατοπεδείας, ἐπήλαυνε σοϐαρῶς ὁ Μάριος προϊππεύων, ὡς ἀτάκτους καὶ τεθορυϐημένους διασκεδάσων. Ἐνταῦθα τῷ Σύλλᾳ τὴν κατὰ τοὺς ὕπνους φωνὴν ὁ δαίμων συνετέλει.

Ὀργὴ γὰρ αὐτοῦ τοῖς ϛρατιώταις παρέϛη, καὶ παυσάμενοι τῶν ἔργων, τοὺς μὲν ὑσσοὺς κατέπηξαν ἐπὶ τῇ τάφρῳ, σπασάμενοι δὲ τὰ ξίφη καὶ συναλαλάξαντες, ἐν χερσὶν ἦσαν τῶν πολεμίων. Οἱ δ' οὐ πολὺν ὑπέϛησαν χρόνον, ἀλλὰ γίνεται πολὺς φόνος αὐτῶν τραπέντων. Μάριος δὲ φεύγων εἰς Πραινεστὸν, ἤδη τὰς πύλας εὗρε κεκλεισμένας. Καλωδίου δὲ ἄνωθεν ἀφεθέντος, ἐνζώσας ἑαυτὸν, ἀνελήφθη πρὸς τὸ τεῖχος. Ἔνιοι δέ φασιν, ὧν καὶ Φενεστέλλας ἐστὶν, οὐδ' αἰσθέσθαι τῆς μάχης τὸν Μάριον, ἀλλ' ἐξ ἀγρυπνιῶν καὶ κόπων, ὑπὸ σκιᾷ τινι χαμαὶ κατακλινέντα, τοῦ συνθήματος δοθέντος, ἐνδοῦναι πρὸς ὕπνον, εἶτα μόλις ἐξεγείρεσθαι, τῆς φυγῆς γενομένης. Ἐν ταύτῃ τῇ μάχῃ Σύλλας φησὶν εἰκοσιτρεῖς μόνους ἀποβαλεῖν, ἀποκτεῖναι δὲ τῶν πολεμίων δισμυρίους, καὶ λαβεῖν ζῶντας ὀκτακισχιλίους. Καὶ τἄλλα δὲ ὁμοίως εὐτυχεῖτο διὰ τῶν ϛρατηγῶν, Πομπηΐου, Κράσσου, Μετέλλου, Σερουϊλίου. Οὐδὲν γὰρ, ἢ μικρὰ, προσκρούσαντες οὗτοι, μεγάλας συνέτριψαν δυνάμεις τῶν πολεμίων, ὥστε τὸν μάλιστα τὴν ἐναντίαν στάσιν συνέχοντα Κάρβωνα, νύκτωρ ἀποδράντα τὴν ἑαυτοῦ ϛρατιὰν, εἰς Λιβύην ἐκπλεῦσαι.

ΚΘ. Τὸν μέντοι τελευταῖον ἀγῶνα, καθάπερ ἔφεδρος ἀθλητῇ καταπόνῳ προσενεχθεὶς, ὁ Σαυνίτης Τελεσῖνος ἐγγὺς ἦλθε τοῦ σφῆλαι καὶ καταβαλεῖν ἐπὶ θύραις τῆς Ῥώμης. Ἔσπευδε μὲν γὰρ ἅμα Λαμπονίῳ τῷ Λευκανῷ, χεῖρα πολλὴν ἀθροίσας, ἐπὶ Πραινεστὸν, ὡς ἐξαρπασόμενος τῆς πολιορκίας τὸν Μάριον. Ἐπεὶ δ' ᾔσθετο, Σύλλαν μὲν κατὰ στόμα, Πομπήϊον δὲ κατ' οὐρὰν, βοηδρομοῦντας ἐπ' αὐτὸν, εἰργόμενος τοῦ πρόσω καὶ ὀπίσω, πολεμιστὴς ἀνὴρ καὶ μεγάλων ἀγώνων ἔμπειρος, ἄρας νυκτὸς ἐπ' αὐτὴν ἐχώρει παντὶ τῷ ϛρατοπέδῳ τὴν Ῥώμην. Καὶ μικροῦ μὲν ἐδέησεν ἐμπεσεῖν εἰς ἀφύλακτον· ἀποσχὼν δὲ τῆς Κολλίνης πύλης δέκα ϛαδίους, ἐπηυλίσατο τῇ πόλει, μεγαλοφρονῶν καὶ ταῖς ἐλπίσιν ἐπηρμένος, ὡς τοσούτους ἡγεμόνας καὶ

τηλικούτους κατεστρατηγηκώς. Ἅμα δ' ἡμέρᾳ, τῶν λαμπροτάτων νέων ἐξιππασαμένων ἐπ' αὐτὸν, ἄλλους τε πολλοὺς καὶ Κλαύδιον Ἄππιον, εὐγενῆ καὶ ἀγαθὸν ἄνδρα, κατέβαλε. Θορύβου δὲ, οἷον εἰκὸς, ὄντος ἐν τῇ πόλει, καὶ βοῆς γυναικείας, καὶ διαδρομῶν, ὡς ἁλισκομένων κατὰ κράτος, πρῶτος ὤφθη Βάλβος ἀπὸ Σύλλα προσελαύνων ἀνὰ κράτος ἱππεῦσιν ἑπτακοσίοις. Διαλιπὼν δὲ, ὅσον ἀναψύξαι τὸν ἱδρῶτα τῶν ἵππων, εἶτ' αὖθις ἐγχαλινώσας διὰ ταχέων, ἐξήπτετο τῶν πολεμίων. Ἐν τούτῳ δὲ καὶ Σύλλας ἐφαίνετο, καὶ τοὺς πρώτους εὐθὺς ἀριστᾷν κελεύων, εἰς τάξιν καθίστη. Πολλὰ δὲ Δολοβέλλα καὶ Τουρκουάτου δεομένων ἐπισχεῖν, καὶ μὴ κατακόπους ἔχοντα τοὺς ἄνδρας, ἀποκινδυνεῦσαι περὶ τῶν ἐσχάτων (οὐ γὰρ Κάρβωνα καὶ Μάριον, ἀλλὰ Σαυνίτας καὶ Λευκανοὺς, τὰ ἔχθιστα τῇ Ῥώμῃ καὶ *τὰ* πολεμιώτατα φῦλα συμφέρεσθαι), παρωσάμενος αὐτοὺς ἐκέλευσε σημαίνειν τὰς σάλπιγγας ἀρχὴν ἐφόδου, σχεδὸν εἰς ὥραν δεκάτην ἤδη τῆς ἡμέρας καταστρεφούσης. Γενομένου δ' ἀγῶνος, οἷος οὐχ ἕτερος, τὸ μὲν δεξιὸν, ἐν ᾧ Κράσσος ἐτέτακτο, λαμπρῶς ἐνίκα· τῷ δὲ εὐωνύμῳ πονοῦντι καὶ κακῶς ἔχοντι Σύλλας παρεβοήθει λευκὸν ἵππον ἔχων θυμοειδῆ καὶ ποδωκέστατον· ἀφ' οὗ γνωρίσαντες αὐτὸν δύο τῶν πολεμίων, διετείνοντο τὰς λόγχας ὡς ἀφήσοντες. Αὐτὸς μὲν οὖν οὐ προενόησε, τοῦ δ' ἱπποκόμου μαστίξαντος τὸν ἵππον, ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον περὶ τὴν οὐρὰν τοῦ ἵππου τὰς αἰχμὰς συμπεσούσας εἰς τὴν γῆν παγῆναι. Λέγεται δ' ἔχων τι χρυσοῦν Ἀπόλλωνος ἀγαλμάτιον ἐκ Δελφῶν, ἀεὶ μὲν αὐτὸ κατὰ τὰς μάχας περιφέρειν ἐν τῷ κόλπῳ, ἀλλὰ καὶ τότε τοῦτο καταφιλεῖν, οὕτω δὴ λέγων· «Ὦ Πύθιε Ἄπολλον, τὸν εὐτυχῆ Σύλλαν Κορνήλιον ἐν τοσούτοις ἀγῶσιν ἄρας λαμπρὸν καὶ μέγαν, ἐνταῦθα ῥίψεις ἐπὶ θύραις τῆς πατρίδος ἀγαγὼν, αἴσχιστα τοῖς ἑαυτοῦ συναπολούμενον πολίταις;» Τοιαῦτα φασὶ τὸν Σύλλαν θεοκλυτοῦντα, τοὺς μὲν ἀντιβολεῖν,

τοῖς δ' ἀπειλεῖν, τῶν δ' ἐπιλαμβάνεσθαι· τέλος δὲ, τοῦ εὐωνύμου συντριβέντος, ἀναμιχθέντα τοῖς φεύγουσιν, εἰς τὸ ϛρατόπεδον καταφυγεῖν, πολλοὺς ἀποβαλόντα τῶν ἑταίρων καὶ γνωρίμων. Οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐκ τῆς πόλεως ἐπὶ θέαν προελθόντες, ἀπώλοντο καὶ κατεπατήθησαν· ὥϛε τὴν μὲν πόλιν οἴεσθαι διαπεπρᾶχθαι, παρ' ὀλίγον δὲ καὶ τὴν Μαρίου πολιορκίαν λυθῆναι, πολλῶν ἐκ τῆς τροπῆς ὠσαμένων ἐκεῖ, καὶ τὸν ἐπὶ τῇ πολιορκίᾳ τεταγμένον Ὀφέλλαν Λουκρήτιον ἀναζευγνύναι κατὰ τάχος κελευόντων, ὡς ἀπολωλότος τοῦ Σύλλα, καὶ τῆς Ῥώμης ἐχομένης ὑπὸ τῶν πολεμίων.

Λ. Ἤδη δὲ νυκτὸς οὔσης βαθείας, ἧκον εἰς τὸ τοῦ Σύλλα ϛρατόπεδον παρὰ τοῦ Κράσσου, δεῖπνον αὐτῷ καὶ τοῖς στρατιώταις μετιόντες. Ὡς γὰρ ἐνίκησε τοὺς πολεμίους, εἰς Ἄντεμναν καταδιώξαντες, ἐκεῖ κατεϛρατοπέδευσαν. Ταῦτ' οὖν πυθόμενος ὁ Σύλλας, καὶ ὅτι τῶν πολεμίων οἱ πλεῖϛοι διολώλασιν, ἧκεν εἰς Ἄντεμναν ἅμ' ἡμέρᾳ, καὶ τρισχιλίων ἐπικηρυκευσαμένων πρὸς αὐτὸν, ὑπέσχετο δώσειν τὴν ἀσφάλειαν, εἰ κακόν τι τοὺς ἄλλους ἐργασάμενοι πολεμίους ἔλθοιεν πρὸς αὐτόν. Οἱ δὲ, πιστεύσαντες ἐπέθεντο τοῖς λοιποῖς, καὶ πολλοὶ κατεκόπησαν ὑπ' ἀλλήλων. Οὐ μὴν ἀλλὰ καὶ τούτους, καὶ τῶν ἄλλων τοὺς περιγενομένους εἰς ἑξακισχιλίους, ἀθροίσας παρὰ τὸν ἱππόδρομον, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τῆς Ἐνυοῦς ἱερόν. Ἅμα δ' αὐτός τε λέγειν ἐνήρχετο, καὶ κατέκοπτον οἱ τεταγμένοι τοὺς ἑξακισχιλίους. Κραυγῆς δὲ, ὡς εἰκὸς, ἐν χωρίῳ μικρῷ τοσούτων σφαττομένων φερομένης, καὶ τῶν συγκλητικῶν ἐκπλαγέντων, ὥσπερ ἐτύγχανε λέγων, ἀτρέπτῳ καὶ καθεϛηκότι τῷ προσώπῳ, προσέχειν ἐκέλευσεν αὐτοὺς τῷ λόγῳ, τὰ δ' ἔξω γινόμενα μὴ πολυπραγμονεῖν· νουθετεῖσθαι γὰρ, αὐτοῦ κελεύσαντος, ἐνίους τῶν πονηρῶν. Τοῦτο καὶ τῷ βραδυτάτῳ Ῥωμαίων νοῆσαι παρέϛησεν, ὡς ἀλλαγὴ τὸ χρῆμα τυραννίδος, οὐκ ἀπαλλαγὴ γέγονε.

Μάριος μὲν οὖν, ἀπ' ἀρχῆς χαλεπὸς ὢν, ἐπέτεινεν, οὐ μετέβαλε τῇ ἐξουσίᾳ τὴν φύσιν. Σύλλας δὲ, μετρίως τὰ πρῶτα καὶ πολιτικῶς ὁμιλήσας τῇ τύχῃ, καὶ δόξαν ἀριςοκρατικοῦ καὶ δημωφελοῦς ἡγεμόνος παρασχὼν, ἔτι δὲ καὶ φιλόγελως ἐκ νέου γενόμενος, καὶ πρὸς οἶκτον ὑγρὸς, ὥστε ῥᾳδίως ἐπιδακρύειν, εἰκότως προσετρίψατο ταῖς μεγάλαις ἐξουσίαις διαβολὴν, ὡς τὰ ἤθη μένειν οὐκ ἐώσαις ἐπὶ τῶν ἐξ ἀρχῆς τρόπων, ἀλλ' ἔμπληκτα καὶ χαῦνα καὶ ἀπάνθρωπα ποιούσαις. Τοῦτο μὲν οὖν, εἴτε κίνησίς ἐςι καὶ μεταβολὴ φύσεως ὑπὸ τύχης, εἴτε μᾶλλον ὑποκειμένης ἀποκάλυψις ἐν ἐξουσίᾳ κακίας, ἑτέρα τις ἂν διορίσειε πραγματεία.

ΛΑ. Τοῦ δὲ Σύλλα πρὸς τὸ σφάττειν τραπομένου, καὶ φόνων, οὔτ' ἀριθμὸν, οὔθ' ὅρον ἐχόντων, ἐμπιπλάντος τὴν πόλιν, ἀναιρουμένων πολλῶν καὶ κατ' ἰδίας ἔχθρας, οἷς οὐδὲν ἦν πρᾶγμα πρὸς Σύλλαν, ἐφιέντος αὐτοῦ καὶ χαριζομένου τοῖς περὶ αὐτὸν, ἐτόλμησε τῶν νέων εἷς, Γάϊος Μέτελλος, ἐν τῇ συγκλήτῳ τοῦ Σύλλα πυθέσθαι, Τί πέρας ἔςαι τῶν κακῶν, καὶ ποῖ προελθόντος αὐτοῦ, δεῖ πεπαύσεσθαι τὰ γινόμενα προσδοκᾷν; «Παραιτούμεθα γὰρ (εἶπεν) οὐχ οὓς σὺ ἔγνωκας ἀναιρεῖν, τῆς τιμωρίας, ἀλλὰ τῆς ἀμφιβολίας, οὓς ἔγνωκας σώζειν.» Ἀποκριναμένου δὲ τοῦ Σύλλα, μηδέπω γινώσκειν, οὓς ἀφίησιν· ὑπολαβὼν ὁ Μέτελλος· «Οὐκοῦν (ἔφη) δήλωσον, οὓς μέλλεις κολάζειν.» Καὶ ὁ Σύλλας ἔφη τοῦτο ποιήσειν. Ἔνιοι δ' οὐ τὸν Μέτελλον, ἀλλ' Ἀφίδιόν τινα τῶν πρὸς χάριν ὁμιλούντων τῷ Σύλλᾳ, τὸ τελευταῖον εἰπεῖν λέγουσιν. Ὁ δ' οὖν Σύλλας εὐθὺς ὀγδοήκοντα προέγραψεν, οὐδενὶ τῶν ἐν τέλει κοινωσάμενος. Ἀγανακτούντων δὲ πάντων, μίαν ἡμέραν διαλιπὼν, ἄλλους προέγραψεν εἴκοσι καὶ διακοσίους, εἶτα τρίτῃ πάλιν οὐκ ἐλάττους. Ἐπὶ δὲ τούτοις δημηγορῶν, εἶπεν, ὅσους μεμνημένος τυγχάνει προγράφειν· τοὺς δὲ νῦν διαλανθάνοντας αὖθις προγράψειν. Προέγραφε δὲ, τῷ

μὲν ὑποδεξαμένῳ, καὶ διασώσαντι τὸν προγεγραμμένον, ζημίαν τῆς φιλανθρωπίας ὁρίζων θάνατον, οὐκ ἀδελφὸν, οὐχ υἱὸν, οὐ γονεῖς ὑπεξελόμενος· τῷ δ' ἀποκτείναντι γέρας δύο τάλαντα τῆς ἀνδροφονίας, κἂν δοῦλος δεσπότην, κἂν πατέρα υἱὸς ἀνέλῃ. Ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε, τῶν γὰρ προγεγραμμένων ἠτίμωσε καὶ υἱοὺς καὶ υἱωνοὺς, καὶ τὰ χρήματα πάντων ἐδήμευσε. Προεγράφοντο δ' οὐκ ἐν Ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ πόλει τῆς Ἰταλίας· καὶ φονευομένων οὔτε ναὸς ἦν καθαρὸς θεοῦ, οὔτε ἑστία ξένιος, οὔτ' οἶκος πατρῷος, ἀλλὰ καὶ παρὰ γυναιξὶ γαμεταῖς ἄνδρες ἐσφάττοντο, καὶ παρὰ μητράσι παῖδες. Ἦσαν δ' οἱ δι' ὀργὴν ἀπολλύμενοι καὶ δι' ἔχθραν οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων. Ἀλλὰ καὶ λέγειν ἐπῄει τοῖς κολάζουσιν, ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη, τόνδε δὲ κῆπος, ἄλλον ὕδατα θερμά. Κόϊντος δ' Αὐρήλιος, ἀνὴρ ἀπράγμων, καὶ τοσοῦτον αὐτῷ μετεῖναι τῶν κακῶν νομίζων, ὅσον ἄλλοις συναλγεῖν ἀτυχοῦσιν, εἰς ἀγορὰν ἐλθὼν, ἀνεγίνωσκε τοὺς προγεγραμμένους· εὑρὼν δὲ ἑαυτὸν· « Οἴμοι τάλας, (εἶπε)· διώκει με τὸ ἐν Ἀλβανῷ χωρίον.» Καὶ βραχὺ προελθὼν, ὑπό τινος ἀπεσφάγη καταδιώξαντος.

ΛΒ. Ἐν τούτῳ δὲ Μάριος μὲν ἁλισκόμενος ἑαυτὸν διέφθειρε. Σύλλας δ' εἰς Πραινεστὸν ἐλθὼν, πρῶτα μὲν ἰδίᾳ κατ' ἄνδρα κρίνων ἐκόλαζεν, εἶτα, ὡς οὐ σχολῆς οὔσης, πάντας ἀθρόως εἰς ταὐτὸ συναγαγὼν, μυρίους καὶ δισχιλίους ὄντας, ἐκέλευσεν ἀποσφάττειν, μόνῳ τῷ ξένῳ διδοὺς ἄδειαν. Ὁ δ', εὐγενῶς πάνυ φήσας πρὸς αὐτὸν, ὡς οὐδέποτε σωτηρίας χάριν εἴσεται τῷ φονεῖ τῆς πατρίδος, ἀναμιχθεὶς ἑκὼν συγκατεκόπη τοῖς πολίταις. Ἔδοξε δὲ καινότατον γενέσθαι τὸ περὶ Λεύκιον Κατιλίναν. Οὗτος γὰρ, οὔπω τῶν πραγμάτων κεκριμένων, ἀνῃρηκὼς ἀδελφὸν, ἐδεήθη τοῦ Σύλλα τότε προγράψαι τὸν ἄνθρωπον, ὡς ζῶντα· καὶ προεγράφη. Τούτου δὲ τῷ Σύλλᾳ χάριν ἐκτίνων, Μάρκον τινὰ Μάριον τῶν ἐκ τῆς ἐναντίας στάσεως ἀποκτείνας,

τὴν μὲν κεφαλὴν ἐν ἀγορᾷ καθεζομένῳ τῷ Σύλλᾳ προσήνεγκε, τῷ δὲ περιῤῥαντηρίῳ τοῦ Ἀπόλλωνος ἐγγὺς ὄντι προσελθὼν, ἀπενίψατο τὰς χεῖρας.

ΛΓ. Ἔξω δὲ τῶν φονικῶν καὶ τὰ λοιπὰ τοὺς ἀνθρώπους ἐλύπει. Δικτάτωρα μὲν γὰρ ἑαυτὸν ἀνηγόρευσε, δι' ἐτῶν ἑκατὸν εἴκοσι τοῦτο τὸ γένος τῆς ἀρχῆς ἀναλαβών. Ἐψηφίσθη δ' αὐτῷ πάντων ἄδεια τῶν γεγονότων· πρὸς δὲ τὸ μέλλον, ἐξουσία θανάτου, δημεύσεως, κληρουχιῶν, κτίσεως, πορθήσεως, ἀφελέσθαι βασιλείαν, ᾧ βούλοιτο χαρίσασθαι. Τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς, ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι, γυναιξὶν εὐμόρφοις, καὶ λυρῳδοῖς, καὶ μίμοις, καὶ καθάρμασιν ἐξελευθερικοῖς, ἐθνῶν χώρας καὶ πόλεων χαριζομένου προσόδους, ἐνίοις δὲ γάμους ἀκουσίως ζευγνυμένων γυναικῶν. Πομπήϊόν γέ τοι βουλόμενος οἰκειώσασθαι τὸν Μάγνον, ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν· Αἰμιλίαν δὲ, Σκαύρου θυγατέρα καὶ Μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας Μανίου Γλαβρίωνος, ἐγκύμονα συνῴκισεν αὐτῷ· ἀπέθανε δ' ἡ κόρη παρὰ τῷ Πομπηΐῳ τίκτουσα. Λουκρητίου δ' Ὀφέλλα, τοῦ Μάριον ἐκπολιορκήσαντος, αἰτουμένου καὶ μετιόντος ὑπατείαν, πρῶτον μὲν ἐκώλυεν· ὡς δ' ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων, ἀπέσφαξε τὸν ἄνδρα, καθεζόμενος αὐτὸς ἐπὶ βήματος ἐν τῷ Διοσκουρείῳ, καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. Τῶν δ' ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων, καὶ προσαγαγόντων τῷ βήματι, σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας, αὐτὸς ἔφη κελεῦσαι τοῦτο, καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν.

ΛΔ. Ὁ μέντοι θρίαμβος αὐτοῦ τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σοβαρὸς γενόμενος, μείζονα κόσμον

ἔσχε καὶ καλὸν θέαμα, τοὺς φυγάδας. Οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐςεφανωμένοι παρείποντο, σωτῆρα καὶ πατέρα τὸν Σύλλαν ἀποκαλοῦντες, ἅτε δὴ δι᾽ ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες, καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. Ἤδη δὲ συνῃρημένων ἁπάντων, ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος, οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας, ἢ τὰς ἀνδραγαθίας, κατηριθμεῖτο· καὶ πέρας, ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις Εὐτυχῆ προσαγορεύεσθαι. Τοῦτο γὰρ ὁ Φῆλιξ βούλεται μάλιςα δηλοῦν. Αὐτὸς δὲ τοῖς Ἕλλησι γράφων καὶ χρηματίζων, ἑαυτὸν Ἐπαφρόδιτον ἀνηγόρευε. Καὶ παρ᾽ ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται· ΛΕΥΚΙΟΣ ΚΟΡΝΗΛΙΟΣ ΣΥΛΛΑΣ ΕΠΑΦΡΟΔΙΤΟΣ. Ἔτι δὲ, τῆς Μετέλλης παιδία τεκούσης δίδυμα, τὸ μὲν ἄῤῥεν Φαῦςον, τὸ δὲ θῆλυ Φαῦςαν ὠνόμασε. Τὸ γὰρ εὐτυχὲς καὶ ἱλαρὸν Ῥωμαῖοι Φαῦςον καλοῦσιν. Οὕτω δ᾽ ἄρα οὐ ταῖς πράξεσιν, ὡς τοῖς εὐτυχήμασιν, ἐπίςευεν, ὥςε, παμπόλλων μὲν ἀνῃρημένων ὑπ᾽ αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχὴν, καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον· αὐτὸς δὲ μὴ προσελθεῖν, ἀλλ᾽ ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον, ὥσπερ ἰδιώτης ἀναςρέφεσθαι. Καί τις παρὰ γνώμην αὐτοῦ, θρασὺς ἀνὴρ καὶ πολέμιος, ἐπίδοξος ἦν ὕπατος αἱρεθήσεσθαι, Μάρκος Λέπιδος, οὐ δι᾽ ἑαυτὸν, ἀλλὰ Πομπηΐῳ σπουδάζοντι καὶ δεομένῳ τοῦ δήμου χαριζομένου. Διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν Πομπήϊον ὁ Σύλλας ἰδὼν ἀπιόντα, καλέσας πρὸς ἑαυτόν· « Ὡς καλὸν (ἔφη) σοῦ τὸ πολίτευμα, ὦ νεανία, τὸ Κάτλου πρότερον ἀναγορεῦσαι Λέπιδον, τοῦ πάντων ἀρίςου, τὸν ἐμπληκτικώτατον. Ὥρα μέντοι σοι μὴ καθεύδειν, ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σεαυτοῦ τὸν ἀνταγωνιςήν. » Τοῦτο μὲν οὖν ὁ Σύλλας ὥσπερ ἀπεθέσπισε· ταχὺ γὰρ ἐξυβρίσας ὁ Λέπιδος, εἰς πόλεμον κατέςη τοῖς περὶ τὸν Πομπήϊον.

ΛΕ. Ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ Σύλλας τῷ Ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς· καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε παμπληθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι, πίνεσθαι δ' οἶνον ἐτῶν τεσσαράκοντα, καὶ παλαιότερον. Διὰ μέσου δὲ τῆς θοίνης, πολυημέρου γενομένης, ἀπέθνησκεν ἡ Μετέλλα νόσῳ· καὶ τῶν ἱερέων τὸν Σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν, οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι, γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ Σύλλας, ἔτι ζῶσαν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. Καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε· τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς παρεισενηνοχὼς παρέβη, μηδενὸς ἀναλώματος φεισάμενος. Παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα, πότοις καὶ συνδείπνοις τρυφὰς καὶ βωμολοχίας ἔχουσι παρηγορῶν τὸ πένθος. Ὀλίγων δὲ μηνῶν διαγενομένων, ἦν μὲν θέα μονομάχων· οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ Σύλλα καθεζομένη γυνὴ τὴν ὄψιν εὐπρεπὴς καὶ γένους λαμπροῦ. Μεσσάλα γὰρ ἦν θυγάτηρ, Ὁρτησίου δὲ τοῦ ῥήτορος ἀδελφὴ, Οὐαλερία δὲ τοὔνομα. Συνεβεβήκει δ' αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. Αὕτη περὶ τὸν Σύλλαν ἐξόπισθεν παραπορευομένη, τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο, καὶ κροκίδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. Ἐμβλέψαντος δὲ τοῦ Σύλλα καὶ θαυμάσαντος· « Οὐδὲν (ἔφη) δεινὸν, Αὐτοκράτωρ· ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν.» Τοῦτ' ἤκουσεν οὐκ ἀηδῶς ὁ Σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν ὑποκεκνισμένος. Ἠρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα, καὶ γένος, καὶ βίον ἐμάνθανεν. Ἐκ δὲ τούτων ῥίψεις ὀμμάτων ἐπ' ἀλλήλους ἐγένοντο, καὶ παρεπιστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων διαδόσεις. Τέλος δὲ,

ὁμολογίαι καὶ συνθέσεις περὶ γάμων ἐκείνῃ μὲν ἴσως ἄμεμπτοι· Σύλλας δ', εἰ καὶ τὰ μάλιςα σώφρονα καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ, μειρακίου δίκην, παραβληθεὶς, ὑφ' ὧν τὰ αἴσχιςα καὶ ἀναιδέςατα πάθη κινεῖσθαι πέφυκεν.

Λϛ. Οὐ μὴν ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας, συνῆν μίμοις γυναιξὶ, καὶ κιθαρισταῖς, καὶ θυμελικοῖς ἀνθρώποις, ἐπὶ ςιβάδων ἐφ' ἡμέρας συμπίνων. Οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν, Ῥώσκιος ὁ κωμῳδὸς, καὶ Σῶριξ ὁ ἀρχιμῖμος, καὶ Μητρόβιος ὁ λυσιῳδὸς, οὗ, καίπερ ἐξώρου γενομένου, διετέλει μέχρι παντὸς ἐρᾷν οὐκ ἀρνούμενος. Ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε, καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος· ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν, εἰς φθεῖρας μετέβαλε πᾶσαν. Ὥστε, πολλῶν δὶ ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων, μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου τὸ ἀποκρινόμενον, ἀλλὰ πᾶσαν ἐσθῆτα, καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς· τοσοῦτον ἐξήνθει. Διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν, ἐκκλύζων τὸ σῶμα καὶ ἀποῤῥυπτόμενος. Ἦν δ' οὐδὲν ὄφελος· ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει, καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. Λέγεται δὲ, τῶν μὲν πάνυ παλαιῶν, Ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι, τῶν δὲ ὑςέρων, Ἀλκμᾶνα τὸν μελοποιὸν, καὶ Φερεκύδην τὸν θεολόγον, καὶ Καλλισθένη τὸν Ὀλύνθιον, ἐν εἱρκτῇ φρουρούμενον· ἔτι δὲ Μούκιον τὸν νομικόν. Εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δ' ἄλλως, ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην, Εὔνουν ὄνομα, μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον, ὑπὸ φθειριάσεως ἀποθανεῖν.

ΛΖ. Ὁ δὲ Σύλλας οὐ μόνων προέγνω τὴν ἑαυτοῦ τελευτὴν,

ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. Τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων πρὸ δυεῖν ἡμερῶν, ᾗ ἐτελεύτα, γράφων ἐπαύσατο· καί φησι, τούς τε Χαλδαίους αὐτῷ προειπεῖν, ὡς δέοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι. Λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους, ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα, καὶ δεόμενον τοῦ πατρὸς παύσασθαι τῶν φροντίδων, ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν, ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ᾽ αὐτῆς. Οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. Δέκα μὲν γὰρ ἡμέρας ἔμπροσθεν τῆς τελευτῆς, τοὺς ἐν Δικαιαρχείᾳ στασιάζοντας διαλλάξας, νόμον ἔγραψεν αὐτοῖς, καθ᾽ ὃν πολιτεύσονται. Πρὸ μιᾶς δὲ ἡμέρας, πυθόμενος τὸν ἄρχοντα Γράνιον, ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ᾽ ἀναμένει τὴν αὐτοῦ τελευτὴν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον· καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν, τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας, πλῆθος αἵματος ἐξέβαλεν. Ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης, διαγαγὼν τὴν νύκτα μοχθηρῶς, ἀπέθανε, δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. Ἡ γὰρ Οὐαλερία μετὰ τὴν τελευτὴν αὐτοῦ, θυγάτριον ἀπεκύησεν, ὃ Ποστοῦμαν ἐκάλουν. Τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους οὕτω Ῥωμαῖοι προσαγορεύουσιν.

ΛΗ. Ὥρμησαν μὲν οὖν πολλοὶ καὶ συνέστησαν πρὸς Λέπιδον, ὡς εἵρξοντες τὸ σῶμα κηδείας τῆς νενομισμένης. Πομπήϊος δὲ, καίπερ ἐγκαλῶν τῷ Σύλλᾳ (μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων παρέλιπε), τοὺς μὲν χάριτι καὶ δεήσει, τοὺς δ᾽ ἀπειλῇ διακρουσάμενος, εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα, καὶ ταῖς ταφαῖς ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. Λέγεται δὲ, τοσοῦτον πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς γυναῖκας αὐτῷ, ὥστε, ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ διακοσίοις διακομιζομένων, πλασθῆναι μὲν εἰ-

δωλον εὐμέγεθες αὐτοῦ Σύλλα, πλασθῆναι δὲ καὶ ῥαβδοῦχον ἔκ τε λιβανωτοῦ πολυτελοῦς καὶ κιναμώμου. Τῆς δὲ ἡμέρας συννεφοῦς ἕωθεν οὔσης, ὕδωρ ἐξ οὐρανοῦ προσδοκῶντες, ἐννάτης ἦραν μόλις ὥρας τὸν νεκρόν. Ἀνέμου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν, καὶ φλόγα πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθὲν, ὅσον ἤδη, τῆς πυρᾶς μαραινομένης, καὶ τοῦ πυρὸς ἀπιόντος, ἐκχυθῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτὸς, ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συνθάπτειν παραμένουσαν. Τὸ μὲν οὖν μνημεῖον ἐν τῷ πεδίῳ τοῦ Ἄρεώς ἐστι. Τὸ δὲ ἐπίγραμμα φασὶν αὐτὸν ἐπιγραψάμενον καταλιπεῖν, οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν φίλων τις αὐτὸν εὖ ποιῶν, οὔτε τῶν ἐχθρῶν κακῶς, ὑπερεβάλετο.

# ΛΥΣΑΝΔΡΟΥ ΚΑΙ ΣΥΛΛΑ ΣΥΓΚΡΙΣΙΣ.

Επεὶ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν ἤδη πρὸς τὴν σύγκρισιν. Τὸ μὲν οὖν ἀφ' ἑαυτῶν αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλοις γενέσθαι, κοινὸν ἀμφοτέροις ὑπῆρξεν· ἴδιον δὲ Λυσάνδρου, τὸ βουλομένων τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν, βιάσασθαι δὲ μηδὲν ἀκόντων, μηδ' ἰσχύσαι παρὰ τοὺς νόμους.

*Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς·*

ὥσπερ ἐν Ῥώμῃ τότε, διεφθαρμένου τοῦ δήμου, καὶ νοσοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν ἀνίςατο δυνάςης. Καὶ οὐδὲν ἦν θαυμαςὸν, εἰ Σύλλας ἦρχεν, ὅτε Γλαυκίαι καὶ Σατουρνῖνοι Μετέλλους ἤλαυνον ἐκ τῆς πόλεως, ὑπάτων δ' ἀπεσφάττοντο παῖδες ἐν ἐκκλησίαις, ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα παρελάμβανον, ὠνούμενοι τοὺς ςρατευομένους, πυρὶ δὲ καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν, βιαζόμενοι τοὺς ἀντιλέγοντας. Οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοιούτοις πράγμασι μέγιςον ἰσχύσαι διαπραξάμενον, ἀλλὰ σημεῖον οὐ τίθεται τοῦ βέλτιςον εἶναι, τὸ γενέσθαι πρῶτον, οὕτω πονηρὰ πραττούσης τῆς πόλεως. Ὁ δ', ἀπὸ τῆς Σπάρτης εὐνομουμένης τότε μάλιστα καὶ σωφρονούσης, ἐπὶ τὰς μεγίστας ἐκπεμπόμενος ἡγεμονίας καὶ πράξεις, σχεδὸν ἀρίστων ἄριστος ἐκρίνετο, καὶ πρώτων πρῶτος. Ὅθεν ὁ μὲν, πολλάκις τὴν ἀρχὴν ἀποδοὺς τοῖς πολίταις, ἀνέλαβε πολλάκις· διέμενε γὰρ ἡ τιμὴ, τῆς ἀρετῆς ἔχουσα τὸ πρωτεῖον. Ὁ δ', ἅπαξ αἱρεθεὶς στρατεύματος ἡγεμὼν, ἔτη συνεχῶς δέκα,

νῦν μὲν ὕπατον, νῦν δ' ἀνθύπατον, νῦν δὲ δικτάτωρα ποιῶν ἑαυτὸν, ἀεὶ δ' ὢν τύραννος, ἐν τοῖς ὅπλοις ἔμενεν.

B. Ἐπεχείρησε μὲν οὖν ὁ Λύσανδρος, ὡς εἴρηται, μεταστῆσαι τὰ περὶ τὴν πολιτείαν· πρᾳότερον [δὲ] καὶ νομιμώτερον, ἢ Σύλλας. Πειθοῖ γὰρ, οὐ δι' ὅπλων, οὐδὲ πάντα συλλήβδην ἀναιρῶν, ὥσπερ ἐκεῖνος, ἀλλ' αὐτὴν ἐπανορθούμενος τὴν κατάςασιν τῶν βασιλέων· ὃ καὶ φύσει που δίκαιον ἐδόκει, τὸν ἐξ ἀρίςων ἄρχειν ἐν πόλει τῆς Ἑλλάδος ἡγουμένῃ δι' ἀρετὴν, οὐ δι' εὐγένειαν. Ὥσπερ γὰρ κυνηγὸς οὐ ζητεῖ τὸ ἐκ κυνὸς, ἀλλὰ κύνα, καὶ ἱππικὸς ἵππον, οὐ τὸ ἐξ ἵππου (τί γὰρ, ἂν ἐξ ἵππου ἡμίονος γένηται;), οὕτω καὶ ὁ πολιτικὸς ἁμαρτήσεται τοῦ παντὸς, ἐὰν μὴ ζητῇ τὸν ἄρχοντα τίς ἐςὶν, ἀλλ' ἐκ τίνος. Αὐτοί γέ τοι Σπαρτιᾶται βασιλεύοντας ἐνίους ἀφείλοντο τὴν ἀρχὴν, ὡς οὐ βασιλικοὺς, ἀλλὰ φαύλους καὶ τὸ μηδὲν ὄντας. Εἰ δὲ κακία καὶ μετὰ γένους, ἄτιμον· οὐδ' ἀρετὴ, δι' εὐγένειαν, ἀλλ' ἀφ' ἑαυτῆς ἔντιμον. Αἱ τοίνυν ἀδικίαι, τῷ μὲν ὑπὲρ φίλων, τῷ δ' ἄχρι φίλων ἐπράχθησαν. Λύσανδρος μὲν γὰρ ὁμολογεῖται τὰ πλεῖςα διὰ τοὺς ἑταίρους ἐξαμαρτεῖν, καὶ τὰς πλείςας σφαγὰς ὑπὲρ τῆς ἐκείνων ἀπεργάσασθαι δυναςείας καὶ τυραννίδος. Σύλλας δὲ καὶ Πομπηΐου περιέκοψε τὸ ςρατιωτικὸν φθονήσας, καὶ Δολοϐέλλα τὴν ναυαρχίαν ἐπεχείρησε δοὺς ἀφελέσθαι, καὶ Λουκρήτιον Ὀφέλλαν, ἀντὶ πολλῶν καὶ μεγάλων ὑπατείαν μνώμενον, ἐν ὀφθαλμοῖς ἀποσφάξαι προσέταξε, φρίκην καὶ δέος ἐμποιῶν πρὸς αὐτὸν ἀνθρώποις ἅπασι, διὰ τῆς τῶν φιλτάτων ἀναιρέσεως.

Γ. Ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς ἡδονὰς καὶ τὰ χρήματα σπουδὴ δείκνυσι τοῦ μὲν ἡγεμονικὴν, τοῦ δὲ τυραννικὴν τὴν προαίρεσιν οὖσαν. Ὁ μὲν γὰρ οὐδὲν ἀκόλαςον, οὐδὲ μειρακιῶδες, ἐν ἐξουσίᾳ καὶ δυνάμει τηλικαύτῃ φαίνεται διαπεπραγμένος, ἀλλ', εἰ δή τις ἄλλος, ἐκπεφευγὼς τουτὶ τὸ περίακτον·

Οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες.

Οὕτω σώφρονα καὶ Λακωνικὴν καὶ κεκολασμένην ἐπεδείκνυτο πανταχοῦ τὴν δίαιταν. Ὁ δ', οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζε διὰ τὴν πενίαν, οὔτε γηράσας, διὰ τὴν ἡλικίαν. Ἀλλὰ τοὺς περὶ γάμων καὶ σωφροσύνης εἰσηγεῖτο νόμους τοῖς πολίταις, αὐτὸς ἐρῶν καὶ μοιχεύων, ὥς φησι Σαλούστιος. Ὅθεν οὕτω τὴν πόλιν πτωχὴν καὶ κενὴν ἐποίησε χρημάτων, ὥστε ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀργυρίου πωλεῖν τὴν ἐλευθερίαν, καὶ τὴν αὐτονομίαν· καίτοι τοὺς πολυαργυρωτάτους οἴκους καὶ μεγίστους ὁσημέραι δημεύοντος αὐτοῦ καὶ ἀποκηρύττοντος. Ἀλλὰ μέτρον οὐδὲν ἦν τῶν ῥιπτουμένων καὶ καταχορηγουμένων εἰς τοὺς κόλακας. Τίνα γὰρ εἰκὸς εἶναι λογισμὸν, ἢ φειδὼ, πρὸς τὰς παρ' οἶνον συνουσίας αὐτοῦ καὶ χάριτας; ὃς ἐν φανερῷ ποτε, τοῦ δήμου περιεστῶτος, οὐσίαν μεγάλην διαπιπράσκων τιμῆς τῆς τυχούσης, εἰς ἕνα τῶν φίλων ἐκέλευε κατακηρύσσειν· ἑτέρου δὲ τὴν τιμὴν ὑπερβαλλομένου, καὶ τοῦ κήρυκος τὸ προστεθὲν ἀγορεύσαντος, διηγανάκτησε· « Δεινά γ', ὦ φίλοι πολῖται, καὶ τυραννικὰ πάσχω (φάμενος), εἰ τὰ ἐμά μοι λάφυρα διαθέσθαι μὴ ἔξεστιν, ὡς βούλομαι. » Λύσανδρος δὲ καὶ τὰς αὐτῷ δοθείσας δωρεὰς μετὰ τῶν ἄλλων ἐπέπεμψε τοῖς πολίταις. Καὶ οὐκ ἐπαινῶ τὸ ἔργον· ἴσως γὰρ ἔβλαψε τῇ κτήσει τῶν χρημάτων τὴν Σπάρτην οὗτος, ὅσον οὐκ ἔβλαψε τῇ ἀφαιρέσει τὴν Ῥώμην ἐκεῖνος· ἀλλὰ τεκμήριον τοῦτο ποιοῦμαι τῆς ἀφιλοπλουτίας τοῦ ἀνδρός. Ἴδιον δέ τι πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάτερος ἔπαθε. Σύλλας μὲν γὰρ, ἀκόλαστος ὢν καὶ πολυτελὴς, ἐσωφρόνιζε τοὺς πολίτας· Λύσανδρος δ', ὧν αὐτὸς ἀπείχετο παθῶν, ἐνέπλησε τὴν πόλιν. Ὥστε ἁμαρτάνειν, τὸν μὲν, αὐτὸν ὄντα χείρονα τῶν ἰδίων νόμων, τὸν δ' αὑτοῦ χείρονας ἀπεργαζόμενον τοὺς πολίτας· δεῖσθαι γὰρ ἐδίδαξε τὴν Σπάρτην, ὧν αὐτὸς ἔμαθε μὴ προσδεῖσθαι. Καὶ τὰ μὲν πολιτικὰ ταῦτα.

Δ. Πολέμων δ' ἀγῶσι, καὶ στρατηγικαῖς πράξεσι, καὶ πλήθει

τροπαίων, καὶ μεγέθει κινδύνων, ἀσύγκριτος ὁ Σύλλας. Ὁ μέντοι γε δύο νίκας ἐξηνέγκατο ναυμαχίαις δυσί. Προσθήσω δ' αὐτῷ καὶ τὴν Ἀθηνῶν πολιορκίαν, ἔργῳ μὲν οὐ μεγάλην, τῇ δὲ δόξῃ λαμπροτάτην γενομένην. Τὰ δ' ἐν Βοιωτίᾳ καὶ Ἁλιάρτῳ δυςυχίᾳ μὲν ἴσως ἐπράχθη τινὶ, κακοβουλίᾳ δὲ προσέοικεν, οὐκ ἀναμείναντος ὅσον οὔπω παροῦσαν ἐκ Πλαταιῶν τὴν μεγάλην βασιλέως δύναμιν, ἀλλὰ θυμῷ καὶ φιλοτιμίᾳ παρὰ καιρὸν ὠσαμένου πρὸς τὸ τεῖχος· ὥςε τοὺς τυχόντας ἀνθρώπους ἐκπηδήσαντας, ἐν οὐδενὶ λόγῳ καταβαλεῖν αὐτόν. Οὐ γὰρ, ὡς Κλεόμβροτος ἐν Λεύκτροις, ἀντερείδων ἐπικειμένοις τοῖς πολεμίοις, οὐδ' ὡς Κῦρος, οὐδ' ὡς Ἐπαμινώνδας κατέχων ἐγκεκλικότας, καὶ τὸ νίκημα βεβαιούμενος, πληγῇ καιρίᾳ περιέπεσεν. Ἀλλ' οὗτοι μὲν βασιλέων καὶ ςρατηγῶν θάνατον ἀπέθνησκον· Λύσανδρος δὲ πελταςοῦ καὶ προδρόμου δίκην ἀκλεῶς παραναλώσας ἑαυτὸν, ἐμαρτύρησε τοῖς παλαιοῖς Σπαρτιάταις, ὅτι καλῶς ἐφυλάττοντο τὰς τειχομαχίας, ἐν αἷς οὐχ ὑπ' ἀνδρὸς μόνον τοῦ τυχόντος, ἀλλὰ καὶ ὑπὸ παιδὸς καὶ γυναικὸς ἀποθανεῖν ἂν συντύχοι πληγέντα τὸν κράτιςον· ὥσπερ τὸν Ἀχιλλέα φασὶν ὑπὸ τοῦ Πάριδος ἐν ταῖς πύλαις ἀναιρεθῆναι. Σύλλας μὲν οὖν ὅσας ἐκ παρατάξεως ἐνίκησε νίκας, καὶ κατέβαλε μυριάδας πολεμίων, οὐδ' ἀριθμῆσαι ῥᾴδιόν ἐςιν· αὐτὴν δὲ τὴν Ῥώμην δὶς εἷλε, καὶ τὸν Πειραιᾶ τῶν Ἀθηνῶν, οὐ λιμῷ, καθάπερ Λύσανδρος, ἀλλὰ πολλοῖς ἀγῶσι καὶ μεγάλοις ἐκβαλὼν Ἀρχέλαον ἐκ τῆς γῆς ἐπὶ τὴν θάλατταν, κατέσχεν. Ἔςι δὲ μέγα καὶ τὸ τῶν ἀντιςρατήγων. Τρυφὴν γὰρ οἶμαι καὶ παιδιὰν, πρὸς Ἀντίοχον διαναυμαχεῖν τὸν Ἀλκιβιάδου κυβερνήτην, καὶ Φιλοκλέα τὸν Ἀθηναίων ἐξαπατᾷν δημαγωγὸν,

*Ἄδοξον, ἄκραν γλῶσσαν ἠκονημένον·*

οὓς οὐκ ἂν ἱπποκόμῳ Μιθριδάτης, οὐδὲ ῥαβδούχῳ Μάριος ἠξίωσε παραβαλεῖν τῶν ἑαυτοῦ. Τῶν δὲ πρὸς τὸν Σύλλαν ἀνταραμένων δυναστῶν, ὑπάτων, στρατηγῶν, δημαγωγῶν, ἵνα τοὺς

ἄλλους

ἄλλους ἐάσω, τίς ἦν Ῥωμαίων Μαρίου φοβερώτερος, ἢ Μιθριδάτου βασιλέων δυνατώτερος, ἢ Λαμπωνίου καὶ Τελεσίνου, τῶν Ἰταλικῶν, μαχιμώτερος; ὧν ἐκεῖνος τὸν μὲν ἐξέβαλε, τὸν δ' ὑπέταξε, τοὺς δ' ἀπέκτεινε.

Ε. Τὸ δὲ πάντων μέγιστον, ὡς ἐγὼ νομίζω, τῶν εἰρημένων ἐκεῖνό ἐστιν, ὅτι Λύσανδρος μὲν κατώρθου πάντα, τῶν οἴκοι συναγωνιζομένων· Σύλλας δὲ, φυγὰς ὢν καὶ κατεστασιασμένος ὑπὸ τῶν ἐχθρῶν, καθ' ὃν χρόνον ἠλαύνετο μὲν αὐτοῦ γυνὴ, κατεσκάπτετο δ' οἰκία, φίλοι δ' ἀπέθνησκον, αὐτὸς ἐν Βοιωτίᾳ ταῖς ἀναριθμήτοις μυριάσι παρατασσόμενος καὶ κινδυνεύων ὑπὲρ τῆς πατρίδος, ἵστη τρόπαιον. Καὶ Μιθριδάτῃ, συμμαχίαν διδόντι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθροὺς, οὐδὲν οὐδαμῇ μαλακὸν ἐνέδωκεν, οὐδὲ φιλάνθρωπον· ἀλλ' οὐδὲ προσεῖπεν, οὐδὲ τὴν δεξιὰν ἐνέβαλε πρότερον, ἢ πυθέσθαι παρόντος, ὅτι καὶ τὴν Ἀσίαν ἀφίησι, καὶ τὰς ναῦς παραδίδωσι, καὶ τοῖς βασιλεῦσιν ἐξίσταται Βιθυνίας καὶ Καππαδοκίας. Ὧν οὐδὲν ὅλως δοκεῖ Σύλλας κάλλιον ἔργον, οὐδ' ἀπὸ μείζονος εἰργάσθαι φρονήματος· ὅτι τὸ κοινὸν τοῦ οἰκείου πρόσθεν θέμενος, καὶ, καθάπερ οἱ γενναῖοι κύνες, οὐκ ἀνεὶς τὸ δῆγμα καὶ τὴν λαβὴν πρότερον, ἢ τὸν ἀνταγωνιστὴν ἀπειπεῖν, τότε πρὸς τὴν τῶν ἰδίων ἄμυναν ὥρμησεν. Ἐπὶ πᾶσι δὲ καὶ τὸ περὶ τὰς Ἀθήνας ἔχει τινὰ ῥοπὴν εἰς ἤθους σύγκρισιν· εἴγε Σύλλας μὲν ὑπὲρ τῆς Μιθριδάτου δυνάμεως καὶ ἡγεμονίας πολεμήσασαν αὐτῷ τὴν πόλιν ἑλὼν, ἐλευθέραν ἀφῆκε καὶ αὐτόνομον· Λύσανδρος δὲ, τοσαύτης ἡγεμονίας καὶ ἀρχῆς ἐκπεσοῦσαν οὐκ ᾤκτειρεν, ἀλλὰ καὶ τὴν δημοκρατίαν ἀφελόμενος, ὠμοτάτους αὐτῇ καὶ παρανομωτάτους ἀπέδειξε τοὺς τυράννους. Ὥρα δὴ σκοπεῖν μὴ [οὐ] πολὺ τἀληθοῦς διαμαρτάνωμεν, ἀποφαινόμενοι πλείονα μὲν κατωρθωκέναι Σύλλαν, ἐλάττονα δ' ἐξημαρτηκέναι Λύσανδρον· καὶ τῷ μὲν ἐγκρατείας καὶ σωφροσύνης, τῷ δὲ στρατηγίας καὶ ἀνδρείας ἀποδιδόντες τὸ πρωτεῖον.

# ΠΛΟΥΤΑΡΧΟΥ ΚΙΜΩΝ.

ΠΕΡΙΠΟΛΤΑΣ ὁ μάντις, ἐκ Θετταλίας εἰς Βοιωτίαν Ὀφέλταν τὸν βασιλέα καὶ τοὺς ὑπ' αὐτῷ λαοὺς καταγαγὼν, γένος εὐδοκιμῆσαν ἐπὶ πολλοὺς χρόνους κατέλιπεν· οὗ τὸ πλεῖστον ἐν Χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον, ἐξελάσαντες τοὺς βαρβάρους. Οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους, φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι, κατανηλώθησαν ἐν ταῖς Μηδικαῖς ἐπιδρομαῖς, καὶ τοῖς Γαλατικοῖς ἀγῶσιν, ἀφειδήσαντες ἑαυτῶν· λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα Δάμων, παρωνύμιον δὲ Περιπόλτας, πολὺ δή τι καὶ σώματος κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ' αὐτὸν ὑπεραίρων νέους, ἄλλως δ' ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. Τούτου Ῥωμαῖος, ἡγεμὼν σπείρας τινὸς ἐν Χαιρωνείᾳ διαχειμαζούσης, ἐρασθεὶς, ἄρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πειρῶν καὶ διδοὺς, δῆλος ἦν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης, καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. Τοῦτο δὴ δεδιὼς ὁ Δάμων, καὶ τὴν πεῖραν αὐτὴν δι' ὀργῆς πεποιημένος, ἐπεβούλευε τῷ ἀνδρί· καὶ συνίστη τῶν ἡλικιωτῶν τινας ἐπ' αὐτὸν, οὐ πολλοὺς, ἕνεκα τοῦ λανθάνειν. Ἀλλ' οἱ σύμπαντες, ἑκκαίδεκα γενόμενοι, χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νυκτὸς, ἐκπιόντες δ' ἄκρατον, ἅμ' ἡμέρᾳ προσπίπτουσι τῷ Ῥωμαίῳ κατ' ἀγορὰν θύοντι· καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους, ἐκ τῆς πόλεως μετέστησαν. Γενομένης δὲ ταραχῆς, ἡ τῶν Χαιρωνέων βουλὴ συνελθοῦσα, θάνατον αὐτῶν κατέγνω· καὶ τοῦτ' ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς Ῥωμαίους. Ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστὶ, κοινῇ δειπνούντων, οἱ περὶ τὸν Δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον,

ἀπέσφαξαν αὐτοὺς, καὶ πάλιν ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως. Ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Λεύκιος Λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. Ἐπιστήσας δὲ τὴν πορείαν, καὶ τῶν γεγονότων, προσφάτων ὄντων, ἐξέτασιν ποιησάμενος, εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἀπήγαγε μεθ' ἑαυτοῦ. Τὸν δὲ Δάμωνα, λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν, καὶ τῇ πόλει προσκείμενον, ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι φιλανθρώποις οἱ πολῖται· κατελθόντα δὲ γυμνασίαρχον κατέστησαν, εἶτ' ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ διέφθειραν. Ἐπὶ πολὺν δὲ χρόνον εἰδώλων τινῶν ἐν τῷ τόπῳ προφαινομένων, καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἐνῳκοδόμησαν τοῦ πυριατηρίου· καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες, οἴονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. Τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ (διασώζονται γάρ ἔνιοι, μάλιστα τῆς Φωκίδος περὶ Στεῖριν) αἰολίζοντες ἀσβολωμένους καλοῦσι, διὰ τὸ τὸν Δάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χρησάμενον ἐξελθεῖν.

Β. Ἐπεὶ δ' ἀστυγείτονες ὄντες Ὀρχομένιοι καὶ διάφοροι τοῖς Χαιρωνεῦσιν, ἐμισθώσαντο Ῥωμαϊκὸν συκοφάντην, ὁ δ', ὥσπερ ἑνὸς ἀνθρώπου, τὸ τῆς πόλεως ὄνομα κατενεγκὼν, ἐδίωκε φόνου τῶν ὑπὸ Δάμωνος ἀνῃρημένων. Ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς Μακεδονίας (οὔπω γὰρ εἰς τὴν Ἑλλάδα Ῥωμαῖοι στρατηγοὺς διεπέμποντο)· οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως, ἐπεκαλοῦντο τὴν Λουκούλλου μαρτυρίαν. Γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς Λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ, καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις, κινδυνεύουσα περὶ τῶν μεγίστων. Ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες εἰκόνα τοῦ Λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν Διόνυσον ἀνέστησαν. Ἡμεῖς δ', εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς

τοὺς νῦν ὄντας· εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης, τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν, ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων τὰς πράξεις τοῦ ἀνδρὸς, τἀληθῆ διεξιόντες. Ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις· ἀληθοῦς δὲ μαρτυρίας οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λαβεῖν, ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὐτοῦ διήγησιν. Ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μικρὸν αὐτοῖς δυσχερὲς, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως, μήτ' ἐξακριβοῦν (τὸ μὲν γὰρ αἰσχρὰν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν), οὕτως, ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἄμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἐπιδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον, ὥσπερ ὁμοιότητα, τὴν ἀλήθειαν. Τὰς δ' ἐκ πάθους τινὸς, ἢ πολιτικῆς ἀνάγκης, ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας, ἐλλείμματα μᾶλλον ἀρετῆς τινος, ἢ κακίας πονηρεύματα, νομίζοντας, οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς, ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς, οὐδ' ἀναμφισβήτητον, εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν.

Γ. Ὁ δ' οὖν Λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ Κίμωνι παραβλητέος εἶναι. Πολεμικοὶ γὰρ ἀμφότεροι, καὶ πρὸς τοὺς βαρβάρους λαμπροί· πρᾷοι δὲ τὰ πολιτικὰ, καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀναπνοὴν ταῖς πατρίσι παρασχόντες· ἑκάτερος δέ τις αὐτῶν στήσαντες τρόπαια, καὶ νίκας ἀνελόμενοι περιβοήτους. Οὔτε γὰρ Ἑλλήνων Κίμωνος, οὔτε Ῥωμαίων Λουκούλλου πρότερος οὐδεὶς, οὕτω μακρὰν πολεμῶν προῆλθεν· ἔξω λόγου τιθεμένων τῶν καθ' Ἡρακλέα καὶ Διόνυσον, εἴτε τι Περσέως πρὸς Αἰθίοπας, ἢ Μήδους καὶ Ἀρμενίους, ἢ Ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμῃ φερόμενον εἰς τοὺς νῦν ἀφῖκται.

Κοινὸν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας, ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. Μάλιστα δ' ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας ὑγρότης καὶ δαψίλεια, καὶ τὸ νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ, παραπλήσιον ἐπ' ἀμφοτέρων ἰδεῖν ὑπάρχει. Παραλείπομεν δ' ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν.

Δ. Κίμων ὁ Μιλτιάδου, μητρὸς ἦν Ἡγησιπύλης, γένος Θράττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται. Διὸ καὶ Θουκυδίδης ὁ ἱστορικὸς, τοῖς περὶ Κίμωνα κατὰ γένος προσήκων, Ὀλόρου τε πατρὸς ἦν εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν, καὶ τὰ χρυσεῖα περὶ τὴν Θρᾴκην ἐκέκτητο. Καὶ τελευτῆσαι μὲν ἐν τῇ Σκαπτῇ ὕλῃ, τοῦτο δ' ἐστὶ τῆς Θρᾴκης χωρίον, λέγεται, φονευθεὶς ἐκεῖ· μνῆμα δ' αὐτοῦ, τῶν λειψάνων εἰς τὴν Ἀττικὴν κομισθέντων, ἐν τοῖς Κιμωνείοις δείκνυται, παρὰ τὸν Ἐλπινίκης τῆς Κίμωνος ἀδελφῆς τάφον. Ἀλλὰ Θουκυδίδης μὲν Ἁλιμούσιος γέγονε τὸν δῆμον, οἱ δὲ περὶ τὸν Μιλτιάδην, Λακιάδαι. Μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὄφλων δίκην, καὶ πρὸς τὴν ἔκτισιν εἱρχθεὶς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. Κίμων δὲ, μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ πόλει, καὶ κακῶς ἤκουεν, ὡς ἄτακτος καὶ πολυπότης, καὶ τῷ πάππῳ Κίμωνι προσεοικὼς τὴν φύσιν· ὃν δι' εὐήθειαν φασὶ Κοάλεμον προσαγορευθῆναι. Στησίμβροτος δ' ὁ Θάσιος, περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ Κίμωνι γεγονὼς, φησὶν, αὐτὸν οὔτε μουσικὴν, οὔτ' ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς Ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι· δεινότητός τε καὶ στωμυλίας Ἀττικῆς ὅλως ἀπηλλάχθαι, καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν, καὶ

μᾶλλον εἶναι Πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρὸς,

*Φαῦλον, ἄκομψον, τὰ μέγιστ᾽ ἀγαθὸν,*

κατὰ τὸν Εὐριπίδειον Ἡρακλέα. Ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ Στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. Ἔτι δὲ νέος ὢν αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. Καὶ γὰρ οὐδ᾽ ἄλλως τὴν Ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς Πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγράφον· καὶ διὰ τοῦτο φασὶν ἐν τῇ Πλησιανακτίῳ τότε καλουμένῃ, Ποικίλῃ δὲ νῦν στοᾷ, γράφοντα τὰς Τρῳάδας, τὸ τῆς Λαοδίκης ποιῆσαι πρόσωπον ἐν εἰκόνι τῆς Ἐλπινίκης. Ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων, οὐδ᾽ ἀπ᾽ ἐργολαβίας ἔγραφε τὴν στοὰν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν· ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι, καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·

*Αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε*
*Κεκροπίαν κόσμησ᾽ ἡμιθέων ἀρεταῖς.*

Εἰσὶ δ᾽ οἳ τὴν Ἐλπινίκην οὐ κρύφα τῷ Κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν. Ἐπεὶ δὲ Καλλίας, τῶν εὐπόρων τις Ἀθήνησιν, ἐρασθεὶς προσῆλθε, τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίνειν ἕτοιμος ὢν πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι, καὶ τὸν Κίμωνα τῷ Καλλίᾳ συνοικίσαι τὴν Ἐλπινίκην. Οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι. Καὶ γὰρ Ἀστερίας, τῷ γένει Σαλαμινίας, καὶ πάλιν Μνήστρας τινὸς, ὁ ποιητὴς Μελάνθιος μνημονεύει, πρὸς τὸν Κίμωνα παίζων δι᾽ ἐλεγείας, ὡς σπουδαζομένων ὑπ᾽ αὐτοῦ. Δῆλος δ᾽ ἐστὶ καὶ πρὸς Ἰσοδίκην, τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ᾽ αὐτῷ συμβιώσασαν, ὁ Κίμων ἐμπαθέστερον διατεθεὶς, καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτόν· ὧν Παναίτιος

ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἄπο τρόπου τοῖς χρόνοις εἰκάζων.

Ε. Τὰ δ' ἄλλα πάντα τοῦ ἤθους ἀγαςὰ καὶ γενναῖα τοῦ Κίμωνος. Οὔτε γὰρ τόλμη Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιςοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι· καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀποδέων ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. Ὅτε γὰρ τὸν δῆμον, ἐπιόντων Μήδων, Θεμιςοκλῆς ἔπειθε, προέμενον τὴν πόλιν, καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς Σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι, καὶ διαγωνίσασθαι κατὰ θάλατταν· ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος Κίμων ὤφθη διὰ τοῦ Κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων· ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. Ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαῤῥεῖν γενόμενος. Ἦν δὲ καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ὥς Ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας, οὔλῃ καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. Φανεὶς δὲ κατ' αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ' εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν, καὶ παρακαλούντων ἄξια τοῦ Μαραθῶνος ἤδη διανοεῖσθαι καὶ πράσσειν. Ὁρμήσαντα δ' αὐτὸν ἐπὶ τὴν πολιτείαν ἄσμενος ὁ δῆμος ἐδέξατο, καὶ μεςὸς ὢν τοῦ Θεμιςοκλέους, ἀνῆγε πρὸς τὰς μεγίςας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχὰς, εὐάρμοςον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. Οὐχ ἥκιςα δ' αὐτὸν ηὔξησεν Ἀριστείδης ὁ Λυσιμάχου *τὴν* εὐφυΐαν ἐνορῶν τῷ ἤθει, καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν Θεμιςοκλέους δεινότητα καὶ τόλμαν.

ϛ. Ἐπεὶ δὲ, Μήδων φυγόντων ἐκ τῆς Ἑλλάδος, ἐπέμφθη στρατηγὸς, κατὰ θάλατταν οὔπω τὴν ἀρχὴν Ἀθηναίων ἐχόντων, ἔτι δὲ Παυσανίᾳ καὶ Λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας κόσμῳ τε θαυμαστοὺς καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας· ἔπειτα Παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολὰς, τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πρᾴως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν Ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. Προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ Ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ Παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. Οἱ δὲ καὶ τούτους ἅμα προσήγοντο, καὶ τοῖς ἐφόροις πέμποντες ἔφραζον, ὡς ἀδοξούσης τῆς Σπάρτης, καὶ ταραττομένης τῆς Ἑλλάδος, ἀνακαλεῖν τὸν Παυσανίαν. Λέγεται δὲ, παρθένον τινὰ Βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα Κλεονίκην, ἐπ' αἰσχύνῃ τοῦ Παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ' ἀνάγκης καὶ φόβου προέσθαι τὴν παῖδα· τὴν δὲ τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, [καὶ] διὰ σκότους καὶ σιωπῆς τῇ κλίνῃ προσιοῦσαν, ἤδη τοῦ Παυσανίου καθεύδοντος, ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν. Τὸν δὲ, ὑπὸ τοῦ ψόφου ταραχθέντα καὶ σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον, ὥς τινος ἐπ' αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ καταβαλεῖν τὴν παρθένον. Ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν οὐκ ἐᾷν τὸν Παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν τόδε τὸ ἡρῷον,

*Στεῖχε δίκης ἆσσον· μάλα τοι κακὸν ἀνδράσιν ὕβρις·*

ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι, μετὰ τοῦ Κίμωνος ἐξεπολιόρκησαν αὐτόν. Ὁ δ', ἐκπεσὼν τοῦ Βυζαντίου,

καὶ τῷ φάσματι ταραττόμενος, ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς Ἡράκλειαν, καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς Κλεονίκης, παρῃτεῖτο τὴν ὀργήν. Ἡ δ', εἰς ὄψιν ἐλθοῦσα, ταχέως ἔφη παύσεσθαι τῶν κακῶν αὐτὸν, ἐν Σπάρτῃ γενόμενον· αἰνιττομένη, ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. Ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱςόρηται.

Ζ. Κίμων δὲ, τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, ςρατηγὸς εἰς Θρᾴκην ἔπλευσεν, πυνθανόμενος Περσῶν ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως, Ἠϊόνα πόλιν ἐπὶ τῷ Στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον Ἕλλησιν. Πρῶτον μὲν οὖν μάχῃ τοὺς Πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν· ἔπειτα τοὺς ὑπὲρ Στρυμόνα Θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναςάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέςησεν, ὥστε Βούτην, τὸν βασιλέως ςρατηγὸν, ἀπογνόντα τὰ πράγματα, τῇ πόλει πῦρ ἐνεῖναι, καὶ συνδιαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. Οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείςων τοῖς βαρβάροις συγκατακαέντων· τὴν δὲ χώραν, εὐφυεςάτην οὖσαν καὶ καλλίςην, οἰκῆσαι παρέδωκε τοῖς Ἀθηναίοις. Καὶ τοὺς Ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν, ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ,

*Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων*
*Παισὶν ἐπ' Ἠΐονι Στρυμόνος ἀμφὶ ῥοὰς,*
*Λιμόν τ' αἴθωνα κρυερόν τ' ἐπάγοντες Ἄρηα*
*Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.*

Τῷ δὲ δευτέρῳ,

*Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,*
*Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.*
*Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων, ἐθελήσει*
*Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν.*

Τῷ δὲ τρίτῳ,

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον.
Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Η. Ταῦτα, καίπερ οὐδαμοῦ τὸ Κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. Οὔτε γὰρ Θεμιστοκλῆς τοιούτου τινὸς, οὔτε Μιλτιάδης, ἔτυχεν· ἀλλὰ τούτῳ γε, θαλλοῦ στέφανον αἰτοῦντι, Σωχάρης ὁ Δεκελεὺς, ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς, ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφείς· « Ὅταν γὰρ (ἔφη), μόνος ἀγωνισάμενος, ὦ Μιλτιάδη, νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου. » Διὰ τί τοίνυν τὸ Κίμωνος ὑπερηγάπησαν ἔργον; ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους, τούτου δὲ, καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν, ἐπὶ τὴν ἐκείνων αὐτοὶ στρατεύσαντες, καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν Ἠϊόνα καὶ τὴν Ἀμφίπολιν οἰκίσαντες. Ὤκισαν δὲ καὶ Σκῦρον, ἑλόντος Κίμωνος ἐξ αἰτίας τοιαύτης. Δόλοπες ᾤκουν τὴν νῆσον, ἐργάται κακοὶ γῆς· ληϊζόμενοι δὲ τὴν θάλασσαν ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων, ἀλλὰ Θετταλούς τινας ἐμπόρους περὶ τὸ Κτήσιον ὁρμισαμένους συλήσαντες εἷρξαν. Ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι δίκην κατεδικάσαντο τῆς πόλεως Ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι, πέμπουσι γράμματα πρὸς Κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν νεῶν ληψόμενον τὴν πόλιν ὑπ' αὐτῶν ἐνδιδομένην. Παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ

Κίμων, τοὺς μὲν Δόλοπας ἐξήλασε, καὶ τὸν Αἰγαῖον ἠλευθέρωσε. Πυνθανόμενος δὲ, τὸν παλαιὸν Θησέα, τὸν Αἰγέως, φυγόντα μὲν ἐξ Ἀθηνῶν εἰς Σκῦρον, αὐτοῦ δ' ἀποθανόντα δόλῳ διὰ φόβον ὑπὸ Λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. Καὶ γὰρ ἦν χρησμὸς Ἀθηναίοις, τὰ Θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄςυ, καὶ τιμᾷν ὡς ἥρωα πρεπόντως. Ἀλλ' ἠγνόουν, ὅπου κεῖται, Σκυρίων οὐχ ὁμολογούντων, οὐδ' ἐώντων ἀναζητεῖν. Τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ Κίμων εἰς τὴν αὐτοῦ τριήρη τὰ ὀςᾶ, καὶ τἄλλα κοσμήσας μεγαλοπρεπῶς, κατήγαγεν εἰς τὴν αὐτοῦ δὶ ἐτῶν σχεδὸν ὀκτακοσίων. Ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. Ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαςὴν γενομένην. Πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀφεψίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος· ὡς δὲ Κίμων μετὰ τῶν συςρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδὰς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας, ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαςον. Ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα τὴν φιλοτιμίαν ὑπερέβαλε. Νικήσαντος δὲ τοῦ Σοφοκλέους, λέγεται τὸν Αἰσχύλον, περιπαθῆ γενόμενον, καὶ βαρέως ἐνεγκόντα, χρόνον οὐ πολὺν Ἀθήνῃσι διαγαγεῖν, εἶτ' οἴχεσθαι δὶ ὀργὴν εἰς Σικελίαν, ὅπου καὶ τελευτήσας περὶ Γέλαν τέθαπται.

Θ. Συνδειπνῆσαι δὲ τῷ Κίμωνι φησὶν ὁ Ἴων, παντάπασι μειράκιον, ἥκων εἰς Ἀθήνας ἐκ Χίου, παρὰ Λαομέδοντι· καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος ᾆσαι, καὶ ᾄσαντος οὐκ ἀηδῶς ἐπαινεῖν τοὺς παρόντας, ὡς δεξιώτερον Θεμιστοκλέους. Ἐκεῖνον γὰρ ᾄδειν μὲν οὐ φάναι μαθεῖν, οὐδὲ κιθαρίζειν· πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. Τοὐντεῦθεν, οἷον




ΕΚ ΤΟΥ ΕΝ ΟΥΑΤΙΚΑΝΩΙ ΜΟΥΣΕΙΟΥ

Σελ. 188. Τ.ο: 3

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΤΤ

εἰκὸς ἐν πότῳ, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ Κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν ϛρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. Ἐπεὶ γὰρ ἐκ Σηϛοῦ καὶ Βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι, τῷ Κίμωνι διανεῖμαι προσέταξαν, ὁ δὲ χωρὶς μὲν αὐτοὺς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. Ὁ δὲ τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν Ἀθηναίους. Ἡροφύτου δὲ τοῦ Σαμίου συμβουλεύσαντος, αἱρεῖσθαι τὰ Περσῶν μᾶλλον, ἢ Πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον, Ἀθηναίοις δὲ τοὺς αἰχμαλώτους ἀπέλιπον. Καὶ τότε μὲν ὁ Κίμων ἀπῄει, γελοῖος εἶναι δοκῶν διανομεὺς, τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ, καὶ μανιάκας, καὶ ϛρεπτοὺς, καὶ κάνδυας, καὶ πορφύραν φερομένων, τῶν δ' Ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. Μικρὸν δὲ ὕϛερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι, καταβαίνοντες ἐκ Φρυγίας καὶ Λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαϛον· ὥϛε τῷ Κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι, καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον ἐκ τῶν λύτρων περιγενέσθαι.

I. Ἤδη δ' εὐπορῶν ὁ Κίμων, ἐφόδια τῆς ϛρατηγίας, ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελῆσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. Τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας· καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς, ἐποιεῖτο καθ' ἡμέραν· ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. Ὡς δ' Ἀριϛοτέλης φησὶν, οὐχ ἁπάντων Ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ Λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. Αὐτῷ δὲ νεανίσκοι παρείποντο

συνήθως, ἀμπεχόμενοι καλῶς, ὧν ἕκαςος, εἴ τις συντύχοι τῷ Κίμωνι τῶν ἀςῶν πρεσβύτερος, ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια· καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. Οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριςάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας· ὧν δὴ καὶ Κρατῖνος ὁ κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων·

*Κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς*
*Σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ,*
*Καὶ πάντ' ἀρίςῳ τῶν πανελλήνων πρόμῳ,*
*Κίμωνι, λιπαρὸν γῆρας εὐωχούμενος*
*Αἰῶνα πάντα συνδιατρίψειν. Ὁ δὲ*
*Λιπὼν, βέβηκε πρότερος. . . . . .*

Ἔτι τοίνυν, Γοργίας μὲν ὁ Λεοντῖνος φησὶ τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν, ὡς χρῷτο, χρῆσθαι δὲ, ὡς τιμῷτο· Κριτίας δὲ, τῶν τριάκοντα γενόμενος, ἐν ταῖς ἐλεγείαις εὔχεται,

*Πλοῦτον μὲν Σκοπάδων, μεγαλοφροσύνην δὲ Κίμωνος,*
*Νίκας δ' Ἀγεσίλα τοῦ Λακεδαιμονίου.*

Καίτοι Λίχαν γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαςὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν. Οἱ μὲν γὰρ, ἐφ' οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τό τε σπέρμα τῆς τροφῆς εἰς τοὺς Ἕλληνας ἐξέδωκαν, ὑδάτων τε πηγαίων χρῆσιν, καὶ πυρὸς ἔναυσιν, ἀνθρώπους ἐδίδαξαν. Ὁ δὲ, τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινὸν, ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς, καὶ ὅσα ὧραι καλὰ φέρουσι, χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ Κρόνου μυθολογουμένην κοινωνίαν εἰς τὸν βίον αὖθις κατῆγεν. Οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξηλέγχοντο τοῦ ἀνδρὸς προαιρέσεως, ἀριςοκρα-

τικῆς καὶ Λακωνικῆς οὔσης. Ὅς γε καὶ Θεμιστοκλεῖ, πέρα τοῦ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν, ἀντέβαινε μετ' Ἀριστείδου· καὶ πρὸς Ἐφιάλτην ὕστερον, χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ Ἀρείου πάγου βουλὴν, διηνέχθη. Λημμάτων δὲ δημοσίων τοὺς ἄλλους, πλὴν Ἀριστείδου καὶ Ἐφιάλτου, πάντας ἀναπιμπλαμένους ὁρῶν, αὑτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε. Λέγεται γέ τοι, Ῥοισάκην τινὰ βάρβαρον, ἀποστάτην βασιλέως, ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς Ἀθήνας, καὶ σπαραττόμενον ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς Κίμωνα, καὶ θεῖναι παρὰ τὴν αὔλειον αὐτοῦ φιάλας δύο, τὴν μὲν ἀργυρείων ἐμπλησάμενον Δαρεικῶν, τὴν δὲ χρυσῶν. Ἰδόντα δὲ τὸν Κίμωνα, καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται Κίμωνα μισθωτὸν, ἢ φίλον ἔχειν· τοῦ δὲ φήσαντος φίλον· « Οὐκοῦν (φάναι) ταῦτ' ἄπιθι μετὰ σεαυτοῦ κομίζων· χρήσομαι γὰρ αὐτοῖς, ὅταν δέωμαι, φίλος γενόμενος. »

ΙΑ. Ἐπεὶ δὲ οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν, ἄνδρας δὲ καὶ ναῦς, ὡς ἐτάχθησαν, οὐ παρεῖχον, ἀλλ' ἀπαγορεύοντες ἤδη πρὸς τὰς ϛρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι, γεωργεῖν δὲ καὶ ζῆν καθ' ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν, οὔτ' ἄνδρας ἀπέϛελλον, οἱ μὲν ἄλλοι ϛρατηγοὶ τῶν Ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. Κίμων δὲ, τὴν ἐναντίαν ὁδὸν ἐν τῇ ϛρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν Ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενὰς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰκεῖα διατρίβειν, γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν

ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. Τῶν δ' Ἀθηναίων ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων, καὶ διαπονῶν ταῖς στρατείαις, ἐν ὀλίγῳ χρόνῳ τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. Πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῆς αὐτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες.

ΙΒ. Καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον, ἢ Κίμων. Οὐ γὰρ ἀνῆκεν ἐκ τῆς Ἑλλάδος ἀπηλλαγμένον, ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατεστρέφετο, τὰ δ' ἀφίστη καὶ προσήγετο τοῖς Ἕλλησιν· ὥστε τὴν ἀπ' Ἰωνίας Ἀσίαν ἄχρι Παμφυλίας παντάπασι Περσικῶν ὅπλων ἐρημῶσαι. Πυθόμενος δὲ, τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν περὶ Παμφυλίαν, καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς Χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ Κνίδου καὶ Τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ Θεμιστοκλέους ἄριστα κατεσκευασμέναις· ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πολεμίοις. Ἐπιπλεύσας δὲ τῇ πόλει τῶν Φασηλιτῶν, Ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει, καὶ προσέβαλε τοῖς τείχεσιν. Οἱ δὲ Χῖοι, συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς Φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν Κίμωνα κατεπράϋνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσκείμενα τοῖς οἰστοῖς, ἐξήγγελλον τοῖς Φασηλίταις. Τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους.

βαρβάρους. Ἔφορος μὲν οὖν Τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ Φερενδάτην· Καλλισθένης δ', Ἀριομάνδην τὸν Γωβρύου, κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν Εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς Ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς Φοινίσσας ἀπὸ Κύπρου προσπλεούσας. Ταύτας φθῆναι βουλόμενος ὁ Κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος, ἂν ἑκόντες μὴ ναυμαχῶσιν. Οἱ δὲ πρῶτον μὲν, ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο, προσφερομένων δὲ τῶν Ἀθηναίων, ἀντεξέπλευσαν, ὡς ἱστορεῖ Φανόδημος, ἑξακοσίαις ναυσίν· ὡς δ' Ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. Ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον· οἱ δὲ καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν. Ὧ καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μὲν, ὡς εἰκὸς, ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίας αἰχμαλώτους ἔλαβον οἱ Ἀθηναῖοι.

ΙΓ. Τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ Κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς Ἕλληνας· ὅμως δὲ, ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. Ὑποστάντων δὲ τῶν Περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, κρατερὰ μάχη συνέστη· καὶ τῶν Ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. Πολλῷ δ' ἀγῶνι τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα ᾕρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. Κίμων δ', ὥσπερ ἀθλητὴς δεινὸς, ἡμέρᾳ μιᾷ δύο

καθηρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν Σαλαμῖνι πεζομαχίᾳ, τὸ δ᾽ ἐν Πλαταιαῖς ναυμαχίᾳ παρεληλυθὼς τρόπαιον, ἐπηγωνίσατο ταῖς νίκαις· καὶ τὰς ὀγδοήκοντα Φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, Ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν, οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων· ᾗ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. Τοῦτο τὸ ἔργον οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην, ἵππου μὲν δρόμον ἀεὶ τῆς Ἑλληνικῆς ἀπέχειν θαλάσσης, ἔνδον δὲ Κυανέων καὶ Χελιδονίων μακρᾷ νηῒ καὶ χαλκεμβόλῳ μὴ πλέειν. Καίτοι Καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς Ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ Περικλέα, καὶ τριάκοντα μόναις Ἐφιάλτην, ἐπέκεινα πλεῦσαι Χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. Ἐν δὲ τοῖς ψηφίσμασιν, ἃ συνήγαγε Κρατερὸς, ἀντίγραφα συνθηκῶν, ὡς γενομένων, κατατέτακται. Φασὶ δὲ, καὶ βωμὸν εἰρήνης διὰ ταῦτα τοὺς Ἀθηναίους ἱδρύσασθαι, καὶ Καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. Πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἴς τε τἄλλα χρήμασιν ὁ δῆμος ἐῤῥώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν, ἀπ᾽ ἐκείνης εὐπορήσας τῆς στρατείας. Λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν, ἃ σκέλη καλοῦσι, συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν, τὴν δὲ πρώτην θεμελίωσιν, εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων, ἐρεισθῆναι διὰ Κίμωνος ἀσφαλῶς, χάλικι πολλῇ καὶ λίθοις βαρέσι τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. Πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς, αἳ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ, τὴν

μὲν ἀγορὰν πλατάνοις καταφυτεύσας, τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς, κατάῤῥυτον ἀποδείξας ἄλσος, ἠσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

ΙΔ. Ἐπεὶ δὲ τῶν Περσῶν τινες οὐκ ἐβούλοντο τὴν Χεῤῥόνησον καταλιπεῖν, ἀλλὰ καὶ τοὺς Θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ Κίμωνος, μετ' ὀλίγων παντάπασι τριηρῶν Ἀθήνηθεν ἐκπεπλευκότος, ὁρμήσας ἐπ' αὐτοὺς, τέσσαρσι μὲν ναυσὶ τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν· ἐξελάσας δὲ τοὺς Πέρσας, καὶ κρατήσας τῶν Θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν Χεῤῥόνησον. Ἐκ δὲ τούτου Θασίους μὲν ἀποστάντας Ἀθηναίων καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε, καὶ τὴν πόλιν ἐξεπολιόρκησε, καὶ τὰ χρυσεῖα τὰ πέραν Ἀθηναίοις προσεκτήσατο, καὶ χώραν, ἧς ἐπῆρχον Θάσιοι, παρέλαβεν. Ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι Μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν, ὡς ἐδόκει, μὴ θελήσας, αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως Ἀλεξάνδρου συμπεπεῖσθαι· καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ' αὐτόν. Ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ Ἰώνων ἔφει προξενεῖν, οὐδὲ Θεσσαλῶν, πλουσίων ὄντων, ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ Λακεδαιμονίων, μιμούμενος καὶ ἀγαπῶν τὴν παρ' αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην· ἧς οὐδένα προτιμᾷν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν ἀγάλλεσθαι. Μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ Στησίμβροτος, φησὶ τὴν Ἐλπινίκην, ὑπὲρ τοῦ Κίμωνος δεομένην, ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ Περικλέους (οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος). Τὸν δὲ, μειδιάσαντα· « Γραῦς εἶ (φάναι), γραῦς, ὦ Ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα.» Πλὴν ἔν γε τῇ δίκῃ πρᾳότατον γενέσθαι τῷ Κίμωνι, καὶ πρὸς τὴν κατηγορίαν ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον.

ΙΕ. Ἐκείνην μὲν οὖν ἀπέφυγε τὴν δίκην· ἐν δὲ τῇ λοιπῇ πο-

λιτεία παρὼν μὲν ἐκράτει καὶ συνέςελλε τὸν δῆμον ἐπιβαίνοντα τοῖς ἀρίςοις, καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. Ὡς δὲ πάλιν ἐπὶ ςρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ, καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον *τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον*, Ἐφιάλτου προεστῶτος, ἀφείλοντο τῆς ἐξ Ἀρείου πάγου βουλῆς τὰς κρίσεις, πλὴν ὀλίγων, ἁπάσας· καὶ τῶν δικαςηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη καὶ Περικλέους δυναμένου, καὶ τὰ τῶν πολλῶν φρονοῦντος. Διὸ καὶ τοῦ Κίμωνος, ὡς ἐπανῆλθεν, ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου, καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ Κλεισθένους ἐγείρειν ἀριςοκρατίαν, κατεβόων συνιςάμενοι, καὶ τὸν δῆμον ἐξηρέθιζον, ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ Λακωνισμὸν ἐπικαλοῦντες. Εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύλληται περὶ Κίμωνος, ὅτι

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής.
Κἀνίοτ' ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
Κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

Εἰ δ' ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε, καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον, ὅτι, νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον, οὔτε τῶν ὕςερον Ἑλλήνων παρῆλθε τὰς πράξεις.

Ις. Ἦν μὲν οὖν ἀπ' ἀρχῆς φιλολάκων· καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον Λακεδαιμόνιον ὠνόμασε, τὸν δ' ἕτερον Ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ Κλειτορίας γενομένους, ὡς Στησίμβροτος ἱςορεῖ· δὶ ὃ πολλάκις τὸν Περικλέα τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. Διόδωρος δ' ὁ Περιηγητὴς καὶ τούτους φησὶ καὶ τὸν τρίτον τῶν Κίμωνος υἱῶν, Θεσσαλὸν, ἐξ Ἰσοδίκης γεγονέναι τῆς Εὐρυπτολέμου τοῦ Μεγακλέους. Ηὐξήνθη δ' ὑπὸ τῶν

Λακεδαιμονίων ἤδη τῷ Θεμιςοκλεῖ προσπολεμούντων, καὶ τοῦτον ὄντα νέον ἐν Ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν βουλομένων. Οἱ δ' Ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν Σπαρτιατῶν ἀπολαύοντες. Αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς, καὶ τὰ συμμαχικὰ πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ Κίμωνος. Τὰ γὰρ πλεῖςα δι' ἐκείνου τῶν Ἑλληνικῶν διεπράττετο, πράως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς Λακεδαιμονίοις ὁμιλοῦντος. Ἔπειτα δυνατώτεροι γενόμενοι, καὶ τὸν Κίμωνα τοῖς Σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον ὁρῶντες, ἤχθοντο. Καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν Λακεδαίμονα πρὸς Ἀθηναίους, καὶ μάλιςα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων, ὥς φησι Στησίμβροτος, εἰώθει λέγειν· « Ἀλλ' οὐ Λακεδαιμόνιοί γε τοιοῦτοι. » Ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. Ἡ δ' οὖν ἰσχύσασα μάλιςα κατ' αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔσχε τοιαύτην. Ἀρχιδάμου τοῦ Ζευξιδάμου τέταρτον ἔτος ἐν Σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ, μεγίςου δὴ τῶν μνημονευομένων πρότερον, ἥ τε χώρα τῶν Λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς, καὶ τῶν Ταϋγέτων τιναχθέντων κορυφαί τινες ἀπεῤῥάγησαν. Αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη, πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειψεν ὁ σεισμός. Ἐν δὲ μέσῃ τῇ ςοᾷ γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται, μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι, καὶ τοὺς μὲν νεανίσκους, ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν, τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. Τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν Σεισματίαν προσαγορεύουσι. Ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ Ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σώζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν, ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιςα μετὰ τῶν

ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. Ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν Σπάρτην διέσωσεν. Οἱ γὰρ Εἵλωτες ἐκ τῶν ἀγρῶν συνέδραμον πανταχόθεν, ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν Σπαρτιατῶν. Ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους, καὶ Μεσσηνίων ἅμα τοῖς Σπαρτιάταις συνεπιθεμένων. Πέμπουσιν οὖν οἱ Λακεδαιμόνιοι Περικλείδαν εἰς Ἀθήνας, δεόμενοι βοηθεῖν, ὅν φησι κωμῳδῶν Ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι στρατιὰν ἀπαιτεῖν. Ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν, μηδ᾽ ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς Ἀθήνας, ἀλλ᾽ ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνα φησὶ Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ Λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. Ὁ δ᾽ Ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα τοὺς Ἀθηναίους ἐκίνησε, παρακαλῶν μήτε τὴν Ἑλλάδα χωλὴν, μήτε τὴν πόλιν ἑτερόζυγα περιιδεῖν γεγενημένην.

ΙΖ. Ἐπεὶ δὲ, βοηθήσας τοῖς Λακεδαιμονίοις, ἀπῄει διὰ Κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει Λάχαρτος αὐτῷ, πρὶν ἐντυχεῖν τοῖς πολίταις, εἰσαγαγόντι τὸ στράτευμα. Καὶ γὰρ θύραν κόψαντος ἀλλοτρίαν, οὐκ εἰσιέναι πρότερον, ἢ τὸν κύριον κελεῦσαι. Καὶ ὁ Κίμων· « Ἀλλ᾽ οὐχ ὑμεῖς (εἶπεν), ὦ Λάχαρτε, τὰς Κλεωναίων καὶ Μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάσασθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς μεῖζον δυναμένοις. » Οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν Κορίνθιον ἐν δέοντι, καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. Οἱ δὲ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν Ἰθώμῃ Μεσσηνίους καὶ Εἵλωτας· ἐλθόντων δὲ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες, ἀπεπέμψαντο μόνους τῶν συμμάχων

ὡς νεωτεριστάς. Οἱ δὲ, πρὸς ὀργὴν ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον, καὶ τὸν Κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως, ἐξωστράκισαν εἰς ἔτη δέκα. Τοσούτου γὰρ ἦν χρόνου τεταγμένον ἀπεῖναι τοῖς ἐξοστρακιζομένοις. Ἐν δὲ τούτῳ τῶν Λακεδαιμονίων, ὡς ἐπανήρχοντο Δελφοὺς ἀπὸ Φωκέων ἐλευθερώσαντες, ἐν Τανάγρᾳ καταστρατοπεδευσάντων, Ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι, Κίμων δὲ μετὰ τῶν ὅπλων ἧκεν εἰς τὴν αὐτοῦ φυλὴν τὴν Οἰνηΐδα, πρόθυμος ὢν ἀμύνεσθαι τοὺς Λακεδαιμονίους μετὰ τῶν πολιτῶν. Ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη, καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων, ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει Λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. Κἀκεῖνος μὲν ᾤχετο, δεηθεὶς Εὐθίππου τοῦ Ἀναφλυστίου, καὶ τῶν ἄλλων ἑταίρων, ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν ἔσχον, ἐῤῥωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. Οἱ δὲ, λαβόντες αὐτοῦ τὴν πανοπλίαν, εἰς τὸν λόχον ἔθεντο· καὶ μετ' ἀλλήλων συστάντες ἐκθύμως, ἑκατὸν ὄντες, ἔπεσον, πολὺν αὐτῶν πόθον, καὶ μεταμέλειαν, ἐφ' οἷς ᾐτιάθησαν ἀδίκως, ἀπολιπόντες τοῖς Ἀθηναίοις. Ὅθεν οὐδὲ τῷ πρὸς Κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν, τὰ μὲν ὡς εἰκὸς, ὧν ἔπαθον εὖ μεμνημένοι, τὰ δὲ τοῦ καιροῦ συλλαμβανομένου. Νενικημένοι γὰρ ἐν Τανάγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν Πελοποννησίων ἐπ' αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν Κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος Περικλέους. Οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ' οἱ θυμοὶ, καὶ πρὸς τὸ κοινὸν εὐανάκλητοι συμφέρον· ἡ δὲ φιλοτιμία πάντων ἐπικρατοῦσα τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς.

III. Εὐθὺς μὲν οὖν ὁ Κίμων κατελθὼν, ἔλυσε τὸν πόλεμον, καὶ διήλλαξε τὰς πόλεις. Γενομένης δ' εἰρήνης, ὁρῶν τοὺς

Ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς ςρατείαις βουλομένους, ἵνα μὴ τοῖς Ἕλλησι διοχλῶσι, μηδὲ περὶ τὰς νήσους, ἢ Πελοπόννησον, ἀναστρεφόμενοι ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων, καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς ἐπισπάσωνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ' Αἴγυπτον καὶ Κύπρον αὖθις ἐκςρατευσόμενος· ἅμα μὲν ἐμμελετᾷν τοῖς πρὸς τοὺς βαρϐάρους ἀγῶσι βουλόμενος τοὺς Ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως, τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας εἰς τὴν Ἑλλάδα κομίζοντας. Ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς ναυσὶν ὄντος, ὄναρ εἶδεν ὁ Κίμων. Ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτὸν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον εἰπεῖν·

Στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ καὶ ἐμοῖς σκυλάκεσσιν.

Οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, Ἀςύφιλος ὁ Ποσειδωνιάτης, μαντικὸς ἀνὴρ, καὶ συνήθης τῷ Κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν· Κύων ἀνθρώπῳ, πρὸς ὃν ὑλακτεῖ, πολέμιος· πολεμίῳ δ' οὐκ ἄν τις μᾶλλον, ἢ τελευτήσας, φίλος γένοιτο. Τὸ δὲ μίγμα τῆς φωνῆς Μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν· ὁ γὰρ Μήδων ςρατὸς Ἕλλησιν ὁμοῦ καὶ βαρϐάροις μέμικται. Μετὰ δὲ ταύτην τὴν ὄψιν, αὐτοῦ τῷ Διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον, τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη μύρμηκες πολλοὶ λαμϐάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν Κίμωνα, καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες. Ἅμα δέ πως ὅ τε Κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοϐὸν οὐκ ἔχοντα κεφαλήν. Ἀλλ', οὐ γὰρ ἦν ἀνάδυσις τῆς ςρατείας, ἐξέπλευσε, καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς Αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν ἔπλει. Καὶ καταναυμαχήσας Φοινισσῶν νεῶν καὶ Κιλισσῶν βασιλικὸν

ϛόλον, ἀνεκτᾶτό τε τὰς ἐν κύκλῳ πόλεις, καὶ τοῖς περὶ Αἴγυπτον ἐφήδρευεν, οὐδὲν μικρὸν, ἀλλ' ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν· καὶ μάλιϛα ὅτι τοῦ Θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς βαρβάροις μεγάλην, ὑποδεδεγμένου βασιλεῖ κινοῦντι τὸν Ἑλληνικὸν πόλεμον ϛρατηγήσειν. Θεμιϛοκλῆς μὲν οὖν οὐχ ἥκιϛα λέγεται τὰς Ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑπερβαλόμενος τὴν Κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. Κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων καὶ περὶ Κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς Ἄμμωνος ἄνδρας, ἀπόῤῥητόν τινα μαντείαν ποιησομένους παρὰ τῷ θεῷ. Γινώσκει γὰρ οὐδεὶς, ὑπὲρ ὧν ἐπέμφθησαν· οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν. Ἀλλ' ἅμα τῷ προσελθεῖν ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους· αὐτὸν γὰρ ἤδη τὸν Κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. Ταῦτ' ἀκούσαντες οἱ θεοπρόποι, κατέβαινον ἐπὶ θάλασσαν· γενόμενοι δ' ἐν τῷ ϛρατοπέδῳ τῶν Ἑλλήνων, ὃ τότε περὶ Αἴγυπτον ἦν, ἐπύθοντο τεθνᾶναι τὸν Κίμωνα· καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες, ἔγνωσαν ἠνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος.

ΙΘ. Ἀπέθανε δὲ πολιορκῶν Κίτιον, ὡς οἱ πλεῖϛοι λέγουσι, νοσήσας· ἔνιοι δέ φασιν ἐκ τραύματος, ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. Τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν, ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ· καὶ συνέβη, μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι, ϛρατηγουμένους ὑπὸ Κίμωνος, ὥς φησι Φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. Μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς ἐπράχθη, ϛρατηγούντων Ἑλλήνων, ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διατχόντος, συνεῤῥάγησαν εἰς τὸν

πόλεμον· ἀναπνοὴ μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς Ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. Ὀψὲ δ' οἱ περὶ τὸν Ἀγησίλαον, εἰς τὴν Ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχέος ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως ϛρατηγούς· καὶ λαμπρὸν οὐδὲν, οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς Ἑλληνικαῖς ϛάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες, ᾤχοντο τοὺς Περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμάχοις καὶ φίλαις πόλεσιν ἀπολιπόντες· ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν, οὐδ' ἵππος πρὸς θαλάσσῃ τετρακοσίων ϛαδίων ἐντὸς ὤφθη, ϛρατηγοῦντος Κίμωνος. Ὅτι μὲν οὖν εἰς τὴν Ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τῶν μνημάτων τὰ μέχρι νῦν Κιμώνεια προσαγορευόμενα· τιμῶσι δὲ καὶ Κιτιεῖς τάφον τινὰ Κίμωνος, ὡς Ναυσικράτης ὁ ῥήτωρ φησὶν, ἐν λιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν Κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. Τοιοῦτος μὲν ὁ Ἑλληνικὸς ἡγεμών.

# ΠΛΟΥΤΑΡ. ΛΟΥΚΟΥΛΛΟΣ.

Τῷ δὲ Λουκούλλῳ πάππος μὲν ἦν ὑπατικὸς, θεῖος δὲ πρὸς μητρὸς Μέτελλος, ὁ Νομαδικὸς ἐπικληθείς. Τῶν δὲ γονέων ὁ μὲν πατὴρ ἑάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. Αὐτὸς δ' ὁ Λούκουλλος, ἔτι μειράκιον ὢν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο, τὸν τοῦ πατρὸς κατήγορον κρῖναι Σερουΐλιον Αὔγουρα, λαβὼν ἀδικοῦντα δημοσίᾳ. Καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη Ῥωμαίοις, καὶ τὴν δίκην ἐκείνην, ὥσπερ ἀριστείαν, διὰ στόματος ἔσχον. Ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον· ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾷν, ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. Οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνην φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας καὶ πεσεῖν, ἀπέφυγεν ὁ Σερουΐλιος. Ὁ δὲ Λούκουλλος ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτταν· ὥστε καὶ Σύλλας, τὰς αὑτοῦ πράξεις ἀναγράφων, ἐκείνῳ προσεφώνησεν, ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. Ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων τὴν μὲν ἀγορὰν

> Θύννος βολαῖος πέλαγος ὡς διεστρόβει·

γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς,

> Αὖος ἀμουσίᾳ τεθνηκώς. . . . . .

ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν, ἔτι καὶ μειράκιον ὤν. Γενόμενος δὲ πρεσβύτερος, ἤδη παντάπασιν, ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων, ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν καὶ ἀναπαύ-

εσθαι, τὸ θεωρητικὸν αὐτῆς ἐγείρας· καταλύσας δ᾽ ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς Πομπήϊον διαφορᾶς. Περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ ταῦτα λέγεται· νέον ὄντα πρὸς Ὀρτήσιον τὸν δικολόγον, καὶ Σισεννᾶν τὸν ἱςορικὸν, ἐκ παιδιᾶς τινος εἰς σπουδὴν προελθούσης ὁμολογῆσαι, προθεμένων ποίημα καὶ λόγον Ἑλληνικόν τε καὶ Ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν Μαρσικὸν ἐντενεῖν πόλεμον. Καί πως ἔοικεν εἰς λόγον Ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι. Διασώζεται γὰρ Ἑλληνική τις ἱςορία τοῦ Μαρσικοῦ πολέμου. Τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ, Μάρκον, εὐνοίας πολλῶν τεκμηρίων ὄντων, μάλιςα Ῥωμαῖοι τοῦ πρώτου μνημονεύουσι. Πρεσβύτερος γὰρ ὢν αὐτοῦ, λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν, ἀλλὰ τὸν ἐκείνου καιρὸν ἀναμείνας, οὕτως ἐπηγάγετο τὸν δῆμον, ὥςε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι.

Β. Νέος δ᾽ ὢν ἐν τῷ Μαρσικῷ πολέμῳ, πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως. Μᾶλλόν γε μὴν αὐτὸν δι᾽ εὐςάθειαν καὶ πρᾳότητα Σύλλας προσηγάγετο, καὶ χρώμενος ἀπ᾽ ἀρχῆς ἐπὶ τὰ πλείςης ἄξια σπουδῆς διετέλεσεν· ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. Δι᾽ ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖςον ἐν Πελοποννήσῳ, περὶ τὸν Μιθριδατικὸν πόλεμον, καὶ Λουκούλλειον ἀπ᾽ ἐκείνου προσηγορεύθη, καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν ςρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. Ἐκ τούτου τῆς μὲν γῆς ἐπικρατῶν ὁ Σύλλας ἐν ταῖς Ἀθήναις, περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ᾽ Αἰγύπτου καὶ Λιβύης τὸν Λούκουλλον, ἄξοντα ναῦς ἐκεῖθεν. Ἦν μὲν οὖν ἀκμὴ χειμῶνος· ἐξέπλευσε δὲ τρισὶν Ἑλληνικοῖς μυοπάρωσι, καὶ δικρότοις ἴσαις Ῥοδιακαῖς, πρὸς μέγα πέλαγος, καὶ ναῦς πολεμίας, πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας, παραβαλλόμενος. Οὐ μὴν ἀλλὰ καὶ Κρήτην κατάρας ᾠκειώσατο, καὶ Κυρηναίους

καταλαβὼν ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους, ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, Πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. Δεομένων γὰρ, ὡς ἔοικεν, ὅπως αὐτοῖς νόμους γράψῃ, καὶ τὸν δῆμον αὐτῶν εἰς τύπον τινὰ καταστήσῃ πολιτείας σώφρονος, ἔφη χαλεπὸν εἶναι Κυρηναίοις, οὕτως εὐτυχοῦσι, νομοθετεῖν. Οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον, εὖ πράσσειν δοκοῦντος· οὐδ' αὖ πάλιν δεκτικώτερον ἐπιστασίας, συσταλέντος ὑπὸ τῆς τύχης. Ὃ καὶ τότε Κυρηναίους νομοθετοῦντι Λουκούλλῳ πράους παρέσχεν. Ἐκεῖθεν δ' ἀναχθεὶς ἐπ' Αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων· αὐτὸς δὲ διασωθεὶς, κατήγετο λαμπρῶς εἰς Ἀλεξάνδρειαν. Ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς· καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν, οἴκησίν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. Δαπάνην δὲ καὶ σύνταξιν, οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν, οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. Λέγεται δὲ μήτ' εἰς Μέμφιν ἀναβῆναι, μήτ' ἄλλο τῶν θαυμαζομένων ἐν Αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι· σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ, ὡς αὐτὸς, ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος.

Γ. Ἐπεὶ δ' ἀπεῖπε τὴν συμμαχίαν ὁ Πτολεμαῖος, πρὸς τὸν πόλεμον ἀποδειλιάσας, ἐκείνῳ δὲ ναῦς ἄχρι Κύπρου πομποὺς παρέσχε, καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων, ἐδωρεῖτο χρυσένδετον σμάραγδον τῶν πολυτελῶν, τὸ μὲν πρῶτον ὁ Λούκουλλος παρῃτεῖτο· δείξαντος δὲ τὴν γλυφὴν

τοῦ Βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι, μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς, ἐπιβουλευθείη κατὰ θάλατταν. Ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσαι πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν Κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἐνεώλκησε τὰ σκάφη πάντα, καὶ ταῖς πόλεσιν ἔγραφε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. Εἶτα πλοῦ φανέντος, ἐξαπίνης κατασπάσας τὰς ναῦς ἀνήχθη, καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱςίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπαιρομένοις, εἰς Ῥόδον ἐσώθη. Ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, Κώους ἔπεισε καὶ Κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας ἐπὶ Σαμίους συςρατεύειν. Ἐκ δὲ Χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, Κολοφωνίους δ' ἠλευθέρωσε, συλλαβὼν Ἐπίγονον, τὸν τύραννον αὐτῶν. Ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη Μιθριδάτης τὸ Πέργαμον ἐκλελοιπὼς, καὶ συνεςαλμένος εἰς Πιτάνην. Ἐκεῖ δὲ Φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν, συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν ςόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ Φιμβρίᾳ συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. Ὁ δὲ, ταῦτα συνορῶν, ναυτικῷ δὲ λειπόμενος, πρὸς Λούκουλλον ἔπεμπεν, ἥκειν τῷ ςόλῳ δεόμενος, καὶ συνεξελεῖν ἔχθιςον καὶ πολεμιώτατον βασιλέων· ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον ἐκφύγοι Ῥωμαίους Μιθριδάτης, εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων· οὗ ληφθέντος, οὐδένα τῆς δόξης οἴσεσθαι πλέον, ἢ τὸν ἐμποδὼν τῇ φυγῇ ςάντα, καὶ διαδιδράσκοντος ἐπιλαβόμενον. Ὑφ' ἑαυτοῦ μὲν [γ'] ἐξεωσμένου τῆς γῆς, ὑπ' ἐκείνου δὲ τῆς θαλάττης εἰργομένου, ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα, τὰς δὲ Σύλλα πρὸς Ὀρχομενῷ καὶ Χαιρωνείᾳ ὑμνουμένας ἀριςείας ἐν οὐδενὶ




ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘΗΚΗΣ

Σελ. 206. Τ. 5.

ΒΙΒΛΙΟΘΗΚΗ

λόγῳ θήσεσθαι Ῥωμαίους. Καὶ οὐδὲν ἦν ἄπο τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον, ὡς, εἰ Φιμβρίᾳ τότε πεισθεὶς ὁ Λούκουλλος, οὐ μακρὰν ὢν, περιήγαγεν ἐκεῖσε τὰς ναῦς, καὶ συνέφραξε τὸν λιμένα τῷ σόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος, καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. Ἀλλ', εἴτε τὰ πρὸς Σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν Φιμβρίαν, μιαρὸν ὄντα, καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν, προβαλλόμενος, εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτοῦ τοῦ Μιθριδάτου, καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν. Ἀλλὰ Μιθριδάτῃ μὲν ἐκπλεῦσαι παρέσχε, καὶ καταγελάσαι τῆς Φιμβρίου δυνάμεως. Αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ Λεκτοῦ τῆς Τρωάδος βασιλικὰς ναῦς ἐπιφανείσας κατεναυμάχησεν· αὖθις δὲ πρὸς Τενέδῳ ναυλοχοῦντα μείζονι παρασκευῇ κατιδὼν Νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων, Ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει Δημαγόρας, ἀνὴρ εὔνους τε Ῥωμαίοις καὶ θαλασσίων ἀγώνων ἐμπειρότατος. Ἐπελαύνοντος δὲ ῥοθίῳ τοῦ Νεοπτολέμου, καὶ κελεύσαντος εἰς ἐμβολὴν ἀγαγεῖν τὸν κυβερνήτην, δείσας ὁ Δημαγόρας τὸ βάρος τῆς βασιλικῆς, καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρωρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας, ἐκέλευσεν ἐπὶ πρύμναν ὤσασθαι· καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. Ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ Λούκουλλος ἐπιστρέφειν, καὶ πολλὰ δράσας ἄξια λόγου, τρέπεται τοὺς πολεμίους, καὶ καταδιώκει τὸν Νεοπτόλεμον.

Δ. Ἐκεῖθεν δὲ Σύλλᾳ περὶ Χεῤῥόνησον ἤδη μέλλοντι διαβαίνειν συμβαλὼν, τόν τε πόρον ἀσφαλῆ παρεῖχε, καὶ τὴν στρατιὰν συνδιεβίβαζεν. Ἐπεὶ δὲ, συνθηκῶν γενομένων, Μιθριδάτης μὲν

ἀπέπλευσεν εἰς τὸν Εὔξεινον πόντον, Σύλλας δὲ τὴν Ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τά τε χρήματα ταῦτα πρᾶξαι, καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς Σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν, οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾷον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. Μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν μετρίας, ἐφ' οἷς περὶ Μάριον ἐξήμαρτον· ὡς δ' ἑώρα κακοδαιμονῶντας, ἐπιπλεύσας ἐκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη, καὶ πολιορκίαν συστησάμενος, ἐξέπλευσε μὲν *καὶ* φανερῶς ἡμέρας εἰς Ἐλέαν, ὑπέστρεψε δὲ λεληθότως, καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν ἡσύχαζεν. Ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους, ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον, οἱ Μιτυληναῖοι προσῆλθον, ἐπεισπεσὼν αὐτοῖς, ἔλαβέ τε παμπόλλους ζῶντας, καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν· ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἠλάσατο λείαν. Τῶν δὲ περὶ τὴν Ἰταλίαν κακῶν, ἃ τότε Σύλλας καὶ Μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώποις παρεῖχον, οὐ πάνυ μετέσχε, θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν Ἀσίᾳ πράξεις βραδύνας. Οὐ μὴν ἔλαττόν τι παρὰ Σύλλα τῶν ἄλλων φίλων ἔσχεν, ἀλλὰ τήν τε γραφὴν, ὡς εἴρηται, τῶν ὑπομνημάτων ἐκείνῳ δὶ εὔνοιαν ἀνέθηκε, καὶ τελευτῶν ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς Πομπήϊον. Καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας, νέοις οὖσι καὶ διαπύροις πρὸς δόξαν.

Ε. Ὀλίγῳ δ' ὕστερον ἢ Σύλλαν ἀποθανεῖν, ὑπάτευσε μετὰ Μάρκου Κόττα, περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. Πολλῶν οὖν αὖθις ἀνακινούντων τὸν Μιθριδατικὸν πόλεμον, ἔφη Μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. Διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ Λούκουλλος τὴν ἐντὸς Ἄλπεων Γαλατίαν, ἤχθετο, πράξεων ὑποθέσεις μεγάλων

οὐκ ἔχουσαν. Μάλιϛα δ' αὐτὸν εὐδοκιμῶν Πομπήϊος ἐν Ἰϐηρίᾳ παρώξυνεν, ὡς ἄλλος οὐδεὶς, ἐπίδοξος ὢν, εἰ συμϐαίη παύσασθαι τὸν Ἰϐηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ Μιθριδάτην. Δι' ὃ καὶ χρήματα αἰτοῦντος αὐτοῦ, καὶ γράφοντος, ὡς, εἰ μὴ πέμποιεν, ἀφεὶς Ἰϐηρίαν καὶ Σερτώριον, εἰς Ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ Λούκουλλος προθυμότατα πεμφθῆναι τὰ χρήματα, καὶ μηδ' ἀφ' ἡςινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν, ὑπατεύοντος αὐτοῦ· πάντα γὰρ ἂν ὑπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως, παρόντι μετὰ τοσαύτης ϛρατιᾶς. Καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας, τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν, Κέθηγος, ἔχθραν τινὰ πρὸς Λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον, αἰσχρῶν ἐρώτων καὶ ὕϐρεως καὶ πλημμελείας μεϛὸν ὄντα. Τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει· Λεύκιον δὲ Κοΐντιον, ἄλλον δημαγωγὸν, ἐπαναϛάντα τοῖς Σύλλα πολιτεύμασι, καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεϛῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος, καὶ δημοσίᾳ νουθετῶν, ἀπέϛησε τῆς πείρας, καὶ κατεϛόρεσε τὴν φιλοτιμίαν, ὡς ἐνῆν μάλιϛα πολιτικῶς καὶ σωτηρίως ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος.

ϛ. Ἐν τούτῳ δ' ὁ τὴν Κιλικίαν ἔχων Ὀκταούϊος ἠγγέλθη τεθνηκώς. Σπαργώντων δὲ πολλῶν ἐπὶ τὴν ἐπαρχίαν, καὶ Κέθηγον, ὡς δυνατώτατον ὄντα διαπράξασθαι, θεραπευόντων, αὐτῆς μὲν ὁ Λούκουλλος Κιλικίας οὐ πολὺν εἶχε λόγον· οἰόμενος δ', εἰ λάϐοι ταύτην, ἐγγὺς οὔσης Καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα Μιθριδάτῃ, πᾶσαν ἔϛρεφε μηχανὴν ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. Καὶ τελευτῶν, ἔργον οὐ σεμνὸν, οὐδ' ἐπαινετὸν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος, ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. Πραικία τις ἦν ὄνομα, τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαϐοήτων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνέδην ἑταιρούσης γυ-

ναικός· ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας, προσλαβοῦσα τῇ λοιπῇ χάριτι τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. Ὡς δὲ Κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο, καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις. Οὐδὲ γὰρ ἐπράττετό τι δημοσίᾳ, Κεθήγου μὴ σπουδάζοντος, οὐδὲ Πραικίας μὴ κελευούσης, παρὰ Κεθήγῳ. Ταύτην οὖν ὑπελθὼν δώροις ὁ Λούκουλλος καὶ κολακείαις (ἦν δέ που καὶ τῷ Λουκούλλῳ συμφιλοτιμουμένην ὁρᾶσθαι, μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθὸς), εὐθὺς εἶχε τὸν Κέθηγον ἐπαινέτην, καὶ προμνώμενον αὐτῷ Κιλικίαν. Ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι Πραικίαν, οὐδὲ Κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες ἐνεχείρισαν τὸν Μιθριδατικὸν πόλεμον, ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον· Πομπηΐου μὲν ἔτι Σερτωρίῳ προσπολεμοῦντος, Μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας, οὓς μόνους ἄν τις ἐναμίλλους ἐποιήσατο Λουκούλλῳ περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. Οὐ μὴν ἀλλὰ Κόττας, ὁ συνάρχων αὐτοῦ, πολλὰ λιπαρήσας τὴν σύγκλητον, ἀπεστάλη μετὰ νεῶν τὴν Προποντίδα φυλάξων, καὶ προπολεμήσων Βιθυνίας.

Ζ. Λούκουλλος δὲ, τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ, διέβαινεν εἰς τὴν Ἀσίαν· ἐκεῖ δὲ τὴν ἄλλην παρέλαβε δύναμιν, πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις, τῶν δὲ Φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. Οὗτοι γὰρ ἦσαν οἱ Φλάκκον τε μετὰ Φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες, αὐτόν τε Φιμβρίαν Σύλλᾳ προδεδωκότες, αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. Οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ καὶ τούτων τὸ θράσος ὁ Λού-

κουλλος ἐξέκοψε, καὶ τοὺς ἄλλους ἐπέςρεψε, τότε πρῶτον, ὡς ἔοικε, πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος· ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐθιζόμενοι ςρατεύεσθαι. Τὰ δὲ τῶν πολεμίων οὕτως εἶχε. Μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιςῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ Ῥωμαίους ἀναςὰς διακένῳ δυνάμει, λαμπρᾷ τε καὶ πανηγυρικῇ τὴν ὄψιν· εἶτ' ἐκπεσὼν καταγελάςως, καὶ νουθετηθεὶς, ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέςελλε τὰς δυνάμεις παρασκευήν. Ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων, ὅπλων τε διαχρύσων καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκήν τινα τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἤλαυνε *τὰ* Ῥωμαϊκὰ, καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο, καὶ γεγυμνασμένους μᾶλλον, ἢ κεκοσμημένους, ἤθροιζεν ἵππους, πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων εἰς φάλαγγα Ῥωμαϊκὴν, ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους, ἄνευ τῶν δρεπανηφόρων τεθρίππων, ταῦτα δ' ἦν ἑκατόν· ἔτι δὲ ναῦς οὐ χρυσορόφοις σκηνίσιν, οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας, ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας παραρτυσάμενος, ἐνέβαλεν εἰς Βιθυνίαν, τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων, οὐ μόνον τούτων· ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἔμπροσθεν νοσημάτων εἶχεν, ἀφόρητα πάσχουσαν ὑπὸ Ῥωμαϊκῶν δανειςῶν καὶ τελωνῶν· οὓς ὕςερον μὲν, ὥσπερ Ἁρπυίας, τὴν τροφὴν ἁρπάζοντας αὐτῶν, ὁ Λούκουλλος ἐξήλασε, τότε δὲ μετριωτέρους ἐπειρᾶτο νουθετῶν ποιεῖν, καὶ τὰς ἀποςάσεις κατέπαυε τῶν δήμων, οὐδενὸς, ὡς ἔπος εἰπεῖν, ἡσυχάζοντος.

Η. Ὃν δὲ περὶ ταῦτα Λούκουλλος ἠσχολεῖτο χρόνον, αὑτοῦ καιρὸν εἶναι νομίζων ὁ Κόττας, παρεσκευάζετο μάχεσθαι πρὸς Μιθριδάτην. Καὶ πολλῶν ἀπαγγελλόντων, ἤδη Λούκουλλον ἐν Φρυγίᾳ ςρατοπεδεύειν ἐπιόντα, μόνον οὐκ ἐν ταῖς χερσὶν ἔχειν

τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβοι Λούκουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. Πληγεὶς δ᾽ ἅμα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ἑξήκοντα μὲν ἀπώλεσεν αὔτανδρα σκάφη, πεζοὺς δὲ τετρακισχιλίους· αὐτὸς δὲ κατακλεισθεὶς εἰς Χαλκηδόνα καὶ πολιορκούμενος, εἰς τὰς Λουκούλλου χεῖρας ἀπέβλεπεν. Ἦσαν μὲν οὖν οἱ τὸν Λούκουλλον, ἀμελήσαντα Κόττα, πρόσω χωρεῖν παρορμῶντες, ὡς ἔρημον αἱρήσοντα τὴν Μιθριδάτου βασιλείαν· καὶ μάλιςα τῶν ςρατιωτῶν οὗτος ἦν ὁ λόγος, ἀγανακτούντων, εἰ μὴ μόνον αὑτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ Κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔςαι νικᾶν ἀμαχεὶ δυναμένοις. Λούκουλλος δὲ πρὸς μὲν τούτους δημηγορῶν εἶπεν, ὡς ἕνα βούλοιτ᾽ ἂν ἐκ πολεμίων σῶσαι Ῥωμαῖον, ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. Ἀρχελάου δὲ τοῦ περὶ Βοιωτίαν Μιθριδάτῃ ςρατηγήσαντος, εἶτ᾽ ἀποςάντος καὶ Ῥωμαίοις συςρατεύοντος, διαβεβαιουμένου ὀφθέντα Λούκουλλον ἐν Πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥςε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. Καὶ ταῦτ᾽ εἰπὼν, ἐπὶ Μιθριδάτην προῆγε, πεζοὺς μὲν ἔχων τρισμυρίους, ἱππεῖς δὲ δισχιλίους πεντακοσίους. Καταςὰς δ᾽ εἰς ἔποψιν τῶν πολεμίων, καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης, καὶ τρίβειν τὸν χρόνον· Μαρίου δ᾽, ὃν Σερτώριος ἐξ Ἰβηρίας ἀπεςάλκει Μιθριδάτῃ μετὰ δυνάμεως ςρατηγὸν, ἀπαντήσαντος αὐτῷ καὶ προκαλουμένου, κατέςη μὲν εἰς τάξιν, ὡς διαμαχούμενος. Ἤδη δὲ ὅσον οὔπω συμφερομένων, ἀπ᾽ οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ᾽ ἐξαίφνης τοῦ ἀέρος ἀποῤῥαγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν ςρατοπέδων καταφερόμενον, τὸ μὲν σῶμα πίθῳ μάλιςα, τὴν δὲ χρόαν ἀργύρῳ διαπύρῳ προσεοικός· ὥςε δείσαντας ἀμφοτέρους τὸ φάσμα διακριθῆναι. Τοῦτο μὲν οὖν φασιν ἐν Φρυγίᾳ περὶ τὰς λεγομένας Ὀτρύας συμβῆναι τὸ πάθος. Ὁ δὲ Λούκουλλος, οὐδε-

μιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς, οὐδὲ πλούτου, θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον, ἀντικαθημένων πολεμίων, τοσαύτας, ὅσας εἶχε Μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα· καὶ πρῶτον ἀνέκρινε, μετὰ πόσων διαιτῷτο συσκήνων, ἔπειτα πόσον ἐν τῇ σκηνῇ κατέλιπε σῖτον. Ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν ἐκέλευσε μεταστῆναι, δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινεν. Εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τριῶν, ἢ τεσσάρων, ἡμερῶν ἐπιλείψοντα [τὸν] σῖτον τοὺς πολεμίους. Καὶ πολὺ μᾶλλον εἴχετο τοῦ χρόνου, καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύῃ ταῖς ἐκείνων ἀπορίαις.

Θ. Ἐν τούτῳ δὲ Μιθριδάτης ἐπεβούλευε Κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ Χαλκηδόνα μάχῃ· τρισχιλίων γὰρ ἀνδρῶν καὶ δέκα νεῶν ἐστέρηντο. Βουλόμενος οὖν λαθεῖν τὸν Λούκουλλον, εὐθὺς ἀπὸ δείπνου, νύκτα δυσφανῆ καὶ νοτερὰν ἔχων, ἐκίνει· καὶ φθάνει τῆς πόλεως ἄντικρυς ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς Ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. Ὁ δὲ Λούκουλλος, αἰσθόμενος καὶ διώξας, ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσύντακτος εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν Θρᾳκείαν λεγομένην κώμην, ἐν τόπῳ κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι, καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς Μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. Διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ' ἅμα τῷ θέσθαι τὸ στρατόπεδον, καὶ ἀπὸ τῶν ἔργων γενέσθαι, συναγαγὼν αὐτοὺς, ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναιμωτὶ τὸ νίκημα παραδώσων αὐτοῖς. Κυζικηνοὺς δὲ Μιθριδάτης δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβὼν, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρ-

σῶς, καὶ πᾶν ἕνεκα Ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερές· ἀγνοοῦντας δὲ, ὅπη Λούκουλλος εἴη, καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. Καίτοι καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ᾽ ὑπὸ τῶν Μιθριδατικῶν ἐξηπατῶντο. Δεικνύντες γὰρ αὐτοῖς τοὺς Ῥωμαίους ἄνω παρεμβεβληκότας· «Ὁρᾶτε τούτους; (ἔφασαν)· Ἀρμενίων στρατός ἐστι καὶ Μήδων, Τιγράνου Μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν.» Οἱ δ᾽ ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου, μηδ᾽, εἰ παραγένοιτο Λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. Οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς ὑπ᾽ Ἀρχελάου Δημῶναξ ἔφρασε τὴν τοῦ Λουκούλλου παρουσίαν. Τούτων δ᾽ ἀπιστούντων, καὶ νομιζόντων αὐτὸν τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἧκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός. Πυνθανομένων δ᾽ αὐτῶν, ποῦ λέγει τὸν Λούκουλλον εἶναι, κατεγέλα, παίζειν αὐτοὺς οἰόμενον. Ὡς δ᾽ ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν Ῥωμαίων· οἱ δ᾽ ἀνεθάρσησαν. Τῆς δὲ Δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ Λούκουλλος ἀνελκύσας, καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν, ὅσους ἐχώρει στρατιώτας ἐνεβίβασεν. Ἔλαθον δὲ νυκτὸς διαπεράσαντες, καὶ παρεισῆλθον εἰς τὴν πόλιν.

I. Ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαῤῥῦναι τοὺς Κυζικηνοὺς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι· καὶ τῆς τῶν Φεῤῥεφαττίων ἑορτῆς ἐνεστώσης, οἱ μὲν ἠπόρουν βοὸς μελαίνης πρὸς τὴν θυσίαν, καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν. Ἡ δ᾽ ἱερὰ καὶ τρεφομένη τῇ θεῷ νομὴν μὲν εἶχεν, ὥσπερ τἄλλα βοτὰ τῶν Κυζικηνῶν, ἐν τῇ περαίᾳ· κατ᾽ ἐκείνην δὲ τὴν ἡμέραν ἀποκριθεῖσα τῆς ἀγέλης, μόνη διενήξατο πρὸς τὴν πόλιν, καὶ κατέστησεν ἐπὶ τὴν θυσίαν αὑτήν. Ὄναρ δ᾽ ἡ θεὸς Ἀρισταγόρᾳ, τῷ τοῦ δήμου γραμματεῖ, παραστᾶσα· «Καὶ

μὴν ἔγωγε (εἶπεν) ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπιγκτὴν ἐπάγουσα. Φράσον οὖν θαῤῥεῖν τοῖς πολίταις. » Θαυμαζόντων δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα, κατιόντος ἀκρίτου πνεύματος· αἵ τε μηχαναὶ τοῦ βασιλέως, παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον· εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος τά τ' ἄλλα συνέτριψε μηχανήματα ὥρας βραχεῖ μορίῳ, καὶ τὸν ξύλινον πύργον, ἑκατὸν πηχῶν ὕψος ὄντα, διασείσας κατέβαλεν. Ἱστορεῖται δὲ, τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν ἱδρῶτι πολλῷ ῥεομένην, καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρεῤῥωγὸς, λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. Καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν ἐδείκνυον Ἰλιεῖς.

ΙΑ. Μιθριδάτην δ', ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμὸν, ἠνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν. Ταχὺ δ' ἐξεῤῥύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον, ἐν αἰσθήσει γενομένου τῶν ἀποριῶν, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν· ἅτε δὴ μὴ θεατρικῶς, μηδ' ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ, τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου, καὶ ὅπως ὑφαιρήσῃ τὴν τροφὴν ἅπαντα πραγματευομένου. Διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ, τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης, ἐξέπεμψεν εἰς Βιθυνίαν τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. Πυθόμενος δ' ὁ Λούκουλλος, ἔτι νυκτὸς ἧκεν εἰς τὸ στρατόπεδον. Πρωῒ δὲ, χειμῶνος ὄντος, ἀναλαβὼν σπείρας δέκα, καὶ τὴν ἵππον, ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν· τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους,

τοσαύτην τροπὴν ἐποίησεν, ὥςε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας προερχομένας ἀφαρπάζειν τὰ φορτία, καὶ σκυλεύειν τοὺς φονευομένους. Πολλῶν δ', ὡς εἰκὸς, ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι, καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δὲ μύριοι πεντακισχίλιοι· καὶ τούτους ἄγων πάντας παρεξήει παρὰ τὸ ςρατόπεδον τῶν πολεμίων. Σαλουςίου δὲ θαυμάζω, τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκιπίωνος νικήσαντας Ἀντίοχον ᾤετο, μήτε τοὺς ἔναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους, ἐγνωκέναι κάμηλον. Ἀλλὰ τῷ γε Μιθριδάτῃ φεύγειν μὲν ἔγνωςο τὴν ταχίςην, ἀνθολκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος, ἔςελλε τὸν ναύαρχον Ἀριςόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν, καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν, ἐκ προδοσίας ὁ Λούκουλλος ἐκυρίευσε, μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ ςρατεύματος. Ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν, οἱ δὲ ςρατηγοὶ πεζοὶ τὸν ςρατὸν ἀπήγαγον. Ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλέ τε παμπόλλους, καὶ δισμυρίους ἀπέκτεινε. Λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι.

ΙΒ. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν, ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης· ἔπειτα ναυτικὸν ἐξηρτύετο, τὸν Ἑλλήσποντον ἐπιπορευόμενος. Εἰς δὲ Τρωάδα καταχθεὶς, ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης· κατακοιμηθεὶς δὲ, νύκτωρ ἐδόκει τὴν θεὰν ὁρᾷν ἐφεςῶσαν αὐτῷ, καὶ λέγουσαν·

Τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς.

Ἐξαναςὰς δὲ, καὶ τοὺς φίλους καλέσας, διηγεῖτο τὴν ὄψιν, ἔτι νυκτὸς οὔσης. Καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς, ἀπαγγέλλοντες

ῶφθαι περὶ τὸν Ἀχαιῶν λιμένα τρισκαίδεκα πεντήρεις τῶν βασιλικῶν ἐπὶ Λῆμνον πλεούσας. Εὐθὺς οὖν ἀναχθεὶς, τούτους μὲν εἷλε, καὶ τὸν ϛρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν· ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρωρέας. Οἱ δὲ ἔτυχον ὁρμοῦντες, καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες ἀπὸ τῶν καταϛρωμάτων διεμάχοντο, καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος, οὔτε βιάσασθαι ναυσὶ μετεώροις τὰς τῶν πολεμίων, προσερηρεισμένας τῇ γῇ, καὶ βεβηκυίας ἀσφαλῶς. Οὐ μὴν ἀλλὰ μόλις, ᾗ προσβολήν τινα ἡ νῆσος εἶχεν, ἀποβιβάζει τῶν ϛρατιωτῶν τοὺς ἀρίϛους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις, τοὺς μὲν διέφθειρον αὐτῶν, τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν νεῶν, καὶ φεύγοντας ἐκ τῆς γῆς, ἀλλήλοις τε συγκρούειν τὰ πλοῖα, καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον ὑποπίπτειν. Πολλοὶ μὲν οὖν διεφθάρησαν· ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος, ὁ παρὰ Σερτωρίου ϛρατηγός. Ἦν γὰρ ἑτερόφθαλμος· καὶ παρήγγελτο τοῖς ϛρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου, μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι.

ΙΓ. Γενόμενος δ' ἀπὸ τούτων, ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. Ἤλπιζε γὰρ ἔτι περὶ Βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ Βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνϛησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεϛάλκει πρὸς Νικομήδειαν. Ἀλλὰ Βοκώνιος μὲν ἐν Σαμοθράκῃ μυούμενος καὶ πανηγυρίζων καθυϛέρησε. Μιθριδάτην δ' ἀναχθέντα μετὰ τοῦ ϛόλου, σπεύδοντα, πρὶν ἐπιϛρέφειν Λούκουλλον, εἰς τὸν Πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολὺς, ὑφ' οὗ τὰ μὲν ἀφηρπάγη, τὰ δ' ἐβυθίσθη τῶν σκαφῶν. Πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. Αὐτὸς δὲ, τῆς ὁλκάδος, ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν εὐπαρακομίϛου

διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισαμένης τοῖς κυβερνήταις, πρός τε τὴν θάλασσαν ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς λῃστρικὸν μυοπάρωνα, καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας, ἀνελπίστως καὶ παραβόλως εἰς τὴν Ποντικὴν Ἡράκλειαν ἐξεσώθη. Λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία. Ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν, ἐκώλυσε πέμψας γράμματα, καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης καὶ τοσαύτης παρασκευῆς ταῖς τῶν συμμάχων ναυσὶ Μιθριδάτην ἐκβαλεῖ τῆς θαλάττης. Καὶ τοῦτο ὑπῆρξεν αὐτῷ, τοῦ θεοῦ συναγωνισαμένου. Λέγεται γὰρ Ἀρτέμιδος χόλῳ Πριαπίνης ὁ χειμὼν ἐμπεσεῖν τοῖς Ποντικοῖς, συλήσασιν αὐτῆς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι.

ΙΔ. Πολλῶν δὲ Λουκούλλῳ παραινούντων ἀναβαλέσθαι τὸν πόλεμον, οὐ φροντίσας ἐνέβαλε διὰ Βιθυνίας καὶ Γαλατίας εἰς τὴν βασιλικὴν, ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥστε Γαλάτας ἕπεσθαι τρισμυρίους, ἕκαστον ἐπὶ τῶν ὤμων κομίζοντα σίτου μέδιμνον. Προϊὼν δὲ καὶ κρατῶν ἁπάντων εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥστε τὸν μὲν βοῦν ἐν στρατοπέδῳ δραχμῆς, τὸ δ' ἀνδράποδον τεττάρων ὤνιον εἶναι· τὴν δ' ἄλλην λείαν ἐν οὐδενὶ λόγῳ τοὺς μὲν ἀπολείπειν, τοὺς δ' ἀναλίσκειν. Διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων. Ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν, ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι Θεμισκύρας καὶ τῶν περὶ Θερμώδοντα πεδίων, ᾐτιῶντο τὸν Λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις, κατὰ κράτος δ' οὐδεμίαν ᾕρηκεν, οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. « Ἀλλὰ καὶ νῦν (ἔφασαν) Ἀμισὸν, πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον, εἴ τις ἐντείναι τὴν πολιορκίαν κατασχεῖν, ἀπολιπόντας ἡμᾶς, ἄγει πρὸς τὴν Τιβαρηνῶν καὶ Χαλδαίων ἐρημίαν, Μιθριδάτῃ πολεμήσοντας.» Ἀλλὰ ταῦτα μὲν,

οὐκ ἂν ὁ Λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηναν, ὑπερεώρα, καὶ οὐκ ἐφρόντιζεν. Ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδυτῆτα κατηγόρουν αὐτοῦ, διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις οὐ πολλοῦ τινος ἀξίας πολὺν χρόνον, ἐῶντος δ' αὔξεσθαι Μιθριδάτην. « Αὐτὸ γὰρ (ἔφη) τοῦτο καὶ βούλομαι, καὶ κάθημαι τεχνάζων μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα, καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μείνῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. Ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν; ἐγγὺς δὲ ὁ Καύκασος, καὶ ὄρη πολλὰ καὶ βαθέα, καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν. Ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς Ἀρμενίαν ἐκ Καβείρων· καὶ ὑπὲρ Ἀρμενίας κάθηται Τιγράνης, βασιλεὺς βασιλέων, ἔχων δύναμιν, ᾗ Πάρθους τε περικόπτει τῆς Ἀσίας, καὶ πόλεις Ἑλληνίδας εἰς Μηδίαν ἀνακομίζει, καὶ Συρίας κρατεῖ καὶ Παλαιστίνης, καὶ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς ἀποκτιννύει, θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. Οὗτος οἰκεῖός ἐστι Μιθριδάτου καὶ γαμβρός. Οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος, ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς· καὶ σπεύδοντες ἐκβάλλειν Μιθριδάτην, κινδυνεύσομεν ἐπισπάσασθαι Τιγράνην, πάλαι μὲν αἰτίας δεόμενον ἐφ' ἡμᾶς, εὐπρεπεστέραν δ' οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντος ὑπουργεῖν αὐτῷ. Τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι, καὶ διδάξαι Μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον; καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα, συνελαύνειν ἐπὶ τὰς τοῦ Τιγράνου χεῖρας; ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσασθαι καὶ ἀναθαρρῦναι, Κόλχοις καὶ Τιβαρηνοῖς καὶ Καππάδοξιν, ὧν πολλάκις κεκρατήκαμεν, μάχεσθαι μᾶλλον, ἢ Μήδοις καὶ Ἀρμενίοις; »

ιε. Ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ Λούκουλλος, περὶ

τε τὴν Ἀμισὸν διέτριψε, μαλακῶς τῇ πολιορκίᾳ χρώμενος· καὶ μετὰ χειμῶνα Μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας, ἐβάδιζεν ἐπὶ Μιθριδάτην, καθήμενον ἐν Καβείροις, καὶ διανοούμενον ὑφίςασθαι τοὺς Ῥωμαίους, ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάῤῥει μάλιστα. Καὶ διαβὰς τὸν Λύκον ποταμὸν, εἰς τὸ πεδίον προὐκαλεῖτο τοὺς Ῥωμαίους. Γενομένης δ' ἱππομαχίας, ἔφυγον οἱ Ῥωμαῖοι· Πομπώνιος δ', ἀνὴρ οὐκ ἄδοξος, ἑάλω τετρωμένος, καὶ πρὸς τὸν Μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. Πυθομένου δὲ τοῦ βασιλέως, εἰ σωθεὶς ὑπ' αὐτοῦ γενήσεται φίλος· «Ἄν γε δὴ (ἔφη) Ῥωμαίοις διαλλαγῇς· εἰ δὲ μὴ, πολέμιος.» Τοῦτον μὲν θαυμάσας ὁ Μιθριδάτης οὐκ ἠδίκησε. Τοῦ δὲ Λουκούλλου τὰ μὲν πεδία, τῶν πολεμίων ἱπποκρατούντων, δεδιότος, τὴν δ' ὀρεινὴν ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην Ἕλληνες, εἴς τι σπήλαιον καταφυγόντες· ὧν ὁ πρεσβύτερος, Ἀρτεμίδωρος, ὑπέσχετο τὸν Λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ, καὶ φρούριον ἔχοντι τοῖς Καβείροις ἐπικρεμάμενον. Πιστεύσας δ' ὁ Λούκουλλος, ἅμα τῇ νυκτὶ πυρὰ καύσας ἐκίνει· καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς, τὸ χωρίον εἶχε, καὶ μεθ' ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων, ἱδρύων τὸν ςρατὸν ἐν τόποις, οἳ μάχεσθαι βουλομένῳ προσαγωγὴν ἐδίδοσαν, καὶ τὸ μὴ βιασθῆναι παρεῖχον ἡσυχάζοντι. Γνώμην μὲν οὖν οὐδέτερος εἶχεν ἔν γε τῷ παρόντι διακινδυνεύειν· ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων, ὑποτεμνομένους ἀπαντῆσαι τοὺς Ῥωμαίους· ἐκ δὲ τούτου συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. Τέλος δ', ἐνίκων οἱ βασιλικοί· καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ Ῥωμαῖοι καθορῶντες, ἤσχαλλον, καὶ συνέτρεχον πρὸς τὸν Λούκουλλον, ἄγειν σφᾶς δεόμενοι, καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. Ὁ δὲ,

βουλόμενος αὐτοὺς μαθεῖν, ἡλίκον ἐϛὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνου παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος, ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον, καὶ τοῖς προτέροις ἀπαντήσας τῶν φευγόντων, ἵϛασθαι προσέταξεν καὶ ἀναϛρέφειν μετ' αὐτοῦ. Πεισθέντων δὲ τούτων, καὶ οἱ λοιποὶ μεταβαλόμενοι καὶ συϛάντες, ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμίους, καὶ καταδιώκουσιν εἰς τὸ ϛρατόπεδον. Ἐπανελθὼν δὲ Λούκουλλος ἀτιμίαν τινὰ τοῖς φεύγουσι νενομισμένην προσέβαλε, κελεύσας ἐν χιτῶσιν ἀζώϛοις ὀρύξαι δώδεκα ποδῶν τάφρον, ἐφεϛώτων καὶ θεωμένων τῶν ἄλλων ϛρατιωτῶν.

Iϛ. Ἦν δέ τις ἐν τῷ Μιθριδάτου ϛρατοπέδῳ Δανδαρίων δυνάϛης, Ὀλθακὸς (γένος δ' εἰσὶν οἱ Δανδάριοι βαρβάρων, τῶν περὶ τὴν Μαιῶτιν οἰκούντων), ἀνὴρ, ὅσα χειρὸς ἔργα καὶ τόλμης ἐν πολέμῳ, διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίϛοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. Οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναϛῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν, ὑπέσχετο τῷ Μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν Λούκουλλον. Ἐπαινέσαντος δὲ τοῦ βασιλέως, καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφιππάσατο πρὸς Λούκουλλον· ὁ δ' ἄσμενος ἐδέξατο. Λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ ϛρατοπέδῳ· καὶ ταχὺ πειρώμενος, ἠσπάζετο τήν τ' ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρὲς, ὥϛε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. Ἐπεὶ δ' ἐδόκει καιρὸν ἔχειν ὁ Δανδάριος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγαγεῖν τοὺς παῖδας, αὐτὸς δὲ, μεσημβρίας οὔσης, καὶ τῶν ϛρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν ϛρατηγικὴν σκηνὴν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν ἄνδρα συνήθη, καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ ϛρατηγῷ κομίζειν φάσκοντα. Κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ ὁ πολλοὺς ἀνῃρηκὼς ϛρατηγοὺς ὕπνος Λούκουλλον ἔσωσεν. Ἐτύγχανε γὰρ

καθεύδων· καὶ Μενέδημος, εἷς τῶν κατευναςῶν, παρὰ ταῖς θύραις ἑςὼς, οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν Ὀλθακὸν, ἄρτι Λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων δεδωκότος ἑαυτόν. Ἐπεὶ δ᾽ οὐκ ἀπῄει κελεύοντος, ἀλλ᾽ ἔφη κωλύοντος εἰσελεύσεσθαι, περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ Μενέδημος, εἰπὼν, μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι Λούκουλλον, ἀπεώσατο τὸν ἄνθρωπον ἀμφοτέραις ταῖς χερσίν. Ὁ δὲ, δείσας ὑπεξῆλθε τοῦ χάρακος, καὶ λαβὼν τὸν ἵππον, ἀπήλασεν εἰς τὸ Μιθριδάτου ςρατόπεδον ἄπρακτος. Οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρὸς, ὥσπερ τοῖς φαρμάκοις, καὶ τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν.

ΙΖ. Ἐκ τούτου Σωρνάτιος μὲν ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν, καὶ καταδιωχθεὶς ὑπὸ Μενάνδρου, τῶν Μιθριδάτου ςρατηγῶν ἑνὸς, ἀντέςη, καὶ συμβαλὼν φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. Αὖθις δὲ πεμφθέντος Ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ ςρατιῶται σῖτον, οὐ περιεῖδε Μιθριδάτης, ἀλλ᾽ ἀπέςειλε Μενέμαχον καὶ Μύρωνα, πολλῶν μὲν ἱππέων, πολλῶν δὲ πεζῶν ἡγουμένους. Οὗτοι πάντες, ὡς λέγεται, πλὴν δυοῖν, κατεκόπησαν ὑπὸ τῶν Ῥωμαίων. Καὶ Μιθριδάτης μὲν ἔκρυπτε τὴν συμφορὰν, ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικρὰν, προσκεκρουκότων ἀπειρίᾳ τῶν ςρατηγῶν· Ἀδριανὸς δὲ λαμπρὸς παρημείβετο τὸ ςρατόπεδον, πολλὰς κατάγων ἁμάξας σίτου καὶ λαφύρων γεμούσας· ὥςε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς ςρατιώταις. Ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν· ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ᾽ ἡσυχίαν, τοὺς δ᾽ ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι, τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δ᾽ ἀπέσφαττον. Ὅπου καὶ Δορύλαος ςρατηγὸς, οὐδὲν ἕτερον ἔχων

ἢ τὴν πορφύραν περὶ αὑτὸν, ἀπώλετο διὰ ταύτην· Ἑρμαῖος δὲ, ὁ θύτης, κατεπατήθη περὶ τὰς πύλας. Αὐτὸς δ' ὁ Μιθριδάτης, οὔτε ὀπαδοῦ τινος, οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου τοῖς πολλοῖς ἀναμεμιγμένος· οὐδ' ἵππου τῶν βασιλικῶν εὐπορήσας. Ἀλλ' ὀψέ που κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον Πτολεμαῖος ὁ εὐνοῦχος, ἵππον ἔχων, αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. Ἤδη γὰρ αὐτὸν οἱ Ῥωμαῖοι κατεῖχον ἐπικείμενοι, καὶ τάχει μὲν οὐκ ἀπελίποντο τοῦ λαβεῖν αὐτὸν, ἀλλ' ἦλθον ἔγγιστα τούτου· φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα Ῥωμαίους ἀφείλετο, καὶ Λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. Ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑπεκφέρων τὸν ἄνδρα ἵππος· ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως, εἴτ' ἀπὸ ταυτομάτου παρεισπεσόντος, εἴτε τοῦ βασιλέως ἐπίτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον, καὶ διαμαχόμενοι πρὸς ἀλλήλους, καθυστέρησαν. Καὶ οὐ τοῦτο μόνον αὐτῶν ἀπέλαυσε τῆς πλεονεξίας ὁ Λούκουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀπορρήτων τοῦ βασιλέως ὄντα Καλλίστρατον ὁ μὲν ἄγειν ἐκέλευσεν, οἱ δ' ἄγοντες, αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεζωσμένον, ἀπέκτειναν. Οὐ μὴν ἀλλὰ τούτοις μὲν ἐπέτρεψε τὸν χάρακα πορθῆσαι.

ΙΗ. Τὰ δὲ Κάβειρα λαβὼν, καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα, θησαυρούς τε μεγάλους εὗρε, καὶ δεσμωτήρια, πολλῶν μὲν Ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμένων, οἷς πάλαι τεθνᾶναι δοκοῦσιν οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν καὶ δευτέραν τινὰ γέννησιν ἡ Λουκούλλου χάρις παρέσχεν. Ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ Μιθριδάτου, Νύσσα, σωτήριον ἅλωσιν· αἱ δ' ἀπωτάτω τοῦ κινδύνου καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι

δοκοῦσαι περὶ Φαρνακίαν ἀδελφαὶ καὶ γυναῖκες οἰκτρῶς ἀπώλοντο, Μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς Βακχίδην εὐνοῦχον. Ἦσαν δὲ μετὰ πολλῶν ἀδελφαί τε δύο τοῦ βασιλέως, Ῥωξάνη καὶ Στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι· καὶ γαμεταὶ δύο, γένος Ἰωνίδες, Βερενίκη μὲν ἐκ Χίου, Μονίμη δὲ, Μιλησία. Ταύτης ὁ πλεῖςος ἦν λόγος ἐν τοῖς Ἕλλησιν, ὅτι, τοῦ βασιλέως πειρῶντος αὐτὴν, καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαντος, ἀντέσχε, μέχρις οὗ γάμων ἐγένοντο συνθῆκαι, καὶ διάδημα πέμψας αὐτῇ, βασίλισσαν ἀνηγόρευσεν. Αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον ἀνιαρῶς εἶχε, καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν, ὡς δεσπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν· πόῤῥω δέ που τῆς Ἑλλάδος ἀπῳκισμένη, τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς ὄναρ σύνεςι, τῶν δ' ἀληθινῶν ἐκείνων ἀπεςέρηται. Καὶ δὴ τοῦ Βακχίδου παραγενομένου, καὶ προςάξαντος αὐταῖς ἀποθνήσκειν, ὡς ἑκάςῃ δοκοίη ῥᾷςον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα, τῷ τραχήλῳ περιῆψε, καὶ ἀνήρτησεν ἑαυτήν. Ταχὺ δ' ἀποῤῥαγέντος· « Ὦ κατηραμένον (ἔφη) ῥάκος· οὐδὲ πρὸς τοῦτό μοι χρήσιμον ἔςῃ; » Κἀκεῖνο μὲν ἀπέῤῥιψε προσπτύσασα, τῷ δὲ Βακχίδῃ τὴν σφαγὴν παρέσχεν. Ἡ δὲ Βερενίκη, κύλικα φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης, μετέδωκε. Καὶ συνεξέπιον μὲν ἀμφότεραι. Ἤρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις εἰς τὸ ἀσθενέςερον σῶμα· τὴν δὲ Βερενίκην, οὐχ, ὅσον ἔδει, πιοῦσαν, οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσα, τοῦ Βακχίδου σπεύδοντος, ἀπεπνίγη. Λέγεται δὲ καὶ τῶν ἀγάμων ἀδελφῶν ἐκείνων, τὴν μὲν, ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν, ἐκπιεῖν τὸ φάρμακον· τὴν δὲ Στάτειραν, οὔτε δύσφημόν τι φθεγξαμένην, οὔτ' ἀγεννὲς, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφὸν, ὅτι περὶ τοῦ σώματος κινδυνεύων, οὐκ ἠμέλησεν αὐτῶν, ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίςους ἀποθανεῖν.

ἀποθανεῖν. Ταῦτα μὲν οὖν φύσει χρηςὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν Λούκουλλον.

ΙΘ. Ἐλάσας δ' ἄχρι Ταλαύρων, ἔνθεν ἡμέρᾳ τετάρτῃ πρότερον ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. Καταςρεψάμενος δὲ Χαλδαίους καὶ Τιβαρηνοὺς, καὶ τὴν μικρὰν Ἀρμενίαν παραλαβὼν, καὶ φρούρια καὶ πόλεις παραςησάμενος, Ἄππιον μὲν ἔπεμψε πρὸς Τιγράνην, ἐξαιτῶν Μιθριδάτην· αὐτὸς δ' ἧκε πρὸς Ἀμισὸν ἔτι πολιορκουμένην. Αἴτιος δ' ἦν Καλλίμαχος ὁ ςρατηγὸς, ἐμπειρίᾳ μηχανικῆς παρασκευῆς, καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖςα λυπήσας Ῥωμαίους· ὧν ὕςερον ἔδωκε δίκην. Τότε δ' ὑπὸ Λουκούλλου καταςρατηγηθεὶς, ὑφ' ἣν ἔθος εἶχεν ὥραν τῆς ἡμέρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς ςρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος αἰφνιδίως, καὶ κατασχόντος *οὐ* πολὺ μέρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν ὑφῆψεν· εἴτε φθονῶν ὠφεληθῆναι Ῥωμαίους, εἴτε ῥαςώνην φυγῆς ἑαυτῷ μηχανώμενος. Οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων, ἀλλὰ ταχέως ἡ φλὸξ ἀναδραμοῦσα πολλὴ τὰ τείχη περιέσχε· καὶ οἱ μὲν ςρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγήν· ὁ δὲ Λούκουλλος, οἰκτείρων ἀπολλυμένην τὴν πόλιν, ἔξωθεν ἐβοήθει πρὸς τὸ πῦρ, καὶ σβεννύναι παρεκάλει, μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιρουμένων τὰ χρήματα, καὶ μετὰ βοῆς ὅπλα κρουόντων, ἕως ἐκβιασθεὶς ἐπέτρεψεν, ὡς αὐτήν γε τὴν πόλιν ἐξαιρησόμενος τοῦ πυρός. Οἱ δὲ τοὐναντίον ἔπραξαν. Πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων, καὶ πανταχοῦ φῶς ἐπιφέροντες, αὐτοὶ τὰ πλεῖςα τῶν οἰκημάτων καθεῖλον· ὥςε τὸν Λούκουλλον, εἰσελθόντα μεθ' ἡμέραν καὶ δακρύσαντα, πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη Σύλλαν μακαρίσας, μάλιστα τῇ σήμερον ἡμέρᾳ τὴν τἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς Ἀθήνας. « Ἐμὲ δ' (ἔφη), τούτου ζηλωτὴν γενόμενον, εἰς τὴν Μομμίου δόξαν ὁ

δαίμων περιέστησεν. » Οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων ἀναλαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. Καὶ τὸ μὲν πῦρ ὄμβροι κατέσβεσαν ἔκ τινος θείας τύχης περὶ τὴν ἅλωσιν αὐτὴν συμπεσόντες. Τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε, καὶ τοὺς φεύγοντας Ἀμισηνῶν ἐδέξατο, καὶ τῶν ἄλλων Ἑλλήνων κατῴκισε τοὺς βουλομένους, εἴκοσι καὶ ἑκατὸν σταδίων χώραν προσορίσας. Ἦν δ' ἡ πόλις Ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς, ἐν οἷς ἤκμαζεν ἡ δύναμις αὐτῶν, καὶ κατεῖχε τὴν θάλασσαν, οἰκισθεῖσα. Καὶ διὰ τοῦτο πολλοὶ τῶν τὴν Ἀριστίωνος τυραννίδα βουλομένων φεύγειν, εἰσπλεύσαντες αὐτοῦ κατῴκουν, καὶ μετεῖχον τῆς πολιτείας, οἷς συνέβη τὰ οἰκεῖα [κακὰ] διαφεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. Ἀλλὰ τούς γε σωθέντας αὐτῶν ὁ Λούκουλλος ἀμφιέσας καλῶς, καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. Τότε καὶ Τυραννίων ὁ γραμματικὸς ἑάλω. Μουρήνας δ' αὐτὸν ἐξητήσατο, καὶ λαβὼν ἀπηλευθέρωσεν, ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. Οὐ γὰρ ἠξίου Λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον, δοῦλον γενέσθαι πρότερον, εἶτα ἀπελεύθερον. Ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης, ἡ τῆς δοκούσης ἐλευθερίας δόσις. Ἀλλὰ Μουρήνας μὲν οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων.

Κ. Λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν Ἀσίᾳ πόλεις, ὅπως, τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν, ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν ἄρρητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον, ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν πορθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδίᾳ μὲν υἱοὺς εὐπρεπεῖς, θυγατέρας δὲ παρθένους, δημοσίᾳ δ' ἀναθήματα, γραφὰς, ἱεροὺς ἀνδριάντας, ἀναγκαζομένων. Αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις γενομένοις δουλεύειν· τὰ δὲ πρὸ τούτου χαλεπώτερα, σχοινισμοὶ, καὶ κιγκλίδες,

καὶ ἵπποι, καὶ ςάσεις ὕπαιθροι, καύματος μὲν ἐν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων, ἢ πάγον· ὥςε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. Τοιαῦτα μὲν κακὰ Λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν, ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. Πρῶτον μὲν γὰρ ἑκατοςὴν ἐκέλευσε, καὶ μὴ πλέον, εἰς τοὺς τόκους λογίζεσθαι· δεύτερον δὲ τοὺς μακροτέρους τοῦ ἀρχαίου τόκους ἀπέκοψε. Τὸ δὲ τρίτον καὶ μέγιςον, ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα καρποῦσθαι τὸν δανειςήν· ὁ δὲ τόκον κεφαλαίῳ συνάψας ἐςέρητο τοῦ παντός. Ὥς' ἐν ἐλάττονι χρόνῳ τετραετίας διαλυθῆναι τὰ χρέα πάντα, καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις. Ἦν δὲ τοῦτο κοινὸν δάνειον, ἐκ τῶν δισμυρίων ταλάντων, οἷς τὴν Ἀσίαν ἐζημίωσεν ὁ Σύλλας· καὶ διπλοῦν ἀπεδόθη τοῖς δανείσασιν, ὑπ' ἐκείνων ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. Ἐκεῖνοι μὲν οὖν, ὡς δεινὰ πεπονθότες, ἐν Ῥώμῃ τοῦ Λουκούλλου κατεβόων, καὶ χρήμασιν ἀνίςασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν, μέγα δυνάμενοι, καὶ πολλοὺς ὑπόχρεως πεποιημένοι τῶν πολιτευομένων. Ὁ δὲ Λούκουλλος οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν, εὐδαιμονιζούσαις τοὺς ἡγεμόνος τοιούτου τυχόντας.

ΚΑ. Ἄππιος δὲ Κλώδιος, ὁ πεμφθεὶς πρὸς Τιγράνην (ἦν δ' ὁ Κλώδιος ἀδελφὸς τῆς τότε Λουκούλλῳ συνοικούσης), πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου, Σύρου τὸ γένος, ἐκτρέπεται τῆς μακρᾶς ἐκείνης καὶ σοφιςικῆς, ἐῤῥῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς· καὶ δι' ἡμερῶν ὀλίγων τὸν Εὐφράτην περάσας, εἰς Ἀντιόχειαν ἧκε τὴν ἐπὶ Δάφνης. Ἔπειτα δὲ Τιγράνην αὐτοῦ κελευσθεὶς περιμένειν (ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν Φοινίκῃ πόλεων καταςρεφόμενος), πολλοὺς

μὲν ᾠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ Ἀρμενίου δυναστῶν, ὧν εἷς ἦν καὶ Ζαρβιηνὸς, ὁ τῆς Γορδυηνῆς βασιλεύς. Πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων, διαπεμπομέναις πρὸς αὐτὸν, ὑπέσχετο τὴν Λουκούλλου βοήθειαν, ἐν τῷ παρόντι κελεύσας ἡσυχάζειν. Ἦν γὰρ οὐκ ἀνασχετὴ τῶν Ἀρμενίων ἡ ἀρχὴ τοῖς Ἕλλησιν, ἀλλὰ χαλεπή· καὶ μάλιςα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων, ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν, οὐ μόνον ὄντων περὶ αὐτὸν, ἀλλὰ καὶ δἰ αὐτὸν γεγονέναι δοκούντων. Ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεςρέψατο, καὶ τὴν Πάρθων, ὡς ἄλλος οὐδεὶς, δύναμιν ἐταπείνωσεν, Ἑλλήνων δὲ τὴν Μεσοποταμίαν ἀνέπλησε, πολλοὺς μὲν ἐκ Κιλικίας, πολλοὺς δ᾿ ἐκ Καππαδοκίας ἀνασπάςους κατοικίζων. Ἐκίνησε δ᾿ ἐξ ἠθῶν καὶ Ἄραβας τοὺς Σκηνίτας μεταγαγὼν, καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δἰ ἐκείνων ταῖς ἐμπορίαις. Βασιλεῖς δὲ, πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτόν· τέσσαρες δὲ, οὓς ἀεὶ περὶ αὐτὸν εἶχεν, ὥσπερ ὀπαδοὺς, ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις, καθημένῳ δὲ καὶ χρηματίζοντι περιεςῶτας ἐπηλλαγμέναις δἰ ἀλλήλων ταῖς χερσίν· ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων ἐξομολόγησις εἶναι δουλείας, οἷον ἀποδομένων τὴν ἐλευθερίαν, καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον, ἢ ποιῆσαι. Ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας, οὐδ᾿ ἐκπλαγεὶς Ἄππιος, ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἥκειν ἔφη Μιθριδάτην ἀπάξων, ὀφειλόμενον τοῖς Λουκούλλου θριάμβοις, ἢ καταγγελῶν Τιγράνῃ πόλεμον· ὥςε τὸν Τιγράνην, καίπερ ἐν διαχύσει τοῦ προσώπου καὶ μειδιάματι πεπλασμένῳ πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παῤῥησίᾳ τοῦ νεανίσκου, φωνῆς σχεδὸν ἐλευθέρας ἀκούοντα διὰ πέντε καὶ εἴκοσιν ἐτῶν· τοσαῦτα

γὰρ ἐβασίλευσε, μᾶλλον δὲ ὕβρισεν. Ἀπεκρίνατο μὲν οὖν τῷ Ἀππίῳ μὴ προήσεσθαι Μιθριδάτην, καὶ Ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. Λουκούλλῳ δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ [βασιλέα] βασιλέων, ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν, οὐδ' αὐτὸς ἀντιγράφων, Αὐτοκράτορα προσεῖπεν. Ἔπεμψε δὲ δῶρα τῷ Ἀππίῳ λαμπρὰ, καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. Ἐκ τούτων ὁ Ἄππιος, οὐκ ἐθέλων δοκεῖν ἔχθρᾳ τινὶ διωθεῖσθαι, φιάλην δεξάμενος μίαν, ἀπέπεμψε τὰ λοιπὰ, καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα.

ΚΒ. Τιγράνης δὲ Μιθριδάτην πρότερον μὲν οὐδ' ἰδεῖν ἠξίωσεν, οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα, βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσεροῖς· τότε δὲ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτόν. Καὶ δὴ λόγων εἰς τὰ βασίλεια γενομένων ἀποῤῥήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευον ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. Ὧν ἦν καὶ Μητρόδωρος ὁ Σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς, καὶ πολυμαθὴς, ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. Τοῦτον, ὡς ἔοικεν, ὁ Τιγράνης, πεμφθέντα πρεσβευτὴν ὑπὸ τοῦ Μιθριδάτου πρὸς αὐτὸν, δεομένου βοηθεῖν ἐπὶ Ῥωμαίους, ἤρετο· «Σὺ δ' αὐτὸς, ὦ Μητρόδωρε, τί μοι περὶ τούτων παραινεῖς;» Κἀκεῖνος, εἴτε πρὸς τὸ Τιγράνου συμφέρον, εἴτε Μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς, ἔφη, κελεύειν, ὡς δὲ σύμβουλος, ἀπαγορεύειν. Ταῦτ' ἐξήνεγκεν ὁ Τιγράνης τῷ Μιθριδάτῃ, καὶ κατεῖπεν, ὡς οὐδὲν ἐργασομένῳ τὸν Μητρόδωρον ἀνήκεστον. Ὁ δ' εὐθὺς ἀνήρητο· καὶ μετάνοια τὸν Τιγράνην εἶχεν, οὐ παντελῶς ὄντα τῷ Μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ῥοπήν τινα τῷ πρὸς αὐτὸν ἔχθει τοῦ Μιθριδάτου προσθέντα. Πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν

ἄνδρα· καὶ τοῦτ' ἐφωράθη, τῶν ἀποῤῥήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ Μητρόδωρον ἀπολέσθαι διατεταγμένον. Ἔθαψεν οὖν ὁ Τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν, ὃν ζῶντα προὔδωκεν. Ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ· εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. Λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι. Δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν, καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωροίη· μεταστάντα δὲ πρὸς Κλεοπάτραν, τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχὺ, καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἰργόμενον ἀποκαρτερῆσαι. Ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας, καὶ κεῖσθαι περὶ Σαφὰν, ἐκεῖ τι χωρίον οὕτω καλούμενον.

ΚΓ. Λούκουλλος δὲ τὴν Ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκὼς, οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν· ἀλλὰ πομπαῖς καὶ πανηγύρεσιν ἐπινικίοις, καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν Ἐφέσῳ καθήμενος ἐδημαγώγει τὰς πόλεις. Αἱ δ', ἀμειβόμεναι, Λουκούλλειά τ' ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρὸς, καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ παρεῖχον. Ἐπεὶ δ' Ἄππιός τε ἧκε, καὶ πολεμητέον πρὸς Τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς Πόντον· καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἐπολιόρκει Σινώπην, μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς Κίλικας, οἳ πολλοὺς μὲν ἀνελόντες τῶν Σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες, διὰ νυκτὸς ἔφυγον. Αἰσθόμενος δ' ὁ Λούκουλλος, καὶ παρελθὼν εἰς τὴν πόλιν, ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταλειφθέντας ἀπέκτεινε· τοῖς δ' ἄλλοις ἀπέδωκε τὰ οἰκεῖα, καὶ τῆς πόλεως ἐπεμελήθη, μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. Ἐδόκει τινὰ κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα· « Πρόελθε, Λούκουλλε, μικρόν· ἥκει γὰρ Αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος. » Ἐξαναστὰς δὲ, τὴν μὲν ὄψιν οὐκ εἶχε

συμβαλεῖν εἰς ὃ φέροι· τὴν δὲ πόλιν εἷλε κατ' ἐκείνην τὴν ἡμέραν, καὶ τοὺς ἐκπλέοντας τῶν Κιλίκων διώκων, ὁρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδριάντα κείμενον, ὃν ἐκκομίζοντες οἱ Κίλικες οὐκ ἔφθασαν ἐμβαλέσθαι. Τὸ δ' ἔργον ἦν Σθένιδος τῶν καλῶν. Φράζει οὖν τις, ὡς Αὐτολύκου, τοῦ κτίσαντος τὴν Σινώπην, ὁ ἀνδριὰς εἴη. Λέγεται δ' ὁ Αὐτόλυκος γενέσθαι τῶν ἐπὶ τὰς Ἀμαζόνας ἐκ Θετταλίας Ἡρακλεῖ συστρατευσάντων, Δηϊμάχου παῖς. Ἐκεῖθεν δ' ἀποπλέων ἅμα Δημολέοντι καὶ Φλογίῳ, τὴν μὲν ναῦν ἀπολέσαι, περιπεσοῦσαν τῆς Χεῤῥονήσου κατὰ τὸ καλούμενον Πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς τὴν Σινώπην, ἀφελέσθαι τοὺς Σύρους τὴν πόλιν· Σύροι γὰρ αὐτὴν κατεῖχον, ἀπὸ Σύρου γεγονότες τοῦ Ἀπόλλωνος, ὡς λέγεται, καὶ Σινώπης τῆς Ἀσωπίδος. Ταῦτ' ἀκούων ὁ Λούκουλλος, ἀνεμιμνήσκετο τῆς Σύλλα παραινέσεως. Παρῄνει δὲ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος, μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅ τι ἂν ἀποσημανθῇ διὰ τῶν ἐνυπνίων. Πυνθανόμενος δὲ, Μιθριδάτην τε καὶ Τιγράνην εἰς Λυκαονίαν καὶ Κιλικίαν ὅσον οὔπω διαβιβάζειν δύναμιν, ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν Ἀσίαν, ἐθαύμαζε τὸν Ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι Ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρῆτο Μιθριδάτῃ πρὸς τὸν πόλεμον, οὐδ' ἐῤῥωμένοις τοῖς ἐκείνου τὰ παρ' αὐτοῦ συνῆπτεν· ἀπολέσθαι δ' ἐάσας καὶ συντριβῆναι, νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου, τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν.

ΚΔ. Ἐπειδὴ δὲ καὶ Μαχάρης, ὁ Μιθριδάτου παῖς, ἔχων τὸν Βόσπορον, ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος Ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος· ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, Σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν Ποντικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων· αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζοὺς, ἱπ-

πεῖς δὲ τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον, ἐρμῇ τινι δοκῶν παραβόλῳ, καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμὸν, ἐμβαλεῖν αὑτὸν εἰς ἔθνη μάχιμα, καὶ μυριάδας ἱππέων πολλὰς, καὶ ἀχανῆ χώραν, βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανιφομένοις ὄρεσι περιεχομένην· ὥςε τοὺς μὲν ςρατιώτας, οὐδ᾽ ἄλλως ὄντας εὐτάκτους, ἄκοντας ἕπεσθαι καὶ ζυγομαχοῦντας, ἐν δὲ Ῥώμῃ καταβοᾷν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγοὺς, ὡς πόλεμον ἐκ πολέμου διώκει Λούκουλλος, οὐδὲν τῆς πόλεως δεομένης, ἀλλ᾽ ὑπὲρ τοῦ ςρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα, μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. Οὗτοι μὲν οὖν ἐξειργάσαντο χρόνῳ τὴν αὑτῶν ὑπόθεσιν· Λούκουλλος δὲ συντόνως ὁδεύσας ἐπὶ τὸν Εὐφράτην, καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος εὑρὼν, ἤσχαλλεν, ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης, συνάγοντι πορθμεῖα, καὶ πηγνυμένῳ σχεδίας. Ἀρξάμενον δ᾽ ἀφ᾽ ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα, καὶ μειούμενον διὰ τῆς νυκτὸς, ἅμ᾽ ἡμέρᾳ κοῖλον ὀφθῆναι παρέσχε τὸν ποταμόν. Οἱ δ᾽ ἐπιχώριοι, νησίδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι, καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ᾽ αὐταῖς, προσεκύνουν τὸν Λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον· ἐκείνῳ δ᾽ ἑκουσίως χειροήθη καὶ πρᾶον αὑτὸν ἐνδιδόντος τοῦ ποταμοῦ, καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν. Χρησάμενος οὖν τῷ καιρῷ, διεβίβαζε τὴν ςρατιὰν, καὶ γίνεται σημεῖον αὐτῷ χρηςὸν ἅμα τῇ διαβάσει. Βόες ἱεραὶ νέμονται Περσίας Ἀρτέμιδος, ἣν μάλιςα θεῶν οἱ πέραν Εὐφράτου βάρβαροι τιμῶσι. Χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον, ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χάραγμα φέρουσαι τῆς θεοῦ, λαμπάδα· καὶ λαβεῖν ἐξ αὐτῶν, ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐςιν, οὐδὲ μικρᾶς πραγματείας. Τούτων μία, τοῦ ςρατοῦ διαβάντος τὸν Εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν, ἱερὰν τῆς θεοῦ νομιζομένην, ἐπ᾽ αὐτῆς ἔςη,

καὶ καταβαλοῦσα τὴν κεφαλὴν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ Λουκούλλῳ παρέσχεν αὑτήν. Ἔθυσε δὲ καὶ τῷ Εὐφράτῃ ταῦρον διαβατήρια. Κἀκείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο, τῇ δ' ὑστεραίᾳ καὶ ταῖς ἐφεξῆς προῆγε διὰ τῆς Σωφηνῆς, οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους προσχωροῦντας αὐτῷ, καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους. Ἀλλὰ καὶ τῶν στρατιωτῶν φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ βουλομένων λαβεῖν· « Ἐκεῖνο (ἔφη) μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστὶ (δείξας τὸν Ταῦρον ἄπωθεν ὄντα), ταῦτα δ' ἀπόκειται τοῖς νικῶσι. » Συντείνας δὲ τὴν πορείαν, καὶ τὸν Τίγριν διαβὰς, ἐνέβαλεν εἰς τὴν Ἀρμενίαν.

ΚΕ. Τιγράνῃ δ', ὡς ὁ πρῶτος ἀγγείλας ἥκοντα Λούκουλλον, οὐκ ἐχαίρησεν, ἀλλ' ἀπετέτμητο τὴν κεφαλὴν, οὐδεὶς ἄλλος ἔφραζεν· ἀλλ' ἀγνοῶν καθῆστο περικαιόμενος ἤδη τῷ πολεμίῳ πυρὶ, λόγους ἀκούων πρὸς χάριν, ὡς μέγαν ὄντα Λούκουλλον στρατηγὸν, εἰ πρὸς Ἐφέσῳ Τιγράνην ὑποσταίη, καὶ μὴ φεύγων εὐθὺς ἐξ Ἀσίας οἴχοιτο, τὰς τοσαύτας μυριάδας ἰδών. Οὕτως οὔτε σώματος παντός ἐστι, πολὺν ἄκρατον ἐνεγκεῖν, οὔτε διανοίας τῆς τυχούσης, ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. Πρῶτος δ' αὐτῷ τῶν φίλων ἐτόλμησε Μιθροβαρζάνης φράσαι τὸ ἀληθές. Οὐδ' οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς παῤῥησίας· Ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν Λούκουλλον σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευσθεὶς τὸν μὲν στρατηγὸν ἄγειν ζῶντα, τοὺς δ' ἄλλους καταπατῆσαι. Λουκούλλῳ δὲ τῆς στρατιᾶς ἡ μὲν ἤδη κατεζεύγνυεν, ἡ δὲ ἔτι προσῄει. Τῶν δὲ σκοπῶν αὐτῷ φρασάντων ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε, μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ. Καὶ αὐτὸς μὲν καθίστατο τὴν στρατοπεδείαν, Σεξτίλιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας· κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως ἂν πύθηται τοὺς μετ' αὐτοῦ κατεστρατο-

πεδευκότας. Ἐβούλετο μὲν οὖν ὁ Σεξτίλιος ταῦτα ποιεῖν, ἐβιάσθη δ' ὑπὸ τοῦ Μιθροβαρζάνου θρασέως ἐπελαύνοντος εἰς χεῖρας ἐλθεῖν. Καὶ γενομένης μάχης, ὁ μὲν Μιθροβαρζάνης ἔπεσεν ἀγωνιζόμενος, οἱ δ' ἄλλοι φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. Ἐκ τούτου Τιγράνης μὲν, ἐκλιπὼν Τιγρανόκερτα, μεγάλην πόλιν, ἐκτισμένην ὑπ' αὐτοῦ, πρὸς τὸν Ταῦρον ἀνεχώρησε, καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε. Λούκουλλος δὲ τῇ παρασκευῇ χρόνον οὐ διδοὺς, Μουρήναν μὲν ἐξέπεμψεν ἐνοχλήσοντα καὶ περικόψοντα τοὺς ἀθροιζομένους πρὸς τὸν Τιγράνην, Σεξτίλιον δὲ πάλιν, Ἀράβων χεῖρα μεγάλην ἀνείρξοντα βασιλεῖ προσιοῦσαν. Ὁμοῦ δὲ Σεξτίλιος μὲν, ἐπιπεσὼν στρατόπεδον ποιουμένοις τοῖς Ἄραψι, τοὺς πλείστους διέφθειρε· Μουρήνας δ', ἑπόμενος Τιγράνῃ, τραχὺν αὐλῶνα καὶ στενόπορον στρατῷ μακρῷ διεκβάλλοντι, καιροῦ παρασχόντος, ἐπιτίθεται. Καὶ φεύγει μὲν αὐτὸς Τιγράνης, προέμενος τὴν ἀποσκευὴν ἅπασαν· ἀποθνήσκουσι δὲ πολλοὶ, καὶ πλείονες ἁλίσκονται τῶν Ἀρμενίων.

Κϛ. Οὕτω δὲ τούτων προχωρούντων, ἄρας ὁ Λούκουλλος ἐπορεύετο πρὸς Τιγρανόκερτα, καὶ περιστρατοπεδεύσας, ἐπολιόρκει τὴν πόλιν. Ἦσαν δ' ἐν αὐτῇ πολλοὶ μὲν Ἕλληνες τῶν ἀναστάντων ἐκ Κιλικίας, πολλοὶ δὲ βάρβαροι τοῖς Ἕλλησιν ὅμοια πεπονθότες, Ἀδιαβηνοὶ, καὶ Ἀσσύριοι, καὶ Γορδυηνοὶ, καὶ Καππάδοκες· ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κομίσας, ἐκεῖ κατοικεῖν ἠνάγκασεν. Ἦν δὲ καὶ χρημάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων, παντὸς ἰδιώτου καὶ δυνάστου τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔξησιν καὶ κατασκευὴν τῆς πόλεως. Διὸ καὶ συντόνως ἐπολιόρκει ὁ Λούκουλλος αὐτὴν, οὐκ ἀνέξεσθαι τὸν Τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ' ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος. Πολλὰ δὲ Μιθριδάτης ἀπηγόρευσεν, ἀγγέλους πέμπων καὶ γράμματα, μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἱππεῦσι περικόπτειν τὴν ἀγοράν·

πολλὰ δὲ Ταξίλης, ἥκων παρ' αὐτοῦ καὶ συστρατεύων, ἐδεῖτο τοῦ βασιλέως φυλάττεσθαι καὶ φεύγειν, ὡς ἄμαχον πρᾶγμα, τὰ Ῥωμαίων ὅπλα. Καὶ τά γε πρῶτα πράως ἤκουε τούτων. Ἐπεὶ δὲ πανστρατιᾷ μὲν αὐτῷ συνῆλθον Ἀρμένιοι καὶ Γορδυηνοὶ, πανστρατιᾷ δὲ Μήδους καὶ Ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν, ἧκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν Βαβυλῶνι θαλάσσης Ἄραβες, πολλοὶ δ' ἀπὸ τῆς Κασπίας Ἀλβανοὶ, καὶ Ἴβηρες Ἀλβανοῖς προσοικοῦντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν Ἀράξην νεμομένων ἀβασίλευτοι, χάριτι καὶ δώροις πεισθέντες, ἀπήντησαν· ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν μεστὰ μὲν ἦν τὰ συμπόσια τοῦ βασιλέως, μεστὰ δὲ τὰ συμβούλια· παρεκινδύνευσε μὲν ὁ Ταξίλης ἀποθανεῖν, ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ Μιθριδάτης φθονῶν ἀποτρέπειν μεγάλου κατορθώματος. Ὅθεν οὐδ' ἀνέμεινεν αὐτὸν ὁ Τιγράνης, μὴ μετάσχοι τῆς δόξης, ἀλλ' ἐχώρει παντὶ τῷ στρατῷ, σφόδρα δυσφορῶν, ὡς λέγεται, πρὸς τοὺς φίλους, ὅτι πρὸς Λούκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς Ῥωμαίων στρατηγοὺς ἐν ταὐτῷ γενομένους. Καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες, οὐδ' ἄλογον, ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους, καὶ φάλαγγας ὁπλιτῶν, καὶ μυριάδας ἱππέων ἀποβλέποντος. Τοξότας μὲν γὰρ καὶ σφενδονήτας δισμυρίους ἦγεν, ἱππεῖς δὲ πεντακισμυρίους καὶ πεντακισχιλίους· ὧν ἑπτακισχίλιοι καὶ μύριοι κατάφρακτοι ἦσαν, ὡς Λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον· ὁπλιτῶν δὲ, τῶν μὲν εἰς σπείρας, τῶν δ' εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας, ὁδοποιοὺς δὲ καὶ γεφυρωτὰς, καὶ καθάρτας ποταμῶν, καὶ ὑλοτόμους, καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας, τρισμυρίους καὶ πεντακισχιλίους· οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον.

ΚΖ. Ὡς δ' ὑπερβαλὼν τὸν Ταῦρον, ἄθρους κατεφάνη, καὶ κατεῖδε πρὸς τοῖς Τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα

τῶν Ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο, καὶ τοῖς Ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες ἐδείκνυσαν τοὺς Ἀρμενίους. Λουκούλλῳ δὲ, σκοποῦντι περὶ τῆς μάχης, οἱ μὲν ἄγειν ἐπὶ Τιγράνην, ἐάσαντα τὴν πολιορκίαν, συνεβούλευον, οἱ δὲ μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους, μηδ' ἀνεῖναι τὴν πολιορκίαν. Ὁ δ', εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν, διεῖλε τὴν στρατιάν. Καὶ Μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν, αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβὼν, ἐν αἷς οὐ πλείονες ἦσαν μυρίων ὁπλιτῶν, καὶ τοὺς ἱππεῖς ἅπαντας, καὶ σφενδονήτας καὶ τοξότας περὶ χιλίους, ἐχώρει. Καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ καταστρατοπεδεύσας, παντάπασι μικρὸς ἐφάνη Τιγράνῃ, καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν. Οἱ μὲν γὰρ ἔσκωπτον. Οἱ δ' ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ ἐβάλλοντο κλῆρον. Τῶν δὲ στρατηγῶν καὶ βασιλέων ἕκαστος ᾐτεῖτο προσιὼν, αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. Βουλόμενος δέ τι καὶ αὐτὸς ὁ Τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς, εἶπε τὸ θρυλλούμενον· « Εἰ μὲν ὡς πρεσβευταὶ, πολλοὶ πάρεισιν· εἰ δ' ὡς στρατιῶται, ὀλίγοι. » Καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες διετέλεσαν. Ἅμα δ' ἡμέρᾳ Λούκουλλος ὡπλισμένην τὴν δύναμιν ἐξῆγε. Καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στράτευμα· τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ τὰς δύσεις, ᾗ μάλιστα περάσιμον ἦν, ἀντιπαρεξάγων τὴν δύναμιν, καὶ σπεύδων, ἔδοξεν ἀποχωρεῖν τῷ Τιγράνῃ. Καὶ καλέσας τὸν Ταξίλην, ἅμα γέλωτι· « Τοὺς ἀμάχους (ἔφη) Ῥωμαίων ὁπλίτας οὐχ ὁρᾷς φεύγοντας; » Καὶ ὁ Ταξίλης· « Βουλοίμην ἂν (εἶπεν), ὦ βασιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων· ἀλλ' οὔτ' ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν ὁδοιποροῦντες, οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται, καὶ κράνεσι γυμνοῖς, ὥσπερ

νῦν τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα περισπάσαντες. Ἀλλὰ μαχουμένων ἐςὶν ἡ λαμπρότης αὕτη, καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους.» Ταῦτα λέγοντος ἔτι τοῦ Ταξίλου, καταφανὴς ἦν [ὁ] πρῶτος ἀετὸς ἐπιςρέφοντος τοῦ Λουκούλλου, καὶ τάξιν αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβασιν· καὶ μόλις, ὥσπερ ἐκ μέθης τινὸς ἀναφέρων ὁ Τιγράνης, δὶς, ἢ τρὶς ἐξεκέκραγεν· « Ἐφ' ἡμᾶς οἱ ἄνδρες;» ὥςε θορύβῳ πολλῷ τὸ πλῆθος εἰς τάξιν καθίςασθαι, βασιλέως μὲν αὐτοῦ τὸ μέσον ἔχοντος, τῶν δὲ κεράτων τὸ μὲν ἀριςερὸν τῷ Ἀδιαβηνῷ, τὸ δὲ δεξιὸν τῷ Μήδῳ παραδόντος· ἐφ' οὗ καὶ τῶν καταφράκτων ἐν προτάγματι τὸ πλεῖςον ἦν. Λουκούλλῳ δὲ μέλλοντι διαβαίνειν τὸν ποταμὸν ἔνιοι τῶν ἡγεμόνων παρῄνουν φυλάττεσθαι τὴν ἡμέραν, μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ Καιπίωνος ἀπώλετο ςρατιὰ, συμβαλοῦσα Κίμβροις. Ὁ δ' ἀπεκρίνατο τὴν μνημονευομένην φωνήν· « Ἐγὼ (γὰρ ἔφη) καὶ ταύτην εὐτυχῆ ποιήσω Ῥωμαίοις τὴν ἡμέραν.» Ἦν δὲ ἡ πρὸ μιᾶς νόνων Ὀκτωβρίων.

ΚΗ. Ταῦτα δ' εἰπὼν, καὶ θαῤῥεῖν κελεύσας, τόντε ποταμὸν διέβαινε, καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους ἡγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποςίλβοντα, κροσσωτὴν δὲ ἐφεςρίδα· τὸ δὲ ξίφος αὐτόθεν ὑποφαίνων γυμνὸν, ὡς εὐθὺς εἰς χεῖρας ἴεσθαι δέον ἑκηβόλοις ἀνδράσι, καὶ συναιρεῖν τὴν διατοξεύσιμον χώραν τῷ τάχει τῆς ἐπαγωγῆς. Ἐπεὶ δὲ τὴν κατάφρακτον ἵππον, ἧς πλεῖςος ἦν λόγος, κατεῖδε κατατεταγμένην ὑπὸ λόφῳ τινὶ, τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλατεῖαν ἔχοντι, πρόσβασιν δὲ τεττάρων ςαδίων οὐ παντάπασι χαλεπὴν, οὐδ' ἀποκεκομμένην, Θρᾷκας μὲν ἱππεῖς καὶ Γαλάτας, οὓς εἶχεν, ἐκέλευσεν ἐκ πλαγίου προσφερομένους παρακρούεσθαι ταῖς μαχαίραις τοὺς κοντούς. Μία γὰρ ἀλκὴ τῶν καταφράκτων, κοντός· ἄλλο δ' οὐδὲν οὔθ' ἑαυτοῖς, οὔτε τοῖς πολεμίοις, χρῆσθαι δύνανται, διὰ βάρος

καὶ σκληρότητα τῆς σκευῆς, ἀλλ' ἐγκατῳκοδομημένοις ἐοίκασιν. Αὐτὸς δὲ δύο σπείρας ἀναλαβὼν, ἡμιλλᾶτο πρὸς τὸν λόφον, ἐῤῥωμένως ἑπομένων τῶν στρατιωτῶν, διὰ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις ὁρᾷν πρῶτον κακοπαθοῦντα πεζὸν καὶ προσβιαζόμενον. Γενόμενος δ' ἄνω, καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χωρίου, μέγα βοήσας· « Νενικήκαμεν (ἔφη), νενικήκαμεν, ὦ συστρατιῶται. » Καὶ τοῦτ' εἰπὼν, ἐπῆγε τοῖς καταφράκτοις, καὶ κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα παίειν τῶν πολεμίων κνήμας τε καὶ μηροὺς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστίν. Οὐ μὴν ἐδέησέ τι ταύτης τῆς μάχης· οὐ γὰρ ἐδέξαντο τοὺς Ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φεύγοντες αἴσχιστα πάντων, ἐνέωσαν ἑαυτούς τε καὶ τοὺς ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα, πρὶν ἄρξασθαί τινος ἐκείνους μάχης· ὥστε, μήτε τραύματος γενομένου, μήθ' αἵματος ὀφθέντος, ἡττᾶσθαι τὰς τοσαύτας μυριάδας. Ὁ δὲ πολὺς φόνος ἤδη φευγόντων ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν. Οὐ γὰρ ἐδύναντο, πυκνότητι καὶ βάθει τῶν τάξεων ὑφ' αὑτῶν ἐμποδιζόμενοι. Τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγεν, καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περιεσπάσατο τὸ διάδημα τῆς κεφαλῆς, κἀκείνῳ δακρύσας παρέδωκε, σώζειν ἑαυτὸν, ὅπως δύναται, καθ' ἑτέρας ὁδοὺς κελεύσας. Ὁ δὲ νεανίας ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε, τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. Οὗτος ἁλοὺς κατὰ τύχην, ἀνήχθη πρὸς Λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ τὸ διάδημα γενέσθαι τὸ Τιγράνου. Λέγεται δὲ, τῶν μὲν πεζῶν ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι, τῶν δ' ἱππέων ὀλίγους παντάπασι διαφυγεῖν. Ῥωμαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. Ταύτης τῆς μάχης Ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ Περὶ θεῶν γραφῇ μνησθεὶς, οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. Στράβων δ' ἕτερος φιλόσοφος, ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν, αὐτοὺς

λέγει τοὺς Ῥωμαίους αἰσχύνεσθαι καὶ καταγελᾷν ἑαυτῶν, ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. Λιούϊος δ' εἴρηκεν, ὡς οὐδέποτε Ῥωμαῖοι πολεμίοις, ἀποδέοντες τοσούτῳ πλήθει, παρετάξαντο. Σχεδὸν γὰρ οὐδ' εἰκοστὸν, ἀλλ' ἔλαττον ἐγένοντο μέρος οἱ νικῶντες τῶν ἡσσημένων. Ῥωμαίων δ' οἱ δεινότατοι στρατηγοὶ, καὶ πλεῖστα πολέμοις ὡμιληκότες, ἐπῄνουν μάλιστα τοῦ Λουκούλλου τὸ δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους δυσὶ τοῖς ἐναντιωτάτοις, τάχει καὶ βραδυτῆτι, καταστρατηγῆσαι. Μιθριδάτην μὲν γὰρ ἀκμάζοντα χρόνῳ καὶ τριβῇ κατηνάλωσε. Τιγράνην δὲ τῷ σπεῦσαι συνέτριψεν· ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων, τῇ μελλήσει μὲν ἐνεργῷ, τῇ τόλμῃ δ' ὑπὲρ ἀσφαλείας χρησάμενος.

ΚΘ. Διὸ καὶ Μιθριδάτης οὐ συνέτεινεν ἐπὶ τὴν μάχην, τῇ συνήθει τὸν Λούκουλλον εὐλαβείᾳ καὶ παραγωγῇ πολεμήσειν οἰόμενος, ἀλλὰ καθ' ἡσυχίαν ἐπορεύετο πρὸς τὸν Τιγράνην. Καὶ πρῶτον μὲν ὀλίγοις τῶν Ἀρμενίων ἐντυχὼν καθ' ὁδὸν, ἐπτοημένοις καὶ περιφόβοις ἀπιοῦσιν, εἴκασε τὸ πάθος, εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἀπαντώντων, πυθόμενος τὴν ἧτταν, ἐζήτει τὸν Τιγράνην. Εὑρὼν δὲ πάντων ἔρημον καὶ ταπεινὸν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη, θεραπείαν τε τὴν ἑπομένην αὐτῷ βασιλικὴν ἔδωκε, καὶ κατεθάῤῥυνε πρὸς τὸ μέλλον. Οὗτοι μὲν οὖν αὖθις ἑτέρας δυνάμεις συνῆγον. Ἐν δὲ τῇ πόλει τοῖς Τιγρανοκέρτοις τῶν Ἑλλήνων πρὸς τοὺς βαρβάρους στασιασάντων, καὶ τῷ Λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων, προσβαλὼν εἷλε· καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε, τὴν δὲ πόλιν διαρπάσαι παρέδωκε τοῖς στρατιώταις, μετὰ τῶν ἄλλων χρημάτων ὀκτακισχίλια τάλαντα νομίσματος ἐχουσαν. Χωρὶς δὲ τούτων ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν ἀπὸ τῶν λαφύρων. Πυνθανόμενος δὲ, πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν Διόνυσον τεχνιτῶν, οὓς

ὁ Τιγράνης πανταχόθεν ἠθροίκει, μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. Τοὺς δ' Ἕλληνας εἰς τὰς αὑτῶν πατρίδας ἔπεμψε, προσθεὶς ἐφόδια, καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν. Ὥςε συνέβη, μιᾶς πόλεως διαλυθείσης, πολλὰς ἀνοικίζεσθαι, πάλιν κομιζομένας τοὺς αὐτῶν οἰκήτορας· ὑφ' ὧν ὡς εὐεργέτης ὁ Λούκουλλος καὶ κτίςης ἠγαπᾶτο. Προὐχώρει δὲ καὶ τἄλλα κατ' ἀξίαν τἀνδρὶ, τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ὀρεγομένῳ μᾶλλον, ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. Ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ ςρατιὰ, καὶ τὸ πλεῖςον ἡ τύχη μετεῖχε· ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπίδειξις, οἷς ὁ Λούκουλλος τότε χωρὶς ὅπλων ἐχειροῦτο τοὺς βαρβάρους. Καὶ γὰρ Ἀράβων βασιλεῖς ἧκον πρὸς αὐτὸν, ἐγχειρίζοντες τὰ σφέτερα, καὶ τὸ Σωφηνῶν ἔθνος προσεχώρει. Τὸ δὲ Γορδυηνῶν οὕτω διέθηκεν, ὥςε βούλεσθαι τὰς πόλεις ἐκλιπόντας ἀκολουθεῖν ἐκείνῳ μετὰ παίδων καὶ γυναικῶν ἐθελοντὰς, ἐξ αἰτίας τοιᾶσδε. Ζαρβιηνὸς γὰρ, ὁ τῶν Γορδυηνῶν βασιλεὺς, ὥσπερ εἴρηται, δι' Ἀππίου κρύφα Λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν Τιγράνου τυραννίδα βαρυνόμενος. Μηνυθεὶς δ' ἀπεσφάγη, καὶ παῖδες αὐτοῦ καὶ γυνὴ συναπώλοντο, πρὶν ἢ Ῥωμαίους εἰς Ἀρμενίαν ἐμβαλεῖν. Τούτων οὐκ ἠμνημόνησεν ὁ Λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν Γορδυηνῶν, ταφὰς προὔθετο τοῦ Ζαρβιηνοῦ· καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ Τιγράνου κοσμήσας λαφύροις, αὐτὸς παρὼν ὑφῆψε, καὶ χοὰς ἐπήνεγκε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς, ἑταῖρον ἑαυτοῦ, καὶ Ῥωμαίων σύμμαχον ἀνακαλούμενος. Ἐκέλευσε δὲ καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι· πάμπολλα γὰρ εὑρέθη, καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς Ζαρβιηνοῦ βασιλείοις. Σίτου δ' ἀπέκειντο μυριάδες τριακόσιαι μεδίμνων· ὥςε καὶ τοὺς ςρατιώ-

τας ὠφελεῖσθαι, καὶ τὸν Λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν ἐκ τοῦ δημοσίου ταμιείου μὴ λαβὼν, αὐτὸν ἐξ αὐτοῦ διῴκει τὸν πόλεμον.

Λ. Ἐνταῦθα καὶ παρὰ τοῦ Πάρθων βασιλέως ἧκε πρεσβεία παρ᾽ αὐτὸν, εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. Ἦν δ᾽ ἀσμένῳ ταῦτα τῷ Λουκούλλῳ, καὶ πάλιν ἀντέπεμψε παρ᾽ ἑαυτοῦ πρεσβείαν πρὸς τὸν Πάρθον, οἳ κατεφώρασαν αὐτὸν ἐπαμφοτερίζοντα τῇ γνώμῃ, καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ Τιγράνῃ τὴν Μεσοποταμίαν. Ὡς οὖν ταῦθ᾽ ὁ Λούκουλλος ᾔσθετο, Τιγράνην μὲν ἔγνω καὶ Μιθριδάτην παρελθεῖν, ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶσθαι δὲ τῆς Πάρθων δυνάμεως, καὶ στρατεύειν ἐπ᾽ αὐτούς· καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου τρεῖς ἐφεξῆς, ὥσπερ ἀθλητὴς, βασιλεῖς καταπαλαῖσαι, καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμονιῶν ἀήττητος καὶ νικῶν διεξελθεῖν. Ἔπεμψεν οὖν εἰς Πόντον τοῖς περὶ Σωρνάτιον ἡγεμόσιν, ἐπιστείλας ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτὸν, ὡς ἐκ τῆς Γορδυηνῆς ἀναβησόμενος. Οἱ δὲ, καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώταις, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν, οὐδενὶ τρόπῳ πειθοῦς, οὐδ᾽ ἀνάγκης, εὑρόμενοι προσαγαγέσθαι, μαρτυρομένους καὶ βοῶντας, ὡς οὐδ᾽ αὐτόθι μενοῦσιν, ἀλλ᾽ οἰχήσονται τὸν Πόντον ἔρημον ἀπολιπόντες. Ταῦτα πρὸς Λούκουλλον ἀπαγγελθέντα καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας, ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν, καὶ σχολῆς δεομένους· ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παῤῥησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν, καὶ μιμητέον αὐτοὺς ἔφασαν εἶναι· πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι.

ΛΑ. Τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ Λούκουλλος, τὴν ἐπὶ Πάρθους στρατείαν ἀφῆκεν, αὖθις δ᾽ ἐπὶ

τὸν Τιγράνην ἐβάδιζε, θέρους ἀκμάζοντος. Καὶ τὸν Ταῦρον ὑπερβαλὼν, ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων· τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. Οὐ μὴν ἀλλὰ καταβὰς, καὶ δὶς, ἢ τρὶς ἀνατολμήσαντας ἐπ' αὐτὸν τοὺς Ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας· καὶ τὸν παρεσκευασμένον τῷ Τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο, τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. Ἐπεὶ δὲ προκαλούμενος εἰς μάχην αὐτοὺς, περιταφρεύων τὸν χάρακα, καὶ πορθῶν ἐν ὄψει τὴν χώραν, οὐκ ἐκίνει πεπληγότας πολλάκις, ἀναστὰς ἐβάδιζεν ἐπ' Ἀρτάξατα, τὸ Τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτῷ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν· οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προήσεσθαι τὸν Τιγράνην. Λέγεται δ', Ἀννίβαν τὸν Καρχηδόνιον, Ἀντιόχου καταπολεμηθέντος ὑπὸ Ῥωμαίων, μεταβάντα πρὸς Ἀρτάξαν τὸν Ἀρμένιον, ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρησίμων, καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον καὶ ἥδιστον, ἀργοῦντα καὶ παρορώμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι, καὶ τὸν Ἀρτάξαν ἐπαγαγόντα δεῖξαι, καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. Ἡσθέντος δὲ τοῦ βασιλέως, καὶ δεηθέντος, ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι, καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως, μητρόπολιν ἀποδειχθῆναι τῆς Ἀρμενίας. Ἐπὶ ταύτην τοῦ Λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο Τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβὼν, ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς Ῥωμαίοις, ἐν μέσῳ λαβὼν τὸν Ἀρσανίαν ποταμὸν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς Ῥωμαίοις τὴν ἐπ' Ἀρταξάτων πορευομένοις. Θύσας δὲ τοῖς θεοῖς Λούκουλλος, ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατὸν, ἐν δώδεκα σπείραις προτεταγμέναις, ταῖς δ' ἄλλαις ἐπιτεταγμέναις διὰ τὰς κυκλώσεις τῶν πολεμίων. Πολλοὶ γὰρ ἦσαν ἱππεῖς *καὶ* λογάδες ἀντιπαρατεταγμένοι· πρὸ δ' αὐτῶν ἱπποτοξό-

ται Μάρδοι, καὶ λογχοφόροι Ἴϐηρες, οἷς μάλιστα τῶν ξένων ὁ Τιγράνης ἐπίςευεν, ὡς μαχιμωτάτοις. Οὐ μὴν ἐπράχθη τι λαμπρὸν ἀπ' αὐτῶν· μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν Ῥωμαίων διαπληκτισάμενοι, τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν· ἀλλ' ἑκατέρωσε τῆς φυγῆς σχισθέντες, ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. Ἅμα δὲ τῷ τούτους διασπαρῆναι, τῶν περὶ τὸν Τιγράνην ἐξιππασαμένων, ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ Λούκουλλος ἔδεισε. Καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ' αὐτὸς ἀντέςη τοῖς Ἀτροπατηνοῖς κατ' αὐτὸν οὖσι μετὰ τῶν ἀρίςων, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, φοϐήσας ἐτρέψατο. Τριῶν δ' ὁμοῦ παρατεταγμένων βασιλέων, αἴσχιστα δοκεῖ φυγεῖν ὁ Ποντικὸς Μιθριδάτης, οὐδὲ τὴν κραυγὴν τῶν Ῥωμαίων ἀνασχόμενος. Γενομένης δὲ τῆς διώξεως μακρᾶς, καὶ δι' ὅλης νυκτὸς, οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες, καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες ἀπεῖπον οἱ Ῥωμαῖοι. Φησὶ δ' ὁ Λιούϊος, ἐν μὲν τῇ προτέρᾳ μάχῃ πλείονας, ἐν δὲ ταύτῃ γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων.

ΛΒ. Ἐκ τούτου Λούκουλλος μὲν ἐπηρμένος καὶ τεθαῤῥηκὼς ἄνω προάγειν διενοεῖτο καὶ καταςρέφεσθαι τὸν βάρϐαρον· ὥρᾳ δ' ἰσημερίας φθινοπωρινῆς οὐκ ἂν ἐλπίσαντι χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖςα κατανίφοντες, ἐν δὲ ταῖς αἰθρίαις πάχνην ἐπιφέροντες καὶ πάγον, ὑφ' οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι, διὰ ψυχρότητος ὑπερϐολὴν, χαλεπαὶ δ' αὐτῶν αἱ διαϐάσεις, ἐκρηγνυμένου τοῦ κρυςάλλου καὶ διακόπτοντος τὰ νεῦρα τῶν ἵππων τῇ τραχύτητι. Τῆς δὲ χώρας ἡ πολλὴ συνηρεφὴς οὖσα καὶ ςενόπορος καὶ ὑλώδης, ἀεὶ καθύγραινεν αὐτοὺς, χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις, καὶ κακῶς ἐν τόποις νοτεροῖς νυκτερεύοντας. Οὐ πολλὰς οὖν ἡμέρας ἀκολουθήσαντες τῷ Λουκούλλῳ μετὰ τὴν μάχην, ἠναντιοῦντο, πρῶτον δεόμενοι καὶ τοὺς χιλιάρχους προσπέμποντες, ἔπειτα

θορυβωδέστερον συνιστάμενοι, καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες· ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. Καίτοι πολλὰ προσελιπάρει Λούκουλλος, ἀξιῶν αὐτοὺς μακροθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς, ἄχρις οὗ τὴν ἐν Ἀρμενίοις Καρχηδόνα λαβόντες, ἀνδρὸς ἐχθίστου, τὸν Ἀννίβαν λέγων, ἔργον ἀνατρέψωσιν. Ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω, καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν Ταῦρον, εἰς τὴν λεγομένην Μυγδονικὴν κατέβαινε χώραν, πάμφορον καὶ ἀλεεινὴν, καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν, ἣν οἱ μὲν βάρβαροι Νίσιβιν, οἱ δ' Ἕλληνες Ἀντιόχειαν Μυγδονικὴν προσηγόρευον. Ταύτην εἶχεν ἀξιώματι μὲν ἀδελφὸς Τιγράνου, Γούρας, ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ Καλλίμαχος, ὁ καὶ περὶ Ἀμισὸν πλεῖστα πράγματα Λουκούλλῳ παρασχών. Βαλόμενος δὲ στρατόπεδον, καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν, ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. Καὶ Γούρᾳ μὲν ἑαυτὸν ἐγχειρίσαντι φιλανθρώπως ἐχρήσατο· Καλλιμάχῳ δὲ, ὑπισχνουμένῳ θήκας ἀποῤῥήτους μεγάλων χρημάτων ἀνακαλύψειν, οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι, δίκην ὑφέξοντα τοῦ πυρὸς, ᾧ τὴν Ἀμισηνῶν διαλυμηνάμενος πόλιν, ἀφείλετο φιλοτιμίαν αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς Ἕλληνας.

ΛΓ. Μέχρι τοῦδε φαίη τις ἂν Λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν. Ἐντεῦθεν δ', ὥσπερ πνεύματος ἐπιλιπόντος, προσβιαζόμενος πάντα, καὶ παντάπασιν ἀντικρούων, ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγαθοῦ, δόξαν δὲ καὶ χάριν οὐδεμίαν αἱ πράξεις ἔσχον· ἀλλὰ καὶ τὴν προϋπάρχουσαν ἐγγὺς ἦλθε, δυσπραγῶν καὶ διαφερόμενος μάτην, ἀποβαλεῖν. Τῶν δ' αἰτιῶν αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέσχεν, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ, καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον, ἀρχῆς ἀτιμίαν

καὶ κατάλυσιν ἡγούμενος· τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκὼς, ἀλλὰ πάντων καταφρονῶν, καὶ μηδενὸς ἀξίους πρὸς αὐτὸν ἡγούμενος. Ταῦτα γὰρ ὑπάρξαι Λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς. Καὶ γὰρ μέγας, καὶ καλὸς, καὶ δεινὸς εἰπεῖν, καὶ φρόνιμος ὁμαλῶς ἐν ἀγορᾷ καὶ ϛρατοπέδῳ δοκεῖ γενέσθαι. Σαλούστιος μὲν οὖν φησι, χαλεπῶς διατεθῆναι τοὺς ϛρατιώτας πρὸς αὐτὸν, εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς Κυζίκῳ, καὶ πάλιν πρὸς Ἀμισῷ, δύο χειμῶνας ἑξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. Ἠνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. Ἢ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον, ἢ παρὰ τοῖς συμμάχοις, ὕπαιθροι σκηνοῦντες· εἰς δὲ πόλιν Ἑλληνίδα καὶ φίλην οὐδ' ἅπαξ εἰσῆλθε μετὰ ϛρατοπέδου Λούκουλλος. Οὕτω δὲ διακειμένοις αὐτοῖς τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς Ῥώμης οἱ δημαγωγοὶ προφάσεις, φθόνῳ τοῦ Λουκούλλου κατηγοροῦντες, ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἕλκοντος τὸν πόλεμον, καὶ μονονοὺ κατέχοντος ἐν ταὐτῷ Κιλικίαν, Ἀσίαν, Βιθυνίαν, Παφλαγονίαν, Γαλατίαν, Πόντον, Ἀρμενίαν, τὰ μέχρι Φάσιδος· νῦν δὲ καὶ τὰ Τιγράνου βασίλεια πεπορθηκότος, ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς, οὐ καταπολεμῆσαι πεμφθέντος. Τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν ϛρατηγῶν Λεύκιον Κοΐντιον· ὑφ' οὗ μάλιϛα πεισθέντες, ἐψηφίσαντο πέμπειν διαδόχους τῷ Λουκούλλῳ τῆς ἐπαρχίας. Ἐψηφίσαντο δὲ καὶ τῶν ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι ϛρατείας.

ΛΔ. Τούτοις δὲ τηλικούτοις οὖσι προσγίνεται τὸ μάλιστα Λουκούλλῳ διειργασμένον τὰς πράξεις, Πόπλιος Κλώδιος, ἀνὴρ ὑβριϛὴς καὶ μεϛὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. Ἦν δὲ τῆς Λουκούλλου γυναικὸς ἀδελφὸς, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν, ἀκολαϛοτάτην οὖσαν. Τότε δὲ τῷ Λουκούλλῳ συϛρατεύων, οὐχ, ὅσης αὑτὸν ἠξίου, τιμῆς ἐτύγχανεν· ἠξίου δὲ πρῶτος εἶναι, καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον, ὑποικούρει τὴν

Φιμβριανὴν στρατιὰν, καὶ παρώξυνε κατὰ τοῦ Λουκούλλου, λόγους χρηστοὺς εἰς οὐκ ἄκοντας, οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι, διαδιδούς. Οὗτοι γὰρ ἦσαν, οὓς καὶ πρότερον ἀνέπεισε Φιμβρίας, ἀποκτείναντας τὸν ὕπατον Φλάκκον, αὐτὸν ἑλέσθαι στρατηγόν. Δι' ὃ καὶ τὸν Κλώδιον ἡδέως ἐδέχοντο, καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγανακτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι, πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον· οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς Λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους, ἐκπωμάτων χρυσῶν καὶ διαλίθων γεμούσας. Οἱ δὲ Πομπηΐου στρατιῶται, δῆμος ὄντες, ἤδη που μετὰ γυναικῶν καὶ τέκνων κάθηνται γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ Μιθριδάτην καὶ Τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας, οὐδὲ τῆς Ἀσίας τὰ βασίλεια καταῤῥίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν Ἰβηρίᾳ, καὶ δραπέταις ἐν Ἰταλίᾳ, πολεμήσαντες. Τί οὖν, εἰ δεῖ μηδέποτε παύσασθαι στρατευομένους, οὐχὶ τοιούτῳ στρατηγῷ καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσομεν, ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος ὁ τῶν στρατευομένων πλοῦτος; Τοιαύταις αἰτίαις τὸ Λουκούλλου στράτευμα διαφθαρὲν, οὔτ' ἐπὶ Τιγράνην ἠκολούθησεν, οὔτ' ἐπὶ Μιθριδάτην, αὖθις ἐξ Ἀρμενίας εἰς Πόντον ἐμβαλόντα, καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα. Πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι, περὶ τὴν Γορδυηνὴν διέτριβον, ὅσον οὔπω Πομπήϊον, ἤ τιν' ἄλλον τῶν ἡγεμόνων, Λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες.

ΛΕ. Ἐπεὶ δὲ Μιθριδάτης ἤγγελτο, Φάβιον νενικηκὼς, ἐπὶ Σωρνάτιον καὶ Τριάριον βαδίζειν, αἰσχυνθέντες εἵποντο τῷ Λουκούλλῳ. Τριάριος δ', ὡς ἕτοιμον ἁρπάσαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον, ἐγγὺς ὄντα, φιλοτιμούμενος, ἡττᾶται μάχῃ μεγάλῃ. Λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους Ῥωμαίων

ἀποθανεῖν, ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα, χιλίαρχοι δ᾽ εἴκοσι καὶ τέσσαρες. Τὸ δὲ ϛρατόπεδον εἷλε Μιθριδάτης. Ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕϛερον ἡμέραις, Τριάριον μὲν ὑπὸ τῶν ϛρατιωτῶν ζητούμενον πρὸς ὀργὴν ἐξέκλεψε, Μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ Τιγράνην περιμένοντος, ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω, πρὶν ἀμφοτέρους συνελθεῖν, πάλιν ἀπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν Τιγράνην. Πορευομένῳ δ᾽ αὐτῷ καθ᾽ ὁδὸν οἱ Φιμβριανοὶ ϛασιάσαντες, ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς ϛρατείας, καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. Οὐδὲν οὖν ἐϛιν, ὅ τι τῶν παρ᾽ ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν, ἀντιβολῶν καθ᾽ ἕνα, καὶ κατὰ σκηνὰς περιιὼν, ταπεινὸς καὶ δεδακρυμένος, ἔϛι δ᾽ ὧν καὶ χειρὸς ἁπτόμενος. Οἱ δ᾽ ἀπετρίβοντο τὰς δεξιώσεις, καὶ κενὰ προσεῤῥίπτουν βαλάντια, καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον, ἀφ᾽ ὧν μόνος ἠπίϛατο πλουτεῖν. Οὐ μὴν ἀλλὰ, τῶν ἄλλων ϛρατιωτῶν δεομένων, ἐκβιασθέντες οἱ Φιμβριανοὶ, συνέθεντο παραμεῖναι τὸ θέρος· ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. Ταῦτ᾽ ἔδει στέργειν ἐξ ἀνάγκης τὸν Λούκουλλον, ἢ προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα. Συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος, οὐδὲ προάγων πρὸς μάχην, ἀλλ᾽ εἰ παραμένοιεν ἀγαπῶν, καὶ περιορῶν πορθουμένην ὑπὸ τοῦ Τιγράνου τὴν Καππαδοκίαν, καὶ πάλιν ὑβρίζοντα Μιθριδάτην, ὃν αὐτὸς ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι· καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν ἐν Πόντῳ πραγμάτων, ὡς ἤδη βεβαίως ἐχομένων. Καὶ δὴ παρόντες ἑώρων οὐδ᾽ αὐτοῦ κύριον, ἀλλὰ παροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν ϛρατιωτῶν. Οἷς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας, ὥϛε, τοῦ θέρους λήγοντος, ἐνδύντες τὰ ὅπλα καὶ

σπασάμενοι τὰς μαχαίρας, προεκαλοῦντο τοὺς μηδαμοῦ παρόντας, ἀλλ' ἀπηρκότας ἤδη πολεμίους. Ἀλαλάξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χάρακος, ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον, ὃν ὡμολόγησαν τῷ Λουκούλλῳ παραμενεῖν. Τοὺς δ' ἄλλους ἐκάλει διὰ γραμμάτων Πομπήϊος· ἤδη γὰρ ἀποδέδεικτο τοῦ πρὸς Μιθριδάτην καὶ Τιγράνην πολέμου ϛρατηγὸς, χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημαγωγῶν. Ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίϛοις ἄδικα πάσχειν ἐδόκει Λούκουλλος, οὐ πολέμου διαδόχους, ἀλλὰ θριάμβου λαμβάνων, οὐδὲ τῆς ϛρατηγίας ἀναγκαζόμενος, ἀλλὰ τῶν ἐπάθλων τῆς ϛρατηγίας, ἐξίϛασθαι καὶ παραχωρεῖν ἑτέροις.

Λϛ. Ἔτι δὲ μᾶλλον ἐφάνη τὸ γινόμενον τοῖς ἐκεῖ παροῦσι νεμεσητόν. Οὔτε γὰρ τιμῆς ὁ Λούκουλλος, οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν· οὐδ' εἶα τινὰ Πομπήϊος βαδίζειν πρὸς αὐτὸν, οὐδὲ προσέχειν, οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων· ἀλλ' ἐκώλυεν, ἐκτιθεὶς διαγράμματα, καὶ φοβερὸς παρὼν ἀπὸ μείζονος δυνάμεως. Ὅμως δ' ἔδοξε τοῖς φίλοις συναγαγεῖν αὐτούς· καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς Γαλατίας, καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως, καὶ συνήσθησαν ἐπὶ τοῖς κατωρθωμένοις ἑκατέρῳ· πρεσβύτερος μὲν ὢν ὁ Λούκουλλος, ἀξίωμα δ' ἦν τὸ Πομπηίου μεῖζον, ἀπὸ πλειόνων ϛρατηγιῶν καὶ δυοῖν θριάμβων. Ῥάβδοι δ' ἀμφοτέρων προηγοῦντο δαφνηφόροι διὰ τὰς νίκας. Καὶ τοῦ γε Πομπηΐου, μακρὰν ὁδὸν διὰ τόπων ἀνύδρων καὶ αὐχμηρῶν ὁδεύσαντος, τὰς δάφνας ξηρὰς περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι, φιλοφρονούμενοι τοῖς ἐκείνου μετέδωκαν ἐκ τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἔχοντες. Καὶ τὸ γινόμενον εἰς οἰωνὸν ἐτίθεντο χρηϛὸν οἱ Πομπηίου φίλοι. Τῷ γὰρ ὄντι τὴν ἐκείνου ϛρατηγίαν αἱ τούτου πράξεις ἐκόσμησαν. Ἐκ δὲ τῶν λόγων πρὸς οὐδὲν ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλ-

λον ἀλλοτριωθέντες πρὸς ἀλλήλους ἀπῆλθον, καὶ τὰς ὑπὸ Λουκούλλου γενομένας διατάξεις ἠκύρωσεν ὁ Πομπήϊος· ϛρατιώτας δὲ τοὺς ἄλλους ἀπαγαγὼν, μόνους αὐτῷ χιλίους ἑξακοσίους ἀπέλιπε συνθριαμβεύσοντας, οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. Οὕτω τις ἦν ἀφυὴς, ἢ δυϛυχὴς, ὁ Λούκουλλος πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιϛον· ὡς, εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης, οὐκ ἂν εἶχεν ἡ Ῥωμαίων ἡγεμονία τὸν Εὐφράτην τῆς Ἀσίας ὅρον, ἀλλὰ τὰ ἔσχατα, καὶ τὴν Ὑρκανίαν θάλασσαν, τῶν μὲν ἄλλων ἐθνῶν Τιγράνῃ προηττημένων, τῆς δὲ Πάρθων δυνάμεως, οὐχ ὅση κατὰ Κράσσον ἐξεφάνη, τοσαύτης κατὰ Λούκουλλον οὔσης, οὐδ' ὁμοίως συνεϛώσης, ἀλλ' ὑπ' ἐμφυλίων προσοίκων πολέμων οὐδ' Ἀρμενίους ὑβρίζοντας ἐῤῥωμένης ἀμύνεσθαι. Νῦν δέ μοι δοκεῖ Λούκουλλος, ὧν ὠφέλησε δι' αὐτοῦ τὴν πατρίδα, βλάψαι μείζονα δι' ἑτέρων. Τὰ γὰρ ἐν Ἀρμενίᾳ τρόπαια Πάρθων πλησίον ἑϛῶτα, καὶ Τιγρανόκερτα, καὶ Νίσιβις, καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς Ῥώμην κομισθεὶς, καὶ τὸ Τιγράνου διάδημα πομπευθὲν αἰχμάλωτον, ἐπῆρε Κράσσον ἐπὶ τὴν Ἀσίαν, ὡς λάφυρα καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. Ταχὺ μέντοι τοῖς Πάρθων τοξεύμασιν ἐντυχὼν, ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὐτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. Ἀλλὰ ταῦτα μὲν ὕϛερον.

ΛΖ. Ὁ δὲ Λούκουλλος, ἀναβὰς εἰς Ῥώμην, πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν Μάρκον ὑπὸ Γαΐου Μεμμίου κατηγορούμενον, ἐφ' οἷς ἔπραξε ταμιεύων, Σύλλα προστάξαντος. Ἐκείνου δ' ἀποφυγόντος, ἐπὶ τοῦτον αὐτὸν ὁ Μέμμιος μεταβαλόμενος παρώξυνε τὸν δῆμον, καὶ ὡς πολλὰ νενοσφισμένῳ καὶ μηκύναντι τὸν πόλεμον ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. Ἐλθόντος

δ' εἰς ἀγῶνα τοῦ Λουκούλλου μέγαν, οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ μόλις ἔπεισαν τὸν δῆμον ἐπιτρέψαι θριαμβεῦσαι. [Ἐθριάμβευσε δ'], οὐχ ὥσπερ ἔνιοι, μήκει τε πομπῆς, καὶ πλήθει τῶν κομιζομένων, ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον· ἀλλὰ τοῖς ὅπλοις τῶν πολεμίων οὖσι παμπόλλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι τὸν Φλαμίνειον ἱππόδρομον διεκόσμησε· καὶ θέα τις ἦν αὐτὴ καθ' ἑαυτὴν οὐκ εὐκαταφρόνητος. Ἐν δὲ τῇ πομπῇ, τῶν τε καταφράκτων ἱππέων ὀλίγοι, καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον· ἑξήκοντα δὲ φίλοι καὶ ϛρατηγοὶ τῶν βασιλικῶν· μακραὶ δὲ χαλκέμβολοι νῆες ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν· αὐτοῦ τε Μιθριδάτου χρύσεος ἑξάπους κολοσσὸς, καὶ θυρεός τις διάλιθος· καὶ φορήματα εἴκοσι μὲν ἀργυρῶν σκευῶν, χρυσῶν δ' ἐκπωμάτων καὶ ὅπλων καὶ νομίσματος, δύο καὶ τριάκοντα. Ταῦτα μὲν οὖν ἄνδρες παρεκόμιζον. Ἡμίονοι δ' ὀκτὼ, κλίνας χρυσᾶς ἔφερον, ἓξ δὲ καὶ πεντήκοντα, κεχωνευμένον ἀργύριον· ἄλλοι δ' ἑκατὸν ἑπτὰ, νομίσματος *καὶ* ἀργυρίου μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. Ἐν δὲ δέλτοις ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ' αὐτοῦ Πομπηΐῳ πρὸς τὸν πειρατικὸν πόλεμον, καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμιείου, καὶ χωρὶς, ὅτι ϛρατιώτης ἕκαϛος ἐννακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. Ἐπὶ τούτοις τήν τε πόλιν εἱϛίασε λαμπρῶς, καὶ τὰς περιοικίδας κώμας, ἃς Οὐΐκους καλοῦσι.

ΛΗ. Τῆς δὲ Κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, Σερουϊλίαν ἔγημεν, ἀδελφὴν Κάτωνος, οὐδὲ τοῦτον εὐτυχῆ γάμον. Ἓν γὰρ οὐ προσῆν αὐτῷ τῶν Κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή· τἄλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαϛον ἠναγκάζετο φέρειν, αἰδούμενος Κάτωνα· τέλος δ' ἀπεῖπεν. Ἐλπίδας δὲ θαυμαϛὰς τῇ βουλῇ παρασχὼν, ὡς ἐχούσῃ τὸν ἄνδρα τοῦτον ἀντίταγμα πρὸς τὴν Πομπηΐου

τυραννίδα, καὶ τῆς ἀριστοκρατίας πρόμαχον, ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν, εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν, εἴθ', ὥς φασιν ἔνιοι, μεστὸς ὢν δόξης, καὶ πρὸς τὸ ῥᾷστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον, ἐκ πολλῶν ἀγώνων καὶ πόνων οὐκ εὐτυχέστατον τέλος λαβόντων. Οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολὴν, τὸ Μαρίου πάθος μὴ παθόντος, ὃς ἐπὶ ταῖς Κιμβρικαῖς νίκαις, καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν, οὐκ ἠθέλησεν αὑτὸν ἀναθεῖναι τιμῇ τοσαύτῃ ζηλωτὸν, ἀλλ' ἀπληστίᾳ δόξης καὶ ἀρχῆς, νέοις ἀνδράσι γέρων ἀντιπολιτευόμενος, εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων ἐξώκειλε. Βέλτιον δ' ἂν καὶ Κικέρωνα γηράσαι, μετὰ Κατιλίναν, ὑποστειλάμενον, καὶ Σκιπίωνα, Καρχηδόνι προσθέντα Νομαντίαν, εἶτα παυσάμενον· εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν. Τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικοὺς οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀπολιπούσης ἐλέγχεσθαι. Οἱ δὲ περὶ τὸν Κράσσον καὶ Πομπήϊον ἐχλεύαζον τὸν Λούκουλλον, εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὑτὸν, ὥσπερ *οὐ* τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ' ἡλικίαν ὄντος, ἢ τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν.

ΛΘ. Ἔστι δ' οὖν τοῦ Λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας, ἀναγνῶναι τὰ μὲν πρῶτα, πολιτείας καὶ στρατηγίας, τὰ δ' ὕστερα, πότους καὶ δεῖπνα, καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. Εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι καὶ οἰκοδομὰς πολυτελεῖς, καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν, καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας, καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδὴν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος, ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν. Ὅπου καὶ νῦν, ἐπίδοσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ Λουκουλλιανοὶ κῆποι

τῶν βασιλικῶν ἐν τοῖς πολυτελεςάτοις ἀριθμοῦνται. Τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι, καὶ τροχοὺς θαλάσσης, καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος, καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ Στωϊκὸς Τουβέρων θεασάμενος, Ξέρξην αὐτὸν ἐκ τηβέννου προσηγόρευσεν. Ἦσαν δ' αὐτῷ περὶ Τοῦσκλον ἐγχώριοι δίαιται, καὶ κατασκοπαὶ περίοπτοι, καὶ κατασκευαὶ ἀναπεπταμένων ἀνδρώνων καὶ περιπάτων. Ἐν αἷς ὁ Πομπήϊος γενόμενος, ἐμέμφετο τὸν Λούκουλλον, ὅτι πρὸς θέρος ἄριςα διαθεὶς τὴν ἔπαυλιν, ἀοίκητον ἐν χειμῶνι πεποίηκε. Γελάσας οὖν ἐκεῖνος, « Εἶτα (ἔφη) σοι δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πελαργῶν, ὥςε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς διαίτας ; » Στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας, καὶ χορῷ τινι κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο, σκεψάμενος, ἂν ἔχῃ, δώσειν. Εἶτα μεθ' ἡμέραν ἠρώτησεν αὐτὸν, ὁπόσων δέοιτο. Τοῦ δ' ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. Εἰς ὃ καὶ Φλάκκος ὁ ποιητὴς ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα πλείονα τῶν φαινομένων ἐςί.

Μ. Νεόπλουτα δ' ἦν τοῦ Λουκούλλου τὰ δεῖπνα τὰ καθ' ἡμέραν, οὐ μόνον ςρωμναῖς ἁλουργέσι καὶ διαλίθοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις, ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς διαπεπονημένων παρασκευαῖς, ζηλωτὸν ἀνελευθέροις ποιοῦντος ἑαυτόν. Ὁ γοῦν Πομπήϊος εὐδοκίμησε νοσῶν, [ὅτι] τοῦ μὲν ἰατροῦ κίχλην αὐτὸν λαβεῖν κελεύσαντος, τῶν δ' οἰκετῶν οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων θέρους ὥρᾳ κίχλην, ἢ παρὰ Λουκούλλῳ, σιτευομένην, οὐκ εἴασε λαβεῖν ἐκεῖθεν· ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρόν· « Οὐκοῦν, εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησεν ; » ἄλλο τι παρασκευάσαι τῶν εὐποριστων ἐκέλευσε. Κάτων δ' ἦν αὐτῷ φίλος καὶ

οἰκεῖος· οὕτω δὲ τὸν βίον αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε, νέου τινὸς ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ Κάτων· «Οὐ παύσῃ (ἔφη) σὺ πλουτῶν μὲν, ὡς Κράσσος, ζῶν δ', ὡς Λούκουλλος, λέγων δὲ, ὡς Κάτων;» Ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ οὐ λέγουσιν.

ΜΑ. Ὁ μέντοι Λούκουλλος οὐχ ἡδόμενος μόνον, ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ, δῆλος ἦν ἐκ τῶν ἀπομνημονευομένων. Λέγεται γὰρ Ἕλληνας ἀνθρώπους, ἀναβάντας εἰς Ῥώμην, ἑστιᾶν ἐπὶ πολλὰς ἡμέρας. Τοὺς δ', ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύνεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι' αὐτοὺς καθ' ἡμέραν τοσούτων ἀναλισκομένων. Τὸν οὖν Λούκουλλον εἰπεῖν μειδιάσαντα πρὸς αὐτούς· «Γίνεται μέν τι τούτων καὶ δι' ὑμᾶς, ὦ ἄνδρες Ἕλληνες· τὰ μέντοι πλεῖστα γίνεται διὰ Λούκουλλον.» Ἐπεὶ δὲ, μόνου δειπνοῦντος αὐτοῦ, μία τράπεζα καὶ μέτριον παρεσκευάσθη δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον οἰκέτην. Τοῦ δὲ φήσαντος, ὡς οὐκ ᾤετο, μηδενὸς κεκλημένου, πολυτελοῦς τινος αὐτὸν δεήσεσθαι· «Τί λέγεις; (εἶπεν) οὐκ ᾔδεις, ὅτι σήμερον παρὰ Λουκούλλῳ δειπνεῖ Λούκουλλος;» Ὄντος δὲ περὶ τούτου λόγου πολλοῦ, ὡς εἰκὸς, ἐν τῇ πόλει, προσῆλθον αὐτῷ κατ' ἀγορὰν σχολὴν ἄγοντι Κικέρων καὶ Πομπήϊος, ὁ μὲν ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης, Πομπηΐῳ δ' ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. Ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν, ἠρώτησεν, ὅπως ἔχει πρὸς ἔντευξιν· τοῦ δὲ φήσαντος, ὡς ἄριστα, καὶ παρακαλοῦντος ἐντυγχάνειν· «Ἡμεῖς (ἔφη) βουλόμεθα δειπνῆσαι παρὰ σοὶ τήμερον οὕτως, ὅπως ἐστί σοι παρεσκευασμένα.» Θρυπτομένου δὲ τοῦ Λουκούλλου, καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντος, οὐκ ἔφασαν ἐπιτρέψειν, οὐδ' εἴων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν

αὐτῷ γινομένων. Πλὴν τοσοῦτο μόνον αἰτουμένῳ συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν, ἐναντίον ἐκείνων, ὅτι σήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει· τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. Καὶ τοῦτο σεσοφισμένος ἐλελήθει τοὺς ἄνδρας. Ἑκάςῳ γὰρ, ὡς ἔοικε, δειπνητηρίῳ τεταγμένον ἦν τίμημα δείπνου, καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν· ὥςε τοὺς δούλους ἀκούσαντας, ὅπου βούλεται δειπνεῖν, εἰδέναι, πόσον δαπάνημα, καὶ ποῖόν τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. Εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι πέντε μυριάδων. Καὶ τότε τοσούτου τελεσθέντος, ἐξέπληξε τοὺς περὶ τὸν Πομπήϊον ἐν τῷ μεγέθει τῆς δαπάνης, τὸ τάχος τῆς παρασκευῆς. Εἰς ταῦτα μὲν οὖν ὑβριςικῶς ἐχρῆτο τῷ πλούτῳ, καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ.

ΜΒ. Σπουδῆς δ' ἄξια καὶ λόγου τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. Καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς συνῆγε· ἥ τε χρῆσις ἦν φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν, καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαςηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας, ὥσπερ εἰς Μουσῶν τι καταγώγιον, ἐκεῖσε φοιτῶντας καὶ συνδιημερεύοντας ἀλλήλοις, ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. Πολλάκις δὲ καὶ συνεσχόλαζεν αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις, καὶ τοῖς πολιτικοῖς συνέπραττεν, ὅτου δέοιντο· καὶ ὅλως ἑςία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶκος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. Φιλοσοφίαν δὲ πᾶσαν μὲν ἠσπάζετο, καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος· ἴδιον δὲ τῆς Ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν, οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προςάτην ἐχούσης, τὸν Ἀσκαλωνίτην Ἀντίοχον. Ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν, ἀντέταττε τοῖς Φίλωνος ἀκροα-

ταῖς, ὧν καὶ Κικέρων ἦν. Καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν ᾧ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον Λουκούλλῳ περιτέθεικεν, αὐτῷ δὲ τὸν ἐναντίον· Λούκουλλος δ' ἀναγέγραπται τὸ βιβλίον. Ἦσαν δ', ὥσπερ εἴρηται, φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως· οὐδὲ γὰρ αὖ πάμπαν ἀπηλλάχει τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτ' ἀκίνδυνον, οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι. Τούτους γὰρ οἱ τὴν Πομπηΐου δύναμιν ὑφορώμενοι, προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα. Κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους· εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηΐου τινὰ δέοι σπουδὴν, ἢ φιλοτιμίαν, ἐπηρεάσαι. Καὶ τάς τε διατάξεις, ἃς ἐκεῖνος ἐποιήσατο, τῶν βασιλέων κρατήσας, ἐξέκρουσε, καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος, ἐκώλυσε δοθῆναι, συμπράττοντος Κάτωνος. Ὥστε Πομπήϊον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, μᾶλλον δὲ συνωμοσίαν, καταφυγεῖν· καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν, βίᾳ κυρῶσαι τὰ δόγματα, τοὺς περὶ τὸν Κάτωνα καὶ Λούκουλλον ἐκβαλόντα τῆς ἀγορᾶς. Ἀγανακτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προῆγον οἱ Πομπηϊανοὶ Βρεττιόν τινα, συνειληφέναι λέγοντες ἐπιβουλεύοντα Πομπηΐῳ· κἀκεῖνος ἀνακρινόμενος, ἐν μὲν τῇ συγκλήτῳ κατηγόρησεν ἑτέρων τινῶν, ἐν δὲ τῷ δήμῳ Λούκουλλον ὠνόμασεν, ὡς ὑπ' ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήϊον. Οὐδεὶς δὲ τῷ λόγῳ προσέσχεν, ἀλλὰ καὶ παραυτίκα δῆλος ἦν ὁ ἄνθρωπος ἐπὶ συκοφαντίᾳ καὶ διαβολῇ προηγμένος ὑπ' αὐτῶν. Καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ' ὀλίγας ἡμέρας, ῥιφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ, λεγομένου μὲν αὐτομάτως τεθνάναι, σημεῖα δ' ἀγχόνης καὶ πληγῶν ἔχοντος· ἐδόκει [γὰρ] παρ' αὐτῶν ἀνῃρῆσθαι τῶν παρεσκευακότων.

ΜΓ. Ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν Λούκουλλον. Ἐπεὶ δὲ Κικέρων ἐξέπεσε τῆς πόλεως, καὶ Κάτων εἰς Κύπρον ἀπεςάλη, παντάπασιν ἐξελύθη. Καὶ πρό γε τῆς τελευτῆς λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτῷ, κατὰ μικρὸν ἀπομαραινομένην. Νέπως δὲ Κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν, οὐδὲ νόσου παραλλάξαι τὸν Λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων, Καλλισθένους, διαφθαρέντα· τὰ δὲ φάρμακα δοθῆναι μὲν, ὡς ἀγαπῷτο μᾶλλον ὁ Καλλισθένης ὑπ' αὐτοῦ, τοιαύτην ἔχειν δοκοῦντα τὴν δύναμιν· ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμὸν, ὥς', ἔτι ζῶντος αὐτοῦ, τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. Οὐ μὴν ἀλλ', ὡς ἀπέθανε, καθάπερ ἂν ἐν ἀκμῇ τῆς ςρατηγίας καὶ τῆς πολιτείας αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε, καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεςάτων νεανίσκων, ἐβιάζετο θάπτειν ἐν τῷ πεδίῳ τοῦ Ἄρεως, ὅπου καὶ Σύλλαν ἔθαψεν. Οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος, οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεόμενος καὶ παραιτούμενος, ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ Τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. Πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ', ὡς ἡλικίᾳ καὶ δόξῃ, μικρὸν ἀπελείφθη καὶ τῷ χρόνῳ τῆς τελευτῆς, φιλαδελφότατος γενόμενος.

ΚΙΜΩΝ.

# ΚΙΜΩΝ. ΚΑΙ ΛΟΥΚΟΥΛΛΟΥ

# ΣΥΓΚΡΙΣΙΣ.

Μάλιστα δ' ἄν τις εὐδαιμονίσειε τοῦ τέλους Λούκουλλον, ὅτι πρὸ τῆς μεταβολῆς, ἣν ἤδη κατὰ τῆς πολιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρωμένον, ἔφθη προαποθανὼν, καὶ καταλύσας ἐν νοσούσῃ μὲν, ἔτι δ' ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον· καὶ τοῦτό γε πάντων αὐτῷ πρὸς Κίμωνα κοινότατόν ἐϛι. Καὶ γὰρ ἐκεῖνος, οὔπω συντεταραγμένων τῶν Ἑλληνικῶν, ἀλλ' ἀκμὴν εὖ ἐχόντων, ἐτελεύτησεν· ἐπὶ ϛρατοπέδου μέντοι, καὶ ϛρατηγῶν, οὐκ ἀπειρηκὼς, οὐδ' ἀλύων, οὐδὲ τῶν ὅπλων καὶ τῶν ϛρατηγιῶν καὶ τῶν τροπαίων ἔπαθλον ποιούμενος εὐωχίας, καὶ πότους· ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα, τοῖς εὖ βεβιωκόσι φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ᾅδου, μέθην αἰώνιον. Σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας, εὐπρεπέϛατον ἀνδρὶ πρεσβύτῃ, καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας, παραμύθιον. Τὸ δ' ἐφ' ἡδονὴν, ὡς τέλος, καταϛρέψαντα τὰς καλὰς πράξεις, ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων καὶ ϛρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν, οὐκ ἄξια τῆς καλῆς Ἀκαδημίας, οὐδὲ τὸν Ξενοκράτη ζηλοῦντος, ἀλλ' ἐγκεκλικότος πρὸς τὸν Ἐπίκουρον. Ὃ καὶ θαυμαϛόν ἐϛιν. Ὑπεναντίως γὰρ ἡ νεότης τοῦ μὲν ἐπίψογος καὶ ἀκόλαϛος γεγονέναι δοκεῖ, τοῦ δὲ πεπαιδευμένη καὶ σώφρων. Βελτίων οὖν, ᾧ πρὸς τὸ βέλτιον ἡ μεταβολή· χρηστοτέρα γὰρ ἡ φύσις, ἐν ᾗ γηρᾷ μὲν τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. Καὶ μὴν ὁμοίως γε πλουτήσαντες οὐχ ὁμοίως διέθεντο τὸν πλοῦτον. Οὐ γὰρ

ἄξιον ὁμοιῶσαι τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ Κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασι, τοὺς ἐν Νεαπόλει θαλάμους καὶ τὰς περικλύστους ἀπόψεις, ἃς Λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν ἐξῳκοδόμει λαφύρων· οὐδέ γε τῇ Κίμωνος τραπέζῃ τὴν Λουκούλλου παραβαλεῖν, τῇ δημοκρατικῇ καὶ φιλανθρώπῳ τὴν πολυτελῆ καὶ σατραπικήν. Ἡ μὲν γὰρ ἀπὸ μικρᾶς δαπάνης πολλοὺς καθ' ἡμέραν διέτρεφεν, ἡ δ' εἰς ὀλίγους τρυφῶντας ἀπὸ πολλῶν παρεσκευάζετο χρημάτων. Εἰ μὴ νὴ Δία τῶν πραγμάτων ἐποίει διαφορὰν ὁ χρόνος. Ἄδηλον γὰρ, εἰ καὶ Κίμων ἀπὸ τῶν πράξεων καὶ ϛρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολίτευτον γῆρας ἀφεὶς αὑτὸν, ἔτι μᾶλλον ἂν ἐχρήσατο σοβαρᾷ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ. Καὶ γὰρ φιλοπότης καὶ πανηγυρικὸς, καὶ τὰ πρὸς γυναῖκας, ὡς εἴρηται, διαβεβλημένος. Αἱ δ' ἐπὶ τὰς πράξεις καὶ τοὺς ἀγῶνας κατορθώσεις, ἡδονὰς ἑτέρας ἔχουσαι, τῶν χειρόνων ἐπιθυμιῶν ἀσχολίαν ποιοῦσι καὶ λήθην ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. Εἰ γοῦν καὶ Λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ ϛρατηγῶν, οὐδ' ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εὑρεῖν μοι δοκεῖ διαβολὴν ἐπ' αὐτόν. Καὶ ταῦτα μὲν περὶ τῆς διαίτης.

Β. Ἐν δὲ τοῖς πολεμικοῖς, ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνιϛαὶ, δῆλον. Ὥσπερ δὲ τῶν ἀθλητῶν τοὺς ἡμέρᾳ μιᾷ πάλῃ *μιᾷ* καὶ παγκρατίῳ ϛεφανουμένους, ἔθει τινὶ Παραδοξονίκας καλοῦσιν, οὕτω Κίμων ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ ϛεφανώσας τὴν Ἑλλάδα, δίκαιός ἐϛιν ἔχειν τινὰ προεδρίαν ἐν τοῖς ϛρατηγοῖς. Καὶ μὴν Λουκούλλῳ μὲν ἡ πατρὶς, Κίμων δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. Καὶ ὁ μὲν ἀρχούσῃ τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων· ὁ δ' ἄλλοις ἑπομένην παραλαβὼν, ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε, Πέρσας μὲν *οὖν* ἀναγκάσας ἡττηθέντας ἐκβῆναι τῆς θαλάσσης,

Λακεδαιμονίους δὲ πείσας ἑκόντας ἐκςῆναι. Εἰ τοίνυν μέγιςον ἔργον ἡγεμόνος, εὐπείθειαν ἐνεργάσασθαι δι᾽ εὔνοιαν, Λούκουλλος μὲν ὑπὸ τῶν ςρατιωτῶν κατεφρονήθη, Κίμων δ᾽ ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη. Παρ᾽ οὗ μὲν γὰρ, ἀπέςησαν, πρὸς ὃν δὲ, μετέςησαν. Καὶ ὁ μὲν ὧν ἄρχων ἐξῆλθεν, ὑπὸ τούτων ἀπολειφθεὶς ἐπανῆλθεν· ὁ δὲ, μεθ᾽ ὧν ἑτέροις ποιήσων τὸ προσταττόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα, κατέπλευσε, τρία τὰ πάντων δυσκολώτατα διαπεπραγμένος ὁμοῦ τῇ πόλει, πρὸς μὲν τοὺς πολεμίους εἰρήνην, παρὰ δὲ τῶν συμμάχων ἡγεμονίαν, πρὸς δὲ Λακεδαιμονίους ὁμόνοιαν. Μεγάλας τοίνυν ἐπιχειρήσαντες ἀμφότεροι καταλύειν ἡγεμονίας, καὶ καταςρέφεσθαι τὴν Ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων, ὁ μὲν καθάπαξ διὰ τὴν τύχην· ἐτελεύτησε γὰρ ςρατηγῶν καὶ εὐημερῶν· τὸν δ᾽ οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παρ᾽ αὐτὸν αἰτίας, εἴτ᾽ ἠγνόησεν, εἴτ᾽ οὐκ ἐθεράπευσε τὰς ἐν τῷ ςρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἀφ᾽ ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. Ἦ τοῦτό γε καὶ πρὸς Κίμωνα κοινόν ἐςι· καὶ γὰρ ἐκεῖνον ὑπήγαγόν τε εἰς δίκας οἱ πολῖται, καὶ τελευτῶντες ἐξωςράκισαν, ἵν᾽ αὐτοῦ δέκα ἐτῶν, ὥς φησιν ὁ Πλάτων, τῆς φωνῆς μὴ ἀκούσωσιν. Αἱ γὰρ ἀριςοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς συνᾴδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι· τὰ δὲ πολλὰ προσβιαζόμεναι, τῷ κατευθύνειν διαςρεφομένους ἀνιῶσιν, ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοὶ, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. Ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον.

Γ. Πολὺ δ᾽ ὁ Λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε Ταῦρον ὑπερβαλὼν ςρατοπέδῳ Ῥωμαίων πρῶτος, καὶ τὸν Τίγριν διαβὰς, καὶ τὰ βασίλεια τῆς Ἀσίας ἐν ὄψει τῶν βασιλέων, Τιγρανόκερτα καὶ Κάβειρα καὶ Σινώπην καὶ Νίσιβιν ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι Φάσιδος, τὰ δ᾽ ἑῶα, μέχρι Μηδίας, τὰ δὲ πρὸς νότον, καὶ τὴν ἐρυθρὰν θάλασσαν οἰ-

κειωσάμενος διὰ τῶν Ἀραβικῶν βασιλέων· συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων, εἰς ἐρημίας καὶ ὕλας ἀσιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. Τεκμήριον δὲ μέγα· Πέρσαι μὲν γὰρ, ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ Κίμωνος, εὐθὺς ἀντετάττοντο τοῖς Ἕλλησι, καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν Αἰγύπτῳ κρατήσαντες διέφθειραν. Τιγράνου δὲ καὶ Μιθριδάτου μετὰ Λούκουλλον οὐδὲν ἄλλο ἔργον ἐγένετο· ἀλλ' ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι Πομπηΐῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς Βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε. Τιγράνης δ' αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέῤῥιψε Πομπηΐῳ, καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν, οὐ τοῖς ἑαυτοῦ κολακεύων Πομπήϊον, ἀλλὰ τοῖς ὑπὸ Λουκούλλου τεθριαμβευμένοις. Ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας, ὡς ἀφῃρημένος πρότερον. Μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ' ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. Ἔτι τοίνυν, Κίμων μὲν συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ Περσῶν φρόνημα συνεσταλμένον ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ Θεμιστοκλέους καὶ Παυσανίου καὶ Λεωτυχίδου, καταλαβὼν ἐπενέβη, καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς τὰ σώματα ῥᾳδίως ἐνίκησε· Λουκούλλῳ δὲ Τιγράνης, ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν, συνέπεσε. Πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοῖς ἐπὶ Λούκουλλον συνελθοῦσι τοὺς ὑπὸ Κίμωνος κρατηθέντας. Ὥστε πάντῃ μεταλαμβάνοντι δυσδιαίτητον εἶναι τὴν κρίσιν. Ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι, τῷ μὲν ἃ χρὴ κατορθοῦν, τῷ δ' ἃ φυλάττεσθαι χρὴ, προμηνύον· ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν, ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

# ΠΛΟΥΤΑΡΧΟΥ ΝΙΚΙΑΣ.

Επεὶ δοκοῦμεν οὐκ ἀτόπως τῷ Νικίᾳ τὸν Κράσσον παραβάλλειν, καὶ τὰ Παρθικὰ παθήματα τοῖς Σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς Θουκυδίδης, αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐνεργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι Τιμαίῳ πάθος ὅμοιον· ὃς ἐλπίσας τὸν μὲν Θουκυδίδην ὑπερβαλεῖσθαι δεινότητι, τὸν δὲ Φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων, καὶ ναυμαχιῶν, καὶ δημηγοριῶν, οὐ μὰ Δία

. . . . Παρὰ Λύδιον ἅρμα
πεζὸς οἰχνεύων, . . . .

ὥς φησι Πίνδαρος· ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν Δίφιλον,

Παχὺς, ὠνθυλευμένος στέατι Σικελικῷ·

πολλαχοῦ δ' ὑποῤῥέων εἰς τὸν Ξέναρχον. Ὥσπερ ὅταν λέγῃ τοῖς Ἀθηναίοις οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγὸν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν· καὶ τῇ περικοπῇ τῶν Ἑρμῶν προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ Ἑρμοκράτους τοῦ Ἕρμωνος πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. Ἔτι δ', εἰκὸς εἶναι τὸν Ἡρακλέα τοῖς μὲν Συρακουσίοις βοηθεῖν, διὰ τὴν Κόρην, παρ' ἧς ἔλαβε τὸν Κέρβερον· ὀργίζεσθαι δὲ τοῖς Ἀθηναίοις, ὅτι τοὺς Αἰγεστέας, ἀπογόνους ὄντας Τρώων, ἔσωζον, αὐτὸς δ' ὑπὸ Λαομέδοντος ἀδικηθεὶς, ἀνάστατον ἐποίησε τὴν πόλιν. Ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμ-

μελείας ταῦτά τε γράφειν ἐπῄει, καὶ τὴν Φιλίςου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ Πλάτωνα καὶ Ἀριςοτέλη λοιδορεῖσθαι. Ἐμοὶ δ' ὅλως μὲν ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται καὶ σοφιςικόν· ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. Ἃς γοῦν Θουκυδίδης ἐξήνεγκε πράξεις καὶ Φίλιςος, ἐπεὶ παρελθεῖν οὐκ ἔςι, μάλιςά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλοὺς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν, ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν· οὐ τὴν ἄχρηςον ἀθροίζων ἱςορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς.

Β. Ἔνεςιν οὖν περὶ Νικίου πρῶτον εἰπεῖν, ὃ γέγραφεν Ἀριςοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιςοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, Νικίας ὁ Νικηράτου, καὶ Θουκυδίδης ὁ Μιλησίου, καὶ Θηραμένης ὁ Ἅγνωνος. Ἧττον δὲ οὗτος, ἢ ἐκεῖνοι· καὶ γὰρ εἰς δυσγένειαν, ὡς ξένος ἐκ Κέω, λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον, ἀλλὰ *καὶ* ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη Κόθορνος. Ἐκείνων δὲ πρεσβύτερος μὲν ὁ Θουκυδίδης ἦν, καὶ πολλὰ Περικλεῖ δημαγωγοῦντι, τῶν καλῶν καὶ ἀγαθῶν προϊςάμενος, ἀντεπολιτεύσατο. Νεώτερος δὲ Νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ, καὶ Περικλέους ζῶντος, ὥςε κἀκείνῳ συςρατηγῆσαι, καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις. Περικλέους δ' ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη, μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν πρὸς τὴν Κλέωνος βδελυρίαν καὶ τόλμαν· οὐ μὴν ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν καὶ συμφιλοτιμούμενον. Ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα, γεροντανωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς. Ὅμως δὲ καὶ

τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ τὸ θράσος ὁρῶντες αὐτοὶ, οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν Νικίαν ἐπήγοντο. Καὶ γὰρ οὐκ ἦν αὐστηρὸν, οὐδ᾽ ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ᾽ εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγοῦν. Τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν· κατώρθου γὰρ ὁμαλῶς ϛρατηγῶν. Τὸ δ᾽ ἐν τῇ πολιτείᾳ ψοφοδεὲς, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐτοῦ, καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ᾽ εὐνοίας τοῦ δήμου παρεῖχε, τῷ δεδιέναι τοὺς ὑπερορῶντας, αὔξειν δὲ τοὺς δεδιότας. Τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι.

Γ. Περικλῆς μὲν οὖν ἀπό τ᾽ ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. Νικίας δὲ τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ᾽ αὐτῆς ἐδημαγώγει, καὶ τῇ Κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένῃ τοὺς Ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὢν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ ἑαυτοῦ καὶ καθ᾽ ἑαυτὸν ἅπαντας. Εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ᾽ ἡμᾶς τό τε Παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκὸς, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς. Ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δ᾽ οὐδέποτε. Λέγεται δ᾽ ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτῷ κεκοσμημένος εἰς σχῆμα Διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. Ἡσθέντων δὲ τῶν Ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναϛὰς ὁ Νικίας, εἶπεν, ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν καταπεφημισμένον θεῷ σῶμα, καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. Μνημονεύεται δ᾽ αὐτοῦ καὶ τὰ περὶ Δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα.

Τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ θεῷ, προσπλεόντων μὲν, ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ ςεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος, ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς Ῥηνίαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευὴν, ζεῦγμα δὲ, πεποιημένον Ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς καὶ ςεφάνοις καὶ αὐλαίαις, κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ Ῥηνίας καὶ Δήλου πόρον, οὐκ ὄντα μέγαν. Εἶθ' ἅμα ἡμέρᾳ τήν τε πομπὴν τῷ θεῷ καὶ τὸν χορὸν ἄγων, κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. Μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑςιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔςησεν, ἀνάθημα τῷ θεῷ, καὶ χωρίον μυρίων δραχμῶν πριάμενος καθιέρωσεν, οὗ τὰς προσόδους ἔδει Δηλίους καταθύοντας ἑςιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ Νικίᾳ παρὰ τῶν θεῶν αἰτουμένους. Καὶ γὰρ τοῦτο τῇ ςήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν Δήλῳ κατέλιπεν. Ὁ δὲ φοίνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς ἐνέπεσε τῷ Ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψε.

Δ. Τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὴν καὶ ἀγοραῖον ἔνεςιν, οὐκ ἄδηλον· ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει πιςεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. Σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος, ὥς φησι Θουκυδίδης. Ἐν δέ τινι τῶν Πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς θεοῖς, καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας, προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων, τὰ δὲ πλεῖςα περὶ τῶν ἰδίων, καὶ μάλιςα περὶ τῶν ἀργυρείων μετάλλων. Ἐκέκτητο γὰρ ἐν τῇ Λαυριωτικῇ πολλὰ καὶ

μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνους δὲ τὰς ἐργασίας ἔχοντα. Καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι, καὶ τῆς οὐσίας ἐν ἀργυρίῳ τὸ πλεῖστον εἶχεν. Ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν αἰτοῦντες καὶ λαμβάνοντες. Ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. Καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία, καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. Λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν, καὶ παρὰ τῶν Κωμικῶν ἐστι. Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε.

*Χαρικλῆς μὲν οὖν ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ,*
*Ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλαντίου.*
*Τέσσαρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·*
*Ὧν δ' ἕκατι τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ,*
*Οὐκ ἐρῶ. Φίλος γὰρ ἀνὴρ· σωφρονεῖν δέ μοι δοκεῖ.*

Ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν τῷ Μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει·

Α. *Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ,*
Β. *Οὐδ' εἶδον, εἰ μὴ 'ναγχος ἑστῶτ' ἐν ἀγορᾷ.*
Α. *Ἀνὴρ ὁμολογεῖ Νικίαν ἑωρακέναι.*
*Καίτοι τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου;*
*Ἠκούσατ' ὦ συνήλικες, ἐπαυτοφόρῳ Νικίαν εἰλημμένον.*
Β. *Ὑμεῖς γὰρ, ὦ φρενοβλαβεῖς, λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι;*

Ὁ δ' Ἀριστοφάνους Κλέων ἀπειλῶν λέγει·

*Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω.*

Ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις·

*Ἦν γὰρ πολίτης ἀγαθὸς, ὡς εὖ οἶδ' ἐγὼ,*
*Κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.*

Ε. Οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις οὔτε συνδιημερεύσεσιν ἐνέβαλλεν ἑαυτὸν, οὐδ' ὅλως ἐσχόλαζε ταῖς

τοιαύταις διατριβαῖς· ἀλλ' ἄρχων μὲν ἐν τῷ ϛρατηγίῳ διετέλει μέχρι νυκτός· ἐκ δὲ βουλῆς ὕϛατος ἀπῄει, πρῶτος ἀφικνούμενος. Εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλεισμένος. Οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. Καὶ ὁ μάλιϛα ταῦτα συντραγῳδῶν, καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ· προσποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σώζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε Θουρίους. Οὗτος οὖν ὁ Ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόῤῥητα διεπράττετο τῷ Νικίᾳ, καὶ λόγον ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν ζῶντος αὐτοῦ βίον· «ᾯ γ' (ἔφη) καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον ἀεί τι προσπίπτει δημόσιον· ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. Ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς, καὶ τοῖς φίλοις οὐ προσηνής, οὐδ' ἡδύς ἐϛιν· ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. Οἱ δ' ἄλλοι, καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὑτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ.» Τῷ δ' ὄντι τοιοῦτος ἦν ὁ Νικίου βίος, ὥϛ' αὐτὸν εἰπεῖν τὰ τοῦ Ἀγαμέμνονος εἰς αὑτόν·

*— προϛάτην δὲ τοῦ βίου*
*Τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν.*

ϛ. Ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων, ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν (ὡς δῆλον ἦν τῇ Περικλέους καταδίκῃ,

καὶ τῷ Δάμωνος ἐξοστρακισμῷ, καὶ τῇ πρὸς Ἀντιφῶντα τὸν Ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν· καὶ μάλιστα δὴ τοῖς περὶ Πάχητα, τὸν ἑλόντα Λέσβον, ὃς, εὐθύνας διδοὺς τῆς στρατηγίας, ἐν αὐτῷ τῷ δικαστηρίῳ σπασάμενος ξίφος ἀνεῖλεν ἑαυτὸν, τὰς μὲν ἐργώδεις πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας, ὅπου δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν, ὡς εἰκὸς, εἰς οὐδεμίαν αὑτοῦ σοφίαν, ἢ δύναμιν, ἢ ἀρετὴν, ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ, καὶ κατέφευγεν εἰς τὸ θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. Ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα· πολλῶν γὰρ τότε προσκρουσμάτων τῇ πόλει καὶ μεγάλων γενομένων, οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν. Ἀλλὰ περὶ Θρᾴκην μὲν ἡττήθησαν ὑπὸ Χαλκιδέων, Καλλιάδου τε καὶ Ξενοφῶντος στρατηγούντων· τὸ δ' Αἰτωλικὸν πταῖσμα συνέβη, Δημοσθένους ἄρχοντος· ἐν δὲ Δηλίῳ χιλίους αὑτῶν ἀπέβαλον, Ἱπποκράτους ἡγουμένου· τοῦ δὲ λοιμοῦ τὴν πλείστην αἰτίαν ἔλαβε Περικλῆς, διὰ τὸν πόλεμον εἰς τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς χώρας ὄχλον, ἐκ τῆς μεταβολῆς τῶν τόπων καὶ διαίτης ἀήθους γενομένου. Νικίας δὲ τούτων ἁπάντων ἀναίτιος ἔμεινε, καὶ στρατηγῶν εἷλε μὲν Κύθηρα, νῆσον εὖ κατὰ τῆς Λακωνικῆς πεφυκυῖαν, καὶ Λακεδαιμονίους ἔχουσαν οἰκήτορας. Ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ Θρᾴκης ἀφεστώτων, καὶ προσηγάγετο. Κατακλείσας δὲ Μεγαρεῖς εἰς τὴν πόλιν, εὐθὺς μὲν ἔσχε Μινώαν τὴν νῆσον· ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρμώμενος, Νισαίας ἐκράτησεν. Εἰς δὲ τὴν Κορινθίαν ἀποβὰς, ἐνίκησε μάχῃ καὶ διέφθειρε Κορινθίων πολλοὺς, καὶ Λυκόφρονα τὸν στρατηγόν· ἔνθα δὴ αὐτῷ συνέβη τῶν οἰκείων δύο νεκροὺς ἀπολιπεῖν, διαλαθόντας πέρὶ τὴν ἀναίρεσιν. Ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας, ἔπεμψε κήρυκα πρὸς τοὺς πολεμίους περὶ ἀναιρέσεως. Καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν ἐδόκουν οἱ νεκρῶν ὑποσπόνδων λαβόντες ἀναίρεσιν, ἀπολέγε-

σθαι τὴν νίκην. Καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας, οὐκ ἔνθεσμον ἦν· νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. Ἀλλ᾽ ὅμως ἐκεῖνος ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν, ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. Πορθήσας δὲ τὴν παραλίαν τῆς Λακωνικῆς, καὶ τοὺς ἀντιστάντας Λακεδαιμονίων τρεψάμενος, εἷλε Θυρέαν, Αἰγινητῶν ἐχόντων, καὶ τοὺς αἱρεθέντας ἀπήγαγε ζῶντας εἰς Ἀθήνας.

Ζ. Ἐπεὶ δὲ, Δημοσθένους Πύλον τειχίσαντος, ἐπεστράτευσαν ἅμα πεζῷ καὶ ναυσὶ Πελοποννήσιοι, καὶ μάχης γενομένης, ἀπελείφθησαν ἐν τῇ Σφακτηρίᾳ νήσῳ Σπαρτιατῶν ἄνδρες ἀμφὶ τοὺς τετρακοσίους, μέγα μὲν, ὥσπερ ἦν, ἡγούμενοι τὸ λαβεῖν αὐτοὺς Ἀθηναῖοι, χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης, ἐν χωρίοις ἀνύδροις, καὶ θέρους μὲν μακρὰν καὶ πολυτελῆ τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον, ἤχθοντο, καὶ μετεμέλοντο πρεσβείαν Λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικομένην πρὸς αὐτούς. Ἀπεώσαντο δὲ, Κλέωνος ἐναντιωθέντος, οὐχ ἥκιστα διὰ Νικίαν. Ἐχθρὸς γὰρ ὢν αὐτοῦ, καὶ προθύμως ὁρῶν συμπράττοντα τοῖς Λακεδαιμονίοις, ἔπεισε τὸν δῆμον ἀποψηφίσασθαι τὰς σπονδάς. Ὡς οὖν ἥ τε πολιορκία μῆκος ἐλάμβανε, καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατόπεδον, δι᾽ ὀργῆς εἶχον τὸν Κλέωνα. Τοῦ δ᾽ εἰς τὸν Νικίαν ἐκτρέποντος τὴν αἰτίαν, καὶ κατηγοροῦντος, ὅτι δειλίᾳ καὶ μαλακίᾳ προΐεται τοὺς ἄνδρας, ὡς αὐτοῦ γε στρατηγοῦντος, οὐκ ἂν περιγενομένους χρόνον τοσοῦτον, τοῖς Ἀθηναίοις εἰπεῖν παρέστη· « Τί δ᾽ οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας; » ὅ τε Νικίας ἀναστὰς ἐξίστατο τῆς ἐπὶ Πύλον στρατηγίας αὐτῷ, καὶ λαμβάνειν, ὁπόσην βούλεται, δύναμιν ἐκέλευσε, καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ᾽ ἔργον τι τῇ πόλει παρασχεῖν

ἄξιον σπουδῆς. Ὁ δὲ τὸ μὲν πρῶτον ἀνεδύετο, τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος· ἐγκελευομένων δὲ ταῦτα τῶν Ἀθηναίων, καὶ τοῦ Νικίου καταβοῶντος, ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον, ὑπεδέξατό τε τὴν στρατηγίαν, καὶ προσδιωρίσατο, πλεύσας, ἐντὸς ἡμερῶν εἴκοσιν ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας, ἢ ζῶντας ἄξειν Ἀθήναζε. Τοῖς δ' Ἀθηναίοις ἐπῆλθε γελάσαι μέγα μᾶλλον, ἢ πιστεῦσαι· καὶ γὰρ ἄλλως εἰώθεσαν αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν μετὰ παιδιᾶς οὐκ ἀηδῶς. Λέγεται γὰρ, ἐκκλησίας ποτὲ οὔσης, τὸν μὲν δῆμον καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον, καὶ παρακαλεῖν ὑπερθέσθαι τὴν ἐκκλησίαν εἰς αὔριον· « Ἀσχολοῦμαι γὰρ (ἔφη) σήμερον, ἑστιᾶν μέλλων ξένους, καὶ τεθυκὼς τοῖς θεοῖς. » Τοὺς δ' Ἀθηναίους γελάσαντας, ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκκλησίαν.

Η. Οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ, καὶ στρατηγήσας ἄριστα μετὰ Δημοσθένους, ἐντὸς οὗ προεῖπε χρόνου, τῶν Σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον, τὰ ὅπλα παραδόντας ἤνεγκεν αἰχμαλώτους. Καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν. Οὐ γὰρ ἀσπίδος ῥίψις, ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδόκει, τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως, καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμὰς, αὑτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. Σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης, ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων·

*Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γέ πω*
*Ὥρα 'στιν ἡμῖν, οὐδὲ μελλονικιᾶν.*

ἐν δὲ Γεωργοῖς ταῦτα γράφων·

Α. Ἐθέλω *γεωργεῖν.* Β. Εἶτα *τίς σε κωλύει;*
Α. Ὑμεῖς. Ἐπεὶ *δίδωμι χιλίας δραχμὰς,*
*Ἐάν με τῶν ἀρχῶν ἀφῆτε.* Β. Δεχόμεθα·
Δισχίλιαι *γάρ εἰσι σὺν ταῖς* Νικίου.

Καὶ μέντοι καὶ τὴν πόλιν ἔβλαψεν οὐ μικρά, τῷ Κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως· ὑφ' ἧς εἰς βαρὺ φρόνημα καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον, ἄλλας τε τῇ πόλει προσετρίψατο συμφοράς, ὧν οὐχ ἥκιστα καὶ αὐτὸς ἀπέλαυσε, καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας, καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος, τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος ἐνεποίησε τοῖς πολιτευομένοις.

Θ. Ἤδη δέ που καὶ Ἀλκιβιάδης ἐνεφύετο τηνικαῦτα τοῖς Ἀθηναίοις δημαγωγὸς, οὐχ ὁμοίως ἄκρατος· ἀλλ' οἷον ἡ Αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ

Φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά,

οὕτως ἡ Ἀλκιβιάδου φύσις, ἐπ' ἀμφότερα πολλὴ ῥυεῖσα καὶ λαμπρὰ, μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. Ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ Κλέωνος ὁ Νικίας, καιρὸν ἔσχε παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν· ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωτήριον, ἐξέπεσε, ῥύμῃ καὶ σφοδρότητι τῆς Ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. Ἐπράχθη δὲ οὕτως. Οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς Ἑλλάδος Κλέων καὶ Βρασίδας ἦσαν, ὧν ὁ πόλεμος τοῦ μὲν ἀπέκρυπτε τὴν κακίαν, τοῦ δὲ τὴν ἀρετὴν ἐκόσμει. Τῷ μὲν γὰρ ἀδικημάτων μεγάλων, τῷ δὲ κατορθωμάτων ἀφορμὰς παρεῖχε. Τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ Ἀμφίπολιν, εὐθὺς ὁ Νικίας παραλαβὼν τοὺς μὲν Σπαρτιάτας, ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους, τοὺς δ' Ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαῤῥοῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας, ἔπραττεν, ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν, καὶ τοὺς ἄλλους Ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος, βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς τὸν αὖθις χρόνον ποιοῖτο.

Τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους, καὶ τῶν γεωργῶν τὸ πλῆθος αὐτόθεν εἰρηνικὸν εἶχεν. Ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ, καὶ διδάσκων, ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς Σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς, προεκαλεῖτο, καὶ προὔτρεπεν ἔχεσθαι τῆς εἰρήνης. Οἱ δ' ἐπίςευον αὐτῷ, διά τε τὴν ἄλλην ἐπιείκειαν, καὶ ὅτι τοῖς ἡλωκόσι περὶ Πύλον καὶ δεδεμένοις, ἐπιμελόμενος καὶ περιέπων φιλανθρώπως, ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. Ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταὐτὸ, καὶ γευόμενοι πάλιν ἀδείας καὶ σχολῆς, καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας, ἐπόθουν τὸν ἀμίαντον καὶ ἀπόλεμον βίον· ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα [τῶν] χορῶν ἀκούοντες·

Κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις·

ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος, ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας οὐ σάλπιγγες, ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. Λοιδοροῦντες οὖν καὶ προβαλλόμενοι τοὺς λέγοντας, ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον, ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες, ἐποιήσαντο τὴν εἰρήνην· δόξα τε παρέστη τοῖς πλείςοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι, καὶ τὸν Νικίαν διὰ ςόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς, καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν ἐπωνύμῳ γενέσθαι τοῦ μεγίςου καὶ καλλίςου τῶν ἀγαθῶν δέδωκε. Τῷ γὰρ ὄντι Νικίου τὴν εἰρήνην ἐνόμιζον ἔργον, ὡς Περικλέους τὸν πόλεμον. Ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς εἰς συμφορὰς μεγάλας ἐμβαλεῖν ἐδόκει τοὺς Ἕλληνας· ὁ δὲ τῶν μεγίστων κακῶν ἔπεισεν ἐκλαθέσθαι, φίλους γενομένους. Διὸ καὶ τὴν εἰρήνην ἐκείνην ἄχρι νῦν Νικίειον καλοῦσι.

I. Γενομένων δὲ συνθηκῶν, ὅπως τὰ χωρία καὶ τὰς πόλεις, ἃς εἶχον ἀλλήλων, καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι, προτέρων ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ Νι-

κίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς Λακεδαιμονίους. Καὶ τοῦτο μὲν ἱςορεῖ Θεόφραστος. Ἐπεὶ δὲ Κορίνθιοι καὶ Βοιωτοὶ, πρὸς τὰ πραττόμενα δυσκολαίνοντες, αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ Νικίας τοὺς Ἀθηναίους καὶ Λακεδαιμονίους, τῇ εἰρήνῃ τὴν συμμαχίαν, ὥσπερ κράτος, ἢ δεσμὸν, ἐπιθέντας, φοβερωτέρους τε τοῖς ἀφιςαμένοις, καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. Πραττομένων δὲ τούτων, ὁ Ἀλκιβιάδης, οὔτε πρὸς ἡσυχίαν εὖ πεφυκὼς, καὶ τοῖς Λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ Νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιςὰς οὐδὲν ἐπέραινεν· ὀλίγῳ δ' ὕςερον ὁρῶν οὐκ ἔτι τοῖς Ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι Βοιωτοῖς ἔθεντο συμμαχίαν, καὶ Πάνακτον ἑςτῶσαν οὐ παρέδωκαν, οὐδ' Ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. Τέλος δὲ, πρεσβείαν μεταπεμψάμενος Ἀργείων, ἔπραττε συμμαχίαν πρὸς τοὺς Ἀθηναίους. Ἐπεὶ δὲ πρέσβεις, ἐλθόντες ἐκ Λακεδαίμονος αὐτοκράτορες, καὶ τῇ βουλῇ προσεντυγχάνοντες, ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ Ἀλκιβιάδης, μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι ἀπάτης καὶ ὅρκων, ὡς ἅπαντα συμπράξων, ἂν μὴ φῶσι, μηδ' ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες· μάλιστα γὰρ οὕτως, ἃ βούλονται, γενήσεσθαι. Πεισθέντων δὲ, καὶ μεταστάντων ἀπὸ τοῦ Νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον, ἠρώτα πρῶτον, εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες· ὡς δ' ἠρνοῦντο, παρ' ἐλπίδας μεταβαλόμενος, τήν τε βουλὴν ἐπεκαλεῖτο μάρτυρα τῶν λόγων, καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν, μηδὲ πιςεύειν οὕτω περιφανῶς ψευδομένοις, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία, περὶ τῶν αὐτῶν λέγουσι. Θορυβουμένων δ', ὡς εἰκὸς, αὐτῶν,

των, καὶ τοῦ Νικίου μηδὲν ἔχοντος εἰπεῖν, ἀλλ' ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς Ἀργείους καλεῖν καὶ ποιεῖσθαι συμμάχους· ἐβοήθησε δὲ τῷ Νικίᾳ σεισμός τις διὰ μέσου γενόμενος, καὶ διαλύσας τὴν ἐκκλησίαν. Τῇ δ' ὑϛεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος, πολλὰ ποιήσας καὶ εἰπὼν, ἔπεισε μόλις ἐπισχεῖν τὰ πρὸς Ἀργείους, αὐτὸν δὲ πέμψαι πρὸς Λακεδαιμονίους, ὡς πάντων καλῶς γενησομένων. Ἐλθὼν δ' εἰς Σπάρτην, τἄλλα μὲν, ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς, ἐτιμήθη, πράξας δ' οὐδὲν, ἀλλὰ κρατηθεὶς ὑπὸ τῶν βοιωτιαζόντων, ἐπανῆλθεν, οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς Ἀθηναίους, λυπουμένους καὶ ἀγανακτοῦντας, ὅτι, πεισθέντες ὑπ' ἐκείνου, τοσούτους ἄνδρας ἀπέδωκαν. Οἱ γὰρ ἐκ Πύλου κομισθέντες ἦσαν ἐξ οἴκων τε πρώτων τῆς Σπάρτης, καὶ φίλους καὶ συγγενεῖς τοὺς δυνατωτάτους ἔχοντες. Οὐ μὴν ἔπραξάν τι τραχύτερον ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν Ἀλκιβιάδην ϛρατηγὸν εἵλοντο, καὶ Μαντινεῖς καὶ Ἠλείους, Λακεδαιμονίων ἀποϛάντας, ἐποιήσαντο συμμάχους μετ' Ἀργείων, καὶ ληϛὰς εἰς Πύλον ἔπεμψαν, κακουργεῖν τὴν Λακωνικήν· ἐξ ὧν αὖθις εἰς πόλεμον κατέϛησαν.

ΙΑ. Ἀκμαζούσης δὲ τῆς πρὸς τὸν Νικίαν τοῦ Ἀλκιβιάδου διαφορᾶς, καὶ γιγνομένης ὀϛρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι, ἕνα τῶν ὑπόπτων, ἢ διὰ δόξαν ἄλλως, ἢ πλοῦτον, ἐπιφθόνων ἀνδρῶν, τῷ ὀϛράκῳ μεθιϛὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέρους περιΐϛατο, καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοϛρακισμῷ. Τοῦ μὲν γὰρ Ἀλκιβιάδου καὶ τὸν βίον ἐβδελύττοντο, καὶ τὸ θράσος ὠῤῥώδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις δηλοῦται· τὸν δὲ Νικίαν ὅ τε πλοῦτος ἐπίφθονον ἐποίει, καὶ μάλιϛα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον, μηδὲ δημοτικὸν, ἀλλ' ἄμικτον, καὶ ὀλιγαρχικὸν, ἀλλόκοτον ἐδόκει. Πολλὰ δ' ἤδη ταῖς ἐπιθυμίαις αὐ-

τῶν ἀντιτείνων παρὰ γνώμην, καὶ βιαζόμενος πρὸς τὸ συμφέρον, ἐπαχθὴς ἦν. Ὡς δ' ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς εἰρηνοποιοὺς καὶ πρεσβυτέρους, τῶν μὲν εἰς τοῦτον, τῶν δ' εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων.

*Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς.*

Ὥς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα, χώραν ἔδωκε τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις· ὧν ἦν καὶ Ὑπέρβολος ὁ Περιθοίδης, ἄνθρωπος ἀπ' οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ' ἀπὸ τοῦ τολμᾶν εἰς δύναμιν προελθὼν, καὶ γενόμενος, δι' ἣν εἶχεν ἐν τῇ πόλει δόξαν, ἀδοξία τῆς πόλεως. Οὗτος ἐν τῷ τότε χρόνῳ τοῦ μὲν ὀστράκου πόῤῥω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ, θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος, αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ, καὶ παροξύνων τὸν δῆμον ἐπ' ἀμφοτέρους. Συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν Νικίαν καὶ τὸν Ἀλκιβιάδην, καὶ λόγον δόντες ἀλλήλοις κρύφα, καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες, ἐκράτησαν, ὥστε μηδέτερον αὐτῶν, ἀλλὰ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι. Καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ γέλωτα τῷ δήμῳ παρέσχεν, ὕστερον δ' ἠγανάκτουν, ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες. Εἶναι γάρ τι καὶ κολάσεως ἀξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ὀξαστρακισμὸν ἡγούμενοι Θουκυδίδῃ καὶ Ἀριστείδῃ, καὶ τοῖς ὁμοίοις, Ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταὐτὰ ἔπαθε τοῖς ἀρίστοις· ὥς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ·

*Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια,*
*Αὑτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια.*
*Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.*

Καὶ τὸ πέρας, οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη μετὰ Ὑπέρβολον, ἀλλ' ἔσχατος ἐκεῖνος· πρῶτος δ' Ἵππαρχος ὁ Χολαρ-

γεὺς, συγγενής τις ὢν τοῦ τυράννου. Ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. Νικίας γὰρ, εἰ τὸν περὶ ὀςράκου κίνδυνον ἀνέῤῥιψε πρὸς τὸν Ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας, ἢ κρατηθεὶς αὐτὸς ἐξῄει, πρὸ τῶν ἐσχάτων ἀτυχιῶν τὸ δοκεῖν ἄριστος εἶναι ςρατηγὸς διαφυλάξας. Οὐκ ἀγνοῶ δ', ὅτι Θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν Ὑπέρβολον, Φαίακος, οὐ Νικίου, πρὸς Ἀλκιβιάδην ἐρίσαντος. Ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν.

ΙΒ. Ὁ γοῦν Νικίας, τῶν Αἰγεστέων πρέσβεων καὶ Λεοντίνων παραγενομένων, καὶ πειθόντων τοὺς Ἀθηναίους ςρατεύειν ἐπὶ Σικελίαν, ἀνθιστάμενος ἡττᾶτο τῆς βουλῆς Ἀλκιβιάδου καὶ φιλοτιμίας, πρὶν ὅλως ἐκκλησίαν γενέσθαι, κατασχόντος ἤδη πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον· ὥςε καὶ νέους ἐν παλαίςραις, καὶ γέροντας ἐν ἐργαςηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους, ὑπογράφειν τὸ σχῆμα τῆς Σικελίας, καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης, καὶ λιμένας καὶ τόπους, οἷς τέτραπται πρὸς Λιβύην ἡ νῆσος. Οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πολέμου Σικελίαν, ἀλλ' ὁρμητήριον, ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς Καρχηδονίους, καὶ σχήσοντες ἅμα Λιβύην καὶ τὴν ἐντὸς Ἡρακλείων στηλῶν θάλασσαν. Ὡς οὖν ὥρμηντο πρὸς ταῦτα, ὁ Νικίας ἐναντιούμενος, οὔτε πολλοὺς, οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. Οἱ γὰρ εὔποροι, δεδιότες, μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. Ὁ δ' οὐκ ἔκαμνεν, οὐδ' ἀπηγόρευεν, ἀλλὰ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον Ἀθηναίους, καὶ ςρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον μετ' Ἀλκιβιάδου καὶ Λαμάχου, πάλιν ἐκκλησίας γενομένης, ἀναστὰς ἀπέτρεπε καὶ διεμαρτύρετο· καὶ τελευτῶν διέβαλλε τὸν Ἀλκιβιάδην, ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. Ἔπραξε δ' οὐδὲν μᾶλλον, ἀλλ' ὑπ' ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι καὶ πολλὴν ἀσφάλειαν

ἕξειν, πρὸς τὴν Ἀλκιβιάδου τόλμαν καὶ τὴν Λαμάχου θρασύτητα τῆς ἐκείνου συγκεραννυμένης εὐλαβείας, βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. Ἀναςὰς γὰρ ὁ μάλιςα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς Ἀθηναίους Δημόςρατος, ἔφη τὸν Νικίαν προφάσεις λέγοντα παύσειν· καὶ ψήφισμα γράψας, ὅπως αὐτοκράτορες ὦσιν οἱ ςρατηγοὶ κἀνταῦθα κἀκεῖ, βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι.

ΙΓ. Καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν ςρατείαν· ἀλλ' ἑτέρους ἔχων μάντεις ὁ Ἀλκιβιάδης ἔκ δή τινων λογίων προὔφερε παλαιῶν, μέγα κλέος τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔσεσθαι. Καὶ θεοπρόποι τινὲς αὐτῷ παρ' Ἄμμωνος ἀφίκοντο, χρησμὸν κομίζοντες, ὡς λήψονται Συρακουσίους ἅπαντας Ἀθηναῖοι. Τὰ δ' ἐναντία, φοβούμενοι δυσφημεῖν, ἔκρυπτον. Οὐδὲ γὰρ τὰ προὖπτα καὶ καταφανῆ τῶν σημείων ἀπέτρεπεν, ἥ τε τῶν Ἑρμῶν περικοπὴ, μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων, πλὴν ἑνὸς, ὃν Ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς Αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης Ἀνδοκίδου οἰκίας· καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν. Ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτὸν, εἶτα περιβὰς ἀπέκοψεν αὑτοῦ λίθῳ τὸ αἰδοῖον. Ἐν δὲ Δελφοῖς Παλλάδιον ἕστηκε χρυσοῦν, ἐπὶ φοίνικος χαλκοῦ βεβηκὸς, ἀνάθημα τῆς πόλεως ἀπὸ τῶν Μηδικῶν ἀριστείων. Τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες, καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλλον. Οἱ δὲ ταῦτα μὲν ἔφασαν εἶναι Δελφῶν πλάσματα πεπεισμένων ὑπὸ Συρακουσίων. Χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ Κλαζομενῶν τὴν ἱέρειαν τῆς Ἀθηνᾶς ἄγειν, μετεπέμψαντο τὴν ἄνθρωπον· ἐκαλεῖτο δὲ Ἡσυχία. Καὶ τοῦτ' ἦν, ὡς ἔοικεν, ὃ παρῄνει τῇ πόλει τὸ δαιμόνιον, ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. Εἴτε δὴ ταῦτα δείσας, εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν ςρατείαν φοβηθεὶς ὁ ἀςρολόγος Μέτων

(ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος), προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν, ὡς μεμηνώς. Οἱ δέ φασιν, οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν, προελθεῖν εἰς τὴν ἀγορὰν ταπεινὸν, καὶ δεῖσθαι τῶν πολιτῶν, ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ τὸν υἱὸν αὐτοῦ, μέλλοντα πλεῖν τριήραρχον εἰς Σικελίαν, ἀφῶσι τῆς ϛρατείας. Σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον, οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν, ἐμήνυσε κἀκεῖνον τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον. Ὁ δὲ τοῖς συνήθεσι καὶ φίλοις ἔφρασε, καὶ διῆλθεν εἰς πολλοὺς ὁ λόγος. Οὐκ ὀλίγους δὲ καὶ τὰ τῶν ἡμερῶν, ἐν αἷς τὸν στόλον ἐξέπεμπον, ὑπέθραττεν. Ἀδώνια γὰρ ἦγον αἱ γυναῖκες τότε, καὶ προὔκειτο πολλαχόθι τῆς πόλεως εἴδωλα, καὶ ταφαὶ περὶ αὐτὰ, καὶ κοπετοὶ γυναικῶν ἦσαν, ὥστε τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα, δυσχεραίνειν καὶ δεδιέναι περὶ τῆς παρασκευῆς ἐκείνης καὶ δυνάμεως, μὴ λαμπρότητα καὶ ἀκμὴν ἐπιφανεϛάτην σχοῦσα ταχέως μαρανθῇ.

ΙΔ. Τὸ μὲν οὖν ἐναντιωθῆναι ψηφιζομένῃ τῇ ϛρατείᾳ τὸν Νικίαν, καὶ μήθ' ὑπ' ἐλπίδων ἐπαρθέντα, μήτε πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἐκπλαγέντα, μεταθέσθαι τὴν γνώμην, ἀνδρὸς ἦν χρηστοῦ καὶ σώφρονος. Ἐπεὶ δ' οὔτε τοῦ πολέμου τὸν δῆμον ἀποτρέψαι πειρώμενος, οὔθ' αὑτὸν ἐξελέσθαι τῆς ϛρατηγίας δεόμενος, ἴσχυσεν, ἀλλ' ὥσπερ ἀράμενος καὶ φέρων αὐτὸν ὁ δῆμος ἐπέθηκε τῇ δυνάμει ϛρατηγὸν, οὐδεὶς ἔτι καιρὸς ἦν τῆς πολλῆς εὐλαβείας καὶ μελλήσεως, ὥστε παιδὸς δίκην ἀπὸ τῆς νεὼς ὀπίσω βλέποντα, καὶ τὸ *μὴ* κρατηθῆναι τοῖς λογισμοῖς ἀναλαμβάνοντα καὶ ϛρέφοντα πολλάκις, ἐναμβλῦναι καὶ τοὺς συνάρχοντας αὐτῷ, καὶ τὴν ἀκμὴν διαφθεῖραι τῶν πράξεων· ἀλλ' εὐθὺς ἔδει τοῖς πολεμίοις ἐμφύντα καὶ προσκείμενον, ἐλέγχειν τὴν τύχην ἐπὶ τῶν ἀγώνων. Ὁ δὲ, Λαμάχου μὲν ἄντικρυς ἀξιοῦντος πλεῖν ἐπὶ Συρακούσας, καὶ μάχην ἔγγιστα τῆς

πόλεως τιθέναι, Ἀλκιβιάδου δὲ τὰς πόλεις ἀφιςάναι Συρακουσίων, εἶθ᾽ οὕτως ἐπ᾽ αὐτοὺς βαδίζειν, τὰ ἐναντία λέγων, καὶ κελεύων, ἀτρέμα παρὰ τὴν Σικελίαν κομιζομένους καὶ περιπλέοντας, ἐπιδείξασθαι τὰ ὅπλα καὶ τὰς τριήρεις, εἶτ᾽ ἀποπλεῖν Ἀθήναζε, μικρὸν τῆς δυνάμεως Αἰγεςεῦσιν ἀπαρξαμένους, αὐτίκα τε τὴν γνώμην ὑπεξέλυσε, καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. Καὶ μετ᾽ ὀλίγον χρόνον, Ἀλκιβιάδην Ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν, λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμὼν, δυνάμει δὲ μόνος ὢν, οὐκ ἐπαύσατο καθήμενος, ἢ περιπλέων, ἢ βουλευόμενος, πρὶν ἐγγηράσαι μὲν αὐτῷ τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ τῶν πολεμίων τὸ θάμβος καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέθηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. Ἔτι δὲ τοῦ Ἀλκιβιάδου παρόντος, ἑξήκοντα ναυσὶ πλεύσαντες ἐπὶ Συρακούσας, τὰς μὲν ἄλλας ἀνεῖχον, ὑπὲρ τοῦ λιμένος ἔξω παρατάξαντες, δέκα δὲ κατήλαυνον εἴσω κατασκοπῆς εἵνεκα· καὶ Λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀποκαλοῦσαι διὰ κήρυκος αὗται, λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὑτοὺς οἱ Συρακούσιοι. Κείμεναι δ᾽ ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ Διὸς Ὀλυμπίου, τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθησαν. Ὡς οὖν ὑπὸ τῶν Ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς ςρατηγοὺς ἐκομίσθησαν, καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μή ποτε ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι, λέγοντος, ὡς Ἀθηναῖοι λήψονται Συρακουσίους ἅπαντας. Οὐ μὴν ἀλλ᾽ ἑτέρῳ φασὶν ἔργῳ τοῦτο τοῖς Ἀθηναίοις γενέσθαι ἐπιτελὲς, καθ᾽ ὃν χρόνον ἀποκτείνας Δίωνα Κάλλιππος ὁ Ἀθηναῖος ἔσχε Συρακούσας.

ΙΕ. Ἀποπλεύσαντος δὲ τοῦ Ἀλκιβιάδου μετ᾽ ὀλίγον ἐκ Σικελίας, τὸ πᾶν ἤδη κράτος ὁ Νικίας ἔσχεν. Ὁ δὲ Λάμαχος ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ, καὶ τῇ χειρὶ χρώμενος ἀφειδῶς κατὰ τὰς μάχας· πένης δὲ τοσοῦτον καὶ λιτὸς, ὥςε καθ᾽

ἑκάστην στρατηγίαν ἀπολογίζεσθαι τοῖς Ἀθηναίοις μικρὸν ἀργύριον εἰς ἐσθῆτα καὶ κρηπῖδας ἑαυτῷ. Τοῦ δὲ Νικίου καὶ διὰ τἄλλα μέγας ἦν, καὶ διὰ τὸν πλοῦτον καὶ τὴν δόξαν, ὁ ὄγκος. Λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοινῇ τῶν συναρχόντων, κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν γνώμην Σοφοκλῆς ὁ ποιητὴς, ὡς πρεσβύτατος ὢν τῶν συστρατήγων· Ἐγὼ, φάναι, παλαιότατος εἰμὶ, σὺ δὲ πρεσβύτατος. Οὕτω δὴ καὶ τότε τὸν Λάμαχον ἄγων ὑφ' ἑαυτῷ, στρατηγικώτερον ὄντα, καὶ χρώμενος εὐλαβῶς καὶ διὰ μελλήσεως ἀεὶ τῇ δυνάμει, πρῶτον μὲν ἀπωτάτω τῶν πολεμίων ἐκπεριπλέων Σικελίαν, θάρσος ἔδωκεν αὐτοῖς, ἔπειτα προσβαλὼν Ὕβλῃ, πολιχνίῳ μικρῷ, καὶ πρὶν ἑλεῖν ἀποστὰς, κομιδῇ κατεφρονήθη. Καὶ τέλος, εἰς Κατάνην ἀπῆλθε, πράξας οὐδὲν, ἢ καταστρεψάμενος Ὕκκαρα, βαρβαρικὸν χωρίον· ὅθεν λέγεται καὶ Λαΐδα, τὴν ἑταίραν, ἔτι κόρην ἐν τοῖς αἰχμαλώτοις πραθεῖσαν, εἰς Πελοπόννησον κομισθῆναι.

ΙϚ. Τοῦ δὲ θέρους διελθόντος, ἐπεὶ τοὺς Συρακουσίους ἐπυνθάνετο προτέρους ἐπ' αὐτοὺς ἀφίξεσθαι τεθαῤῥηκότας· οἱ δ' ἱππεῖς, ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον, ἠρώτων, εἰ Καταναίοις συνοικήσοντες, ἢ Λεοντίνους κατοικιοῦντες ἥκουσι, μόλις ὁ Νικίας ὥρμησε πλεῖν ἐπὶ Συρακούσας. Καὶ βουλόμενος ἀδεῶς καὶ καθ' ἡσυχίαν ἱδρῦσαι τὸν στρατὸν, ὑπέπεμψεν ἄνθρωπον ἐκ Κατάνης, κελεύοντα τοὺς Συρακουσίους, εἰ βούλονται λαβεῖν ἔρημον ἀνδρῶν τὸ στρατόπεδον, καὶ τὰ ὅπλα τῶν Ἀθηναίων, ἐν ἡμέρᾳ ῥητῇ πρὸς Κατάνην πανστρατιᾷ παραγενέσθαι· τῶν δ' Ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων, ἐγνωκέναι τοὺς Συρακουσίων φίλους, ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα, καὶ τὸν ναύσαθμον ὑποπιμπράναι· πολλοὺς δ' εἶναι τοὺς συνεστῶτας ἤδη, καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. Τοῦτ' ἄριστα

Νικίας ἐϛρατήγησε περὶ Σικελίαν. Πανϛρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους, καὶ τὴν πόλιν ὁμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ Κατάνης ἀναχθεὶς, τῶν τε λιμένων ἐκράτησε, καὶ τῷ ϛρατοπέδῳ κατέλαβε χώραν, ὅθεν, ἥκιϛα βλαπτόμενος οἷς ἐλείπετο τῶν πολεμίων, ἤλπιζεν ἐξ ὧν ἐθάῤῥει πολεμήσειν ἀκωλύτως. Ἐπεὶ δ᾽ ἀναϛρέψαντες ἐκ Κατάνης οἱ Συρακούσιοι, παρετάξαντο πρὸ τῆς πόλεως, ἐπαγαγὼν ταχὺ τοὺς Ἀθηναίους ἐκράτησε. Καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων· οἱ γὰρ ἱππεῖς ἐμποδὼν ἐγένοντο τῇ διώξει· τοῦ δὲ ποταμοῦ διαφθείρων καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν Ἑρμοκράτει λέγειν, παραθαῤῥύνοντι τοὺς Συρακουσίους, ὅτι γελοῖός ἐϛιν ὁ Νικίας, ὅπως οὐ μαχεῖται ϛρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. Οὐ μὴν ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς Συρακουσίοις, ὥϛ᾽ ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα ϛρατηγῶν ἑτέρους ἑλέσθαι τρεῖς, οἷς πίϛιν ἔδωκεν ὁ δῆμος δι᾽ ὅρκων, ἦ μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. Τοῦ δ᾽ Ὀλυμπίου πλησίον ὄντος, ὥρμησαν οἱ Ἀθηναῖοι καταλαβεῖν, πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. Ὁ δὲ Νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑϛέρησε, καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν Συρακουσίων, ἡγούμενος, ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ ϛρατιῶται, τὸ μὲν κοινὸν οὐκ ὠφεληθήσεσθαι, τὴν δ᾽ αἰτίαν αὐτὸς ἕξειν τοῦ ἀσεβήματος. Τῇ δὲ νίκῃ περιβοήτῳ γενομένῃ χρησάμενος εἰς οὐδὲν, ὀλίγων ἡμερῶν διαγενομένων, εὐθὺς ἀνεχώρησεν εἰς Νάξον, κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων ϛρατιᾷ τοσαύτῃ, πράττων δὲ μικρὰ πρὸς Σικελούς τινας, ἀφιϛαμένους πρὸς αὐτόν· ὥϛε τοὺς Συρακουσίους αὖθις ἀναθαῤῥήσαντας ἐξελάσαι πρὸς Κατάνην, καὶ τήν τε χώραν τεμεῖν, καὶ τὸ ϛρατόπεδον κατακαῦσαι τῶν Ἀθηναίων. Ἃ δὴ πάντες ᾐτιῶντο τὸν Νικίαν, ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν, καὶ φυλάττεσθαι, τὸν τῶν πράξεων ἀπολλύντα καιρόν·

ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐμέμψατο τοῦ ἀνδρός. Ὁρμῆσαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος, τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος.

ΙΖ. Ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς Συρακούσας, οὕτως ἐστρατήγησε, καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν μὲν εἰς Θάψον ταῖς ναυσὶ προσμίξας καὶ ἀποβὰς, φθάσαι δὲ τὰς Ἐπιπολὰς κατασχών· τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας, ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων, ἄμαχον εἶναι δοκοῦσαν. Ὃ δὲ μάλιστα πάντων καὶ Σικελιώτας ἐξέπληξε, καὶ τοῖς Ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας, πόλιν Ἀθηνῶν οὐκ ἐλάττονα, δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις, καὶ θαλάσσῃ γειτνιώσῃ, καὶ παρακειμένοις ἕλεσι, τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. Ἀλλὰ τοῦτ' ἐξεργάσασθαι μικρὸν ἐδέησε τοῦ παντὸς, ἄνθρωπος, οὐδ' ὑγιαίνοντι χρώμενος ἑαυτῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. Θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν, καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν, ἐν οἷς κατώρθουν. Ὁ μὲν γὰρ Εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον, γράφων ἐπικήδειον, ἐποίησεν·

> Οἵδε Συρακουσίους ὀκτὼ νίκας ἐκράτησαν
> Ἄνδρες, ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

Οὐκ ὀκτὼ δὲ νίκας, ἀλλὰ πλείονας ἄν τις εὕροι Συρακουσίους νενικημένους ὑπ' αὐτῶν, πρὶν ἐκ θεῶν του, ἢ τύχης, ἀντίστασίν τινα γενέσθαι τοῖς Ἀθηναίοις, ἐπὶ πλεῖστον αἱρομένοις δυνάμεως.

ΙΗ. Ταῖς μὲν οὖν πλείσταις πράξεσι, βιαζόμενος τὸ σῶμα, παρῆν ὁ Νικίας· ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης, ὁ μὲν ἐν τείχεσι μετ' ὀλίγων ὑπηρετῶν κατέκειτο, τὴν δὲ στρατιὰν ἔχων ὁ Λάμαχος προσεμάχετο τοῖς Συρακουσίοις, ἐκ τῆς πόλεως

τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν Ἀθηναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. Τῷ δὲ κρατεῖν, τῶν Ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις, ἀπομονωθεὶς ὁ Λάμαχος, ὑπέστη τῶν Συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. Ἦν δὲ πρῶτος αὐτῶν Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. Πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος, ἐμονομάχησε, καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν, ὁμοῦ συναπέθανε τῷ Καλλικράτει. Καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετὰ τῶν ὅπλων ἐξῆραν οἱ Συρακούσιοι, δρόμῳ δ' ἐφέροντο πρὸς τὰ τείχη τῶν Ἀθηναίων, ἐν οἷς ὁ Νικίας ἦν οὐκ ἔχων τοὺς βοηθοῦντας. Ὅμως δ' ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τὸν κίνδυνον, ἐκέλευσε τοὺς καθ' ἑαυτὸν, ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα, καὶ τὰς μηχανὰς αὐτὰς, πῦρ κομίσαντας, ἅψαι. Τοῦτο τοὺς Συρακουσίους ἐπέσχε, καὶ τὸν Νικίαν ἔσωσε, καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν Ἀθηναίων. Φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες ἀπετράπησαν οἱ Συρακούσιοι. Τούτων δὲ πραχθέντων, ἀπολέλειπτο μὲν ὁ Νικίας μόνος τῶν στρατηγῶν, ἦν δὲ [δὴ] ἐλπίδος μεγάλης. Καὶ γὰρ πόλεις μεθίσταντο, καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις πάντων προστιθεμένων. Καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν Συρακουσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτὸν, ἀπεγνωκότων τὴν πόλιν. Ὅπου καὶ Γύλιππος ἐκ Λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπὸν, ὡς ἐχομένης μὲν ἤδη τῆς Σικελίας, Ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων, εἰ καὶ τοῦτό πως ἐγγένοιτο. Μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς Ἀθηναίους, καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. Ὁ δὲ Νικίας αὐτὸς *εὐθὺς* καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαῤῥηκὼς, μάλιστα δὲ, τοῖς ἐκ

Συρακουσῶν διαλεγομένοις κρύφα, καὶ πέμπουσι πρὸς αὐτὸν, ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων, οὐδένα τοῦ Γυλίππου λόγον ἔσχε προσπλέοντος, οὐδὲ φυλακὴν ἐποιήσατο καταίροντος· ἀλλὰ τῷ παντελῶς ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι, λαθὼν αὐτὸν ὁ ἀνὴρ, εἰσέπλευσε διὰ πορθμείου, καὶ προσκομισθεὶς ἀπωτάτω τῶν Συρακουσῶν, στρατιὰν συνηγάγετο πολλὴν, οὐδ' εἰ πάρεστι, τῶν Συρακουσίων ἐπιςαμένων, οὐδὲ προσδοκώντων. Διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῶν πρὸς τὸν Νικίαν ὁμολογιῶν· καί τινες ἐβάδιζον ἤδη, πρὶν ἢ παντελῶς ἀποτειχισθῆναι τὴν πόλιν, οἰόμενοι δεῖν γενέσθαι τὰς διαλύσεις. Βραχὺ γὰρ ἦν κομιδῇ τὸ ἀπολειπόμενον τοῦ ἔργου· καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας σύμπασαν.

ΙΘ. Ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου, ἀφικνεῖται Γογγύλος ἐκ Κορίνθου μιᾷ τριήρει· καὶ συνδραμόντων πρὸς αὐτὸν, ὡς εἰκὸς, πάντων, ἔφραζεν, ὅτι Γύλιππος ἀφίξεται διὰ ταχέων, καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. Οὔπω δὲ τῷ Γογγύλῳ πιστευόντων βεβαίως, ἧκεν ἄγγελος παρὰ τοῦ Γυλίππου κελεύοντος ἀπαντᾷν. Οἱ δὲ θαῤῥήσαντες ἐξωπλίζοντο· καὶ προσῆγεν εὐθὺς ὁ Γύλιππος ἐξ ὁδοῦ παρατεταγμένος ἐπὶ τοὺς Ἀθηναίους. Ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ Νικίας, θέμενος ἐπὶ τοὺς Ἀθηναίους ὁ Γύλιππος τὰ ὅπλα, καὶ κήρυκα πέμψας, ἔλεγε διδόναι τοῖς Ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ Σικελίας. Ὁ μὲν οὖν Νικίας οὐθὲν ἠξίωσεν ἀποκρίνασθαι· τῶν δὲ ςρατιωτῶν τινες καταγελῶντες, ἠρώτων, εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας Λακωνικῆς οὕτως ἰσχυρὰ τὰ Συρακουσίων ἐξαίφνης γέγονεν, ὥστ' Ἀθηναίων καταφρονεῖν, οἳ πολὺ ῥωμαλεωτέρους Γυλίππου, καὶ μᾶλλον κομῶντας, τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους ἀπέδωκαν Λακεδαιμονίοις. Τίμαιος δὲ καὶ τοὺς Σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν Γύλιππον, ὕςερον

μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν καταγνόντας· ὡς δὲ πρῶτον ὤφθη, σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. Εἶτα μέντοι φησὶν αὐτὸς, ὅτι τῷ Γυλίππῳ φανέντι, καθάπερ γλαυκὶ, πολλοὶ προσέπτησαν ἑτοίμως ςρατευόμενοι. Καὶ ταῦτα τῶν πρώτων ἀληθέςερά εἰσιν· ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς Σπάρτης καθορῶντες συνίςαντο. Κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν οὐ Θουκυδίδης μόνον, ἀλλὰ καὶ Φίλιςος, ἀνὴρ Συρακούσιος, καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. Τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ Ἀθηναῖοι τῶν Συρακουσίων ὀλίγους τινὰς ἀπέκτειναν, καὶ Γογγύλον τὸν Κορίνθιον. Εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔδειξεν ὁ Γύλιππος, οἷόν ἐςιν ἐμπειρία. Τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος, οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν, ἐνίκησε τοὺς Ἀθηναίους· καὶ φυγόντων εἰς τὸ ςρατόπεδον, ἐπιςήσας τοὺς Συρακουσίους, τοῖς λίθοις, οἷς ἐκεῖνοι προσεκόμισαν, καὶ τῇ ὕλῃ, παροικοδομῶν εἰς [τὰς] διαςολὰς, ἀπέκοψε τὸν ἐκείνων περιτειχισμὸν, ὥς' αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. Ἐκ τούτου δὲ θαῤῥήσαντες οἱ Συρακούσιοι, τάς τε ναῦς ἐπλήρουν, καὶ τοῖς ἱππεῦσι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες πολλοὺς ᾕρουν. Καὶ ὁ Γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις αὐτὸς ἐξώρμα καὶ συνίςη πάντας ἐῤῥωμένως ὑπακούοντας αὐτῷ, καὶ συλλαμβανομένους. Ὥςε τὸν Νικίαν, αὖθις εἰς ἐκείνους ἀποτρεπόμενον τοὺς πρώτους λογισμοὺς, καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν, ἀθυμεῖν, καὶ γράφειν τοῖς Ἀθηναίοις, κελεύοντα πέμπειν ἕτερον ςρατὸν, ἢ καὶ τοῦτον ἀπαγαγεῖν ἐκ Σικελίας· αὐτῷ δὲ πάντως αἰτούμενον τῆς ςρατηγίας ἄφεσιν, διὰ τὴν νόσον.

Κ. Οἱ δ' Ἀθηναῖοι καὶ πρότερον μὲν ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς Σικελίαν, φθόνῳ δὲ τῶν πρώτων *πραττομένων* πρὸς εὐτυχίαν τοῦ Νικίου τοσαύτην πολλὰς διατριβὰς ἐμβαλόντων, τότε γοῦν ἔσπευδον βοηθεῖν. Καὶ Δημοσθένης μὲν ἔμελλε με-

γάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος· Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε, χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων ᾑρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων, Εὐθύδημον καὶ Μένανδρον. Ἐν τούτῳ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας, ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον, ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων· πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν. Ἀλλ᾽ ἄφνω προσπεσὼν ὁ Γύλιππος εἷλε τὸ Πλημμύριον, ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων, ἐκράτησε πάντων, καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους, καὶ ζῶντας ἔλαβε· τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. Ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα, τῶν Ἀθηναίων κρατούντων· ἐκπεσόντων δὲ, χαλεπὴ, καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς πολεμίους ἐκεῖ ναυλοχοῦντας. Ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακουσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ᾽ ἀταξίᾳ περὶ τὴν δίωξιν. Αὖθις οὖν ἐπεχείρουν παρασκευαζόμενοι λαμπρότερον. Ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν, ἀλλὰ πολλὴν ἀβελτερίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης σπεύδων, ἀπ᾽ ἐλαττόνων καὶ χορηγουμένων φαύλως διαγωνίσασθαι. Τοῖς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον, ἀρτίως εἰς τὴν ἀρχὴν καθισαμένοις, φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγοὺς, τὸν μὲν Δημοσθένην φθῆναι πράξαντάς τι λαμπρὸν, ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. Πρόσχημα δ᾽ ἦν ἡ δόξα τῆς πόλεως, ἣν ἀπόλλυσθαι καὶ καταλύεσθαι παντάπασι φάσκοντες, εἰ φοβηθήσονται Συρακουσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. Καὶ καταστρατηγηθέντες ὑπ᾽ Ἀρίστωνος, τοῦ Κορινθίων κυβερνήτου, τοῖς περὶ τὸ ἀριστερὸν, ὡς εἴρηκε Θουκυδίδης, κατὰ κράτος ἡττήθησαν, καὶ πολλοὺς ἀπέβαλον· καὶ ἀθυμία πολλὴ περιειστήκει τὸν Νικίαν, τῇ τε

μοναρχίᾳ κακοπαθοῦντα, καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων.

ΚΑ. Ἐν τούτῳ δὲ Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ, καὶ δεινότατος τοῖς πολεμίοις, ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ἄγων ὁπλίτας πεντακισχιλίους, ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους, ὅπλων δὲ κόσμῳ καὶ παρασήμοις τριηρῶν, καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν, θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. Ἦν οὖν, ὡς εἰκὸς, αὖθις ἐν φόβῳ μεγάλῳ τὰ Συρακουσίων, εἰς οὐδὲν πέρας, οὐδ᾽ ἀπαλλαγὴν, ἀλλὰ πονοῦντας ἄλλως καὶ φθειρομένους αὐτοὺς μάτην ὁρώντων. Τὸν δὲ Νικίαν οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως· ἀλλ᾽ ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος, καὶ τῷ ταχίστῳ τῶν κινδύνων περὶ τοῦ παντὸς διαγωνισαμένους ἑλεῖν Συρακούσας, καὶ ἀποπλεῖν οἴκαδε, δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν, ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν, μηδ᾽ ἀνοήτως. Τὴν γὰρ τριβὴν εἶναι κατὰ τῶν πολεμίων, οὔτε χρήματα κεκτημένων ἔτι, μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενούντων· εἰ δὲ θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ᾽ αὐτὸν ἐπὶ συμβάσεις τραπησομένων, ὡς πρότερον. Καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα, καὶ μένειν κελεύοντες, ὡς καὶ νῦν ὑπερπονούντων τῷ πολέμῳ, καὶ τὸν Γύλιππον βαρυνομένων· ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀνάγκαι, παντάπασιν ἀπαγορευσόντων. Τούτων ὁ Νικίας τὰ μὲν αἰνιττόμενος, τὰ δ᾽ οὐ θέλων ἐν φανερῷ λέγειν, ἀτολμίας παρέσχε τοῖς στρατηγοῖς δόξαν· καὶ ταῦτ᾽ ἐκεῖνα πάλιν ἥκειν φάσκοντες αὐτοῦ μελλήματα, καὶ διατριβὰς, καὶ ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμὴν, οὐκ εὐθὺς ἐπιχειρῶν τοῖς πολεμίοις, ἀλλ᾽ ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο.

Καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. Οὕτω δὴ τὴν πεζὴν ςρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτὸς, ἐπεχείρει ταῖς Ἐπιπολαῖς· καὶ τοὺς μὲν φθάσας, πρὶν αἰσθέσθαι, τῶν πολεμίων ἀπέκτεινε, τοὺς δ' ἀμυνομένους ἐτρέψατο. Καὶ κρατῶν οὐκ ἔμενεν, ἀλλ' ἐχώρει προσωτέρω, μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε. Πρῶτοι γὰρ οὗτοι συςρέψαντες ἑαυτοὺς, καὶ συνδραμόντες, εἰς τοὺς Ἀθηναίους ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ἐώσαντο, καὶ πολλοὺς αὐτοῦ κατέβαλον. Δι' ὅλου δὲ τοῦ ςρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχὴ, καὶ τοῦ φεύγοντος ἤδη καταπιμπλάμενον τὸ ἔτι νικῶν, καὶ τὸ ἐπιβαῖνον καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον, ἑαυτῷ περιέπιπτε, τοὺς μὲν φεύγοντας οἰόμενον διώκειν, τοῖς δὲ φίλοις ὡς πολεμίοις χρώμενον. Ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταυτῷ μετὰ φόβου καὶ ἀγνοίας, καὶ τὸ τῆς ὄψεως ἄπιςον, ἐν νυκτὶ μήτε σκότος ἄκρατον, μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ' οἷον εἰκὸς ἤδη καταφερομένης σελήνης, καὶ περισκιαζομένης ὅπλοις πολλοῖς καὶ σώμασι κινουμένοις διὰ τοῦ φωτὸς, μὴ διασαφοῦσαν τὰ εἴδη, φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. Ἔτυχον δέ πως καὶ τὴν σελήνην ἔχοντες ὄπισθεν· ὅθεν αὐτοὶ μὲν αὑτοῖς τὰς σκιὰς ἐπιβάλλοντες, ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων καὶ τὴν λαμπρότητα, τοὺς δ' ἐναντίους ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς πολὺ πλείονας ὁρᾶσθαι καὶ λαμπροτέρους ἐποίει. Τέλος δὲ, πανταχόθεν αὐτοῖς, ὡς ἐνέδοσαν, προσκειμένων τῶν πολεμίων, φεύγοντες οἱ μὲν ὑπ' ἐκείνων, οἱ δ' ὑπ' ἀλλήλων ἀπέθνησκον, οἱ δὲ κατὰ τῶν κρημνῶν ὀλισθαίνοντες. Τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους, ἡμέρας ἐπιγενομένης, οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. Ἐγένοντο δὲ νεκροὶ δισχίλιοι, καὶ τῶν περιγενομένων ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν.

ΚΒ. Ὁ μὲν οὖν Νικίας πληγεὶς οὐκ ἀπροσδοκήτως, ᾐτιᾶτο τοῦ Δημοσθένους τὴν προπέτειαν. Ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος, ἐκέλευσεν ἀποπλεῖν τὴν ταχίϛην· οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς, οὔτ᾽ ἀπὸ τῆς παρούσης τῶν πολεμίων κρατήσειν· ὅπου γε καὶ κρατοῦντας ἐκείνων ἔδει μεταστῆναι καὶ φυγεῖν τὸ χωρίον, ἀεὶ μὲν, ὡς πυνθάνονται, βαρὺ καὶ νοσῶδες ὂν ϛρατοπέδῳ, νῦν δ᾽, ὡς βλέπουσι, καὶ διὰ τὴν ὥραν ὀλέθριον. Μετοπώρου γὰρ ἦν *ἡ* ἀρχή· καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δ᾽ ἠθύμουν. Ὁ δὲ Νικίας χαλεπῶς ἤκουε τὴν φυγὴν καὶ τὸν ἀπόπλουν, οὐ τῷ μὴ δεδιέναι τοὺς Συρακουσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς Ἀθηναίους καὶ τὰς ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. Δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι προσδοκᾶν ἔφασκεν· εἰ δὲ συμβαίη, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον, ἢ τὸν ὑπὸ τῶν πολιτῶν (οὐχ ὅμοια φρονῶν, οἷς ὕϛερον ὁ Βυζάντιος Λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας· Βούλομαι γὰρ, ἔφη, μᾶλλον ὑφ᾽ ὑμῶν, ἢ μεθ᾽ ὑμῶν ἀποθανεῖν)· περὶ μέντοι τόπου καὶ χώρας, εἰς ἣν μετατάξουσι τὸ ϛρατόπεδον, βουλεύσεσθαι καθ᾽ ἡσυχίαν. Ταῦτα δ᾽ αὐτοῦ λέγοντος, ὁ μὲν Δημοσθένης, οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευτυχήσας, ἐπαύσατο βιαζόμενος· τοῖς δ᾽ ἄλλοις παρέσχε τὸν Νικίαν, προσδοκῶντα καὶ πιϛεύοντα τοῖς ἔνδον, οὕτως ἐῤῥωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως· διὸ καὶ συνεχώρησαν. Ὡς μέντοι ϛρατιὰ Συρακουσίοις ἐπῆλθεν ἄλλη, καὶ μᾶλλον ἥπτετο τῶν Ἀθηναίων ἡ νόσος, τότ᾽ ἤδη καὶ τῷ Νικίᾳ συνεδόκει μεθίϛασθαι, καὶ παρήγγειλε τοῖς ϛρατιώταις εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν.

ΚΓ. Ὡς δ᾽ ἦν ἕτοιμα ταῦτα πάντα, καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττε, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη τῆς νυκτὸς, μέγα δέος τῷ Νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπ᾽ ἀπειρίας, ἢ δεισιδαιμονίας, ἐκπεπληγμένοις τὰ τοιαῦτα. Τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν ἁμωσγέπως ἤδη

συνεφρόνουν καὶ οἱ πολλοὶ γινομένην ὑπὸ τῆς σελήνης· αὐτὴν δὲ τὴν σελήνην, ᾧ τινι συντυγχάνουσαν, καὶ πῶς αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι, καὶ χρόας ἵησι παντοδαπὰς, οὐ ῥᾴδιον ἦν καταλαβεῖν, ἀλλ' ἀλλόκοτον ἡγοῦντο, καὶ πρὸ συμφορῶν τινων μεγάλων ἐκ θεοῦ γινόμενον σημεῖον. Ὁ γὰρ πρῶτος σαφέστατόν τε πάντων καὶ θαῤῥαλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον εἰς γραφὴν καταθέμενος Ἀναξαγόρας, οὔτ' αὐτὸς ἦν παλαιὸς, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόῤῥητος ἔτι, καὶ δι' ὀλίγων καὶ μετ' εὐλαβείας τινὸς, ἢ πίστεως βαδίζων. Οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ μετεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους καὶ δυνάμεις ἀπρονοήτους καὶ κατηναγκασμένα πάθη διατρίβοντας τὸ θεῖον. Ἀλλὰ καὶ Πρωταγόρας ἔφυγε· καὶ Ἀναξαγόραν εἰρχθέντα μόλις περιεποιήσατο Περικλῆς· καὶ Σωκράτης, οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φιλοσοφίαν. Ὀψὲ δ' ἡ Πλάτωνος ἐκλάμψασα δόξα, διὰ τὸν βίον τοῦ ἀνδρὸς, καὶ ὅτι ταῖς θείαις καὶ κυριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας, ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολὴν, καὶ τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. Ὁ γοῦν ἑταῖρος αὐτοῦ, Δίων, καθ' ὃν χρόνον ἔμελλεν ἄρας ἐκ Ζακύνθου πλεῖν ἐπὶ Διονύσιον, ἐκλιπούσης τῆς σελήνης, οὐδὲν διαταραχθεὶς ἀνήχθη, καὶ κατασχὼν ἐν Συρακούσαις, ἐξέβαλε τὸν τύραννον. Τῷ μέντοι Νικίᾳ συνηνέχθη τότε μηδὲ μάντιν ἔχειν ἔμπειρον· ὁ γὰρ συνήθης αὐτοῦ, καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν Στιλβίδης, ἐτεθνήκει μικρὸν ἔμπροσθεν. Ἐπεὶ τὸ σημεῖον, ὥς φησι Φιλόχορος, φεύγουσιν οὐκ ἦν πονηρὸν, ἀλλὰ καὶ πάνυ χρηστόν· ἐπικρύψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται, τὸ δὲ φῶς πολέμιόν ἐστιν αὐταῖς. Ἄλλως τε καὶ τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακὴν, ὡς Ἀντικλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς. Ὁ δὲ Νικίας ἄλλην ἔπεισε σελήνης ἀναμένειν περί-

οδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐτὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε.

ΚΔ. Μικροῦ δὲ πάντων ἀφέμενος τῶν ἄλλων, ἔθυε καὶ διεμαντεύετο καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι, τῷ μὲν πεζῷ τὰ τείχη καὶ τὸ ϛρατόπεδον αὐτῶν πολιορκοῦντες, ταῖς δὲ ναυσὶ κύκλῳ τὸν λιμένα περιλαμβάνοντες, οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν· ἀλλὰ καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἁλιάδων, καὶ ταῖς σκάφαις προσπλέοντα, προὐκαλεῖτο τοὺς Ἀθηναίους καὶ προὐπηλάκιζεν. Ὧν ἕνα, παῖδα γνωρίμων γονέων, Ἡρακλείδην, προεξελάσαντα τῷ πλοίῳ, ναῦς Ἀττικὴ διώκουσα κατελάμβανε. Δείσας δὲ περὶ αὐτῷ Πόλλιχος ὁ θεῖος, ἀντελαύνει δέκα τριήρεσιν, ὧν ἦρχεν· οἱ δ' ἄλλοι περὶ τοῦ Πολλίχου φοβηθέντες, ὡσαύτως ἀνήγοντο. Καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης, ἐνίκησαν οἱ Συρακούσιοι, καὶ τὸν Εὐρυμέδοντα πολλῶν μετ' ἄλλων διέφθειραν. Ἦν οὖν οὐκέτι μένειν ἀνασχετὰ Ἀθηναίοις, ἀλλὰ τῶν ϛρατηγῶν κατεβόων, πεζῇ κελεύοντες ἀναχωρεῖν. Καὶ γὰρ οἱ Συρακούσιοι νικήσαντες εὐθὺς ἐνέφραξαν καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. Οἱ δὲ περὶ τὸν Νικίαν τοῦτο μὲν οὐκ ἐπείθοντο· δεινὸν γὰρ ἦν ἀπολιπεῖν ὁλκάδας τε πολλὰς καὶ τριήρεις ὀλίγον ἀριθμῷ διακοσίων ἀποδεούσας. Ἐμβιβάσαντες δὲ τῶν πεζῶν τοὺς ἀρίϛους, καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους, ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριήρεις· αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. Τὸν δὲ λοιπὸν ὄχλον ἔϛησε παρὰ τὴν θάλασσαν ὁ Νικίας, ἐκλιπὼν τὸ μέγα ϛρατόπεδον, καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ Ἡράκλειον· ὥϛε, μὴ τεθυκότων τὴν εἰθισμένην θυσίαν τῷ Ἡρακλεῖ τῶν Συρακουσίων, θῦσαι τότε τοὺς ἱερεῖς καὶ ϛρατηγοὺς ἀναβάντας.

ΚΕ. Ἤδη δὲ πληρουμένων τῶν τριήρων, ἐπειδὴ οἱ μάντεις τοῖς Συρακουσίοις ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην, μὴ καταρχομένοις μάχης, ἀλλ' ἀμυνομένοις (καὶ γὰρ τὸν

Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον), ἀνήχθησαν. Ἡ δὲ ναυμαχία, πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη, καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις, ἢ τοῖς ἀγωνιζομένοις, διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτους ἐν ὀλίγῳ λαμβάνοντος, ἔβλαπτε ταῖς αὑτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. Ἀθρόαις γὰρ ἐμάχοντο ταῖς ναυσὶ καὶ βαρείαις πρὸς κούφας, ἀλλαχόθεν ἄλλας ἐπιφερομένας· καὶ βαλλόμενοι λίθοις ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν, ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα κατ' αἰχμὴν προσφέρεσθαι. Ταῦτα δ' Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακουσίους, καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προθύμως, ἔπεσεν, ἤδη κρατούντων τῶν Συρακουσίων. Γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς, ἡ μὲν κατὰ θάλασσαν φυγὴ τοῖς Ἀθηναίοις ἀποκέκοπτο. Χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες, οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον, οὔτε νεκρῶν ᾔτησαν ἀναίρεσιν, ἅτε δὴ τῆς ἐκείνων ἀταφίας, τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν, οἰκτροτέραν οὖσαν, ἤδη πρὸ ὀφθαλμῶν ἔχοντες, αὑτοὺς δὲ κἀκείνων ἐπιπονωτέρους ἡγούμενοι, μετὰ πλειόνων κακῶν ἐπὶ ταὐτὸ πάντως ἀφιξομένους τέλος.

Κϛ. Ὡρμημένων δ' αὐτῶν ἀπαίρειν διὰ νυκτὸς, οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακουσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν ὄντας, οὔτε πείσειν, οὔτε βιάσεσθαι προσεδόκων ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν. Ἑρμοκράτης δ', αὐτὸς ἀφ' ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην, ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν, ἀπ' ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι, παραινοῦντας δὲ μὴ πορεύεσθαι

διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακουσίων ἐνέδρας πεποιημένων αὐτοῖς, καὶ προκατεχόντων τὰς παρόδους. Τούτῳ δὲ καταστρατηγηθεὶς ὁ Νικίας, ὑπέμεινεν, ἃ ψευδῶς ἔδεισεν, ὑπὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. Προελθόντες γὰρ ἅμ' ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον, καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν, τάς τε γεφύρας ἀπέκοψαν, ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν, ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. Οἱ δὲ, καὶ τὴν ἡμέραν ἐκείνην καὶ τὴν νύκτα τὴν ἑτέραν ἐπιμείναντες, ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ, καθάπερ ἐκ πατρίδος, οὐ πολεμίας, ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν ἀναγκαίων, καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων· ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων νομίζοντες εἶναι. Πολλῶν δὲ δεινῶν ἐν τῷ στρατοπέδῳ φαινομένων, οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα, κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ' ἀξίαν εἰς ἀναγκαίαν δίαιταν καὶ τὰ σμικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα, πολλῶν διὰ τὴν νόσον δεόμενον· πράττοντος δὲ μετ' ἀῤῥωστίας, καὶ καρτεροῦντος, ἃ πολλοὶ τῶν ἐῤῥωμένων μόλις ὑπέμενον· καταφανοῦς δὲ πᾶσιν ὄντος, οὐ δι' αὑτὸν, οὐδὲ τῷ φιλοψυχεῖν, τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι' ἐκείνους τὴν ἐλπίδα μὴ προϊεμένου. Καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τρεπομένων, ἐκεῖνος, εἴ ποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν, ὧν ἤλπιζε κατορθώσειν. Οὐ μόνον δ' αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες, καὶ τῶν παραινέσεων, ἃς ἐποιήσατο κωλύων τὸν ἔκπλουν, ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν· καὶ πρὸς τὰς ἐκ θεῶν ἐλπίδας ἀθύμως εἶχον, ἐννοοῦντες, ὡς ἀνὴρ θεοφιλὴς, καὶ πολλὰ καὶ μεγάλα λαμπρυνάμενος πρὸς τὸ θεῖον, οὐδενὸς ἐπιεικεστέρᾳ

τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ ςρατεύματι καὶ ταπεινοτάτων.

ΚΖ. Οὐ μὴν ἀλλ' ὅ γε Νικίας ἐπειρᾶτο καὶ φωνῇ καὶ προσώπῳ καὶ δεξιώσει κρείττων ὁρᾶσθαι τῶν δεινῶν. Καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ' ἡμέρας ὀκτὼ βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων, ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, ἄχρις οὗ Δημοσθένης ἑάλω, καὶ τὸ μετ' ἐκείνου ςράτευμα, περὶ τὴν Πολυζήλειον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. Αὐτὸς δὲ Δημοσθένης, σπασάμενος τὸ ξίφος, ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων αὐτόν. Ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακούσιοι, καὶ πέμψας ἱππέας, ἔγνω τὴν ἐκείνου τοῦ ςρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας, ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων, ὅσα Συρακουσίοις ἀνάλωτο πρὸς τὸν πόλεμον. Οἱ δ' οὐ προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ' ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες ἔβαλλον, ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. Οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν προήει βαλλόμενος πρὸς τὸν Ἀσίναρον ποταμόν. Ἐκεῖ δὲ τοὺς μὲν οἱ πολέμιοι συνενεγκόντες ἐνέσεισαν εἰς τὸ ῥεῖθρον, οἱ δὲ φθάνοντες ὑπὸ δίψους ἔῤῥιπτον ἑαυτούς· καὶ πλεῖστος ἐνταῦθα μόρος ἦν καὶ ὠμότατος, ἐν τῷ ποταμῷ πινόντων ἅμα καὶ σφαττομένων, ἄχρι Νικίας Γυλίππῳ προσπεσὼν, εἶπεν· « Ἔλεος ὑμᾶς, ὦ Γύλιππε, λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδεὶς, ὃς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον, τῶν δ' ἄλλων Ἀθηναίων, ἐννοηθέντας, ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου, μετρίως δ' αὐταῖς καὶ πρᾴως ἐχρήσαντο, ἐν οἷς ηὐτύχουν, Ἀθηναῖοι πρὸς ὑμᾶς. » Τοιαῦτα τοῦ Νικίου λέγοντος, ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ καὶ πρὸς τοὺς λόγους ὁ Γύλιππος· ᾔδει γὰρ τοὺς Λακεδαιμονίους εὖ πεπον-

θότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας διαλύσεις· μέγα δ' ἡγεῖτο πρὸς δόξαν, εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιςρατήγους. Διὸ τόν τε Νικίαν ἀναλαβὼν ἐθάῤῥυνε, καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγελε. Βραδέως δὲ τοῦ παραγγέλματος διικνουμένου, πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο· καίτοι πολλοὶ, διεκλάπησαν ὑπὸ τῶν ςρατιωτῶν. Τοὺς δὲ φανερῶς ἑαλωκότας ἀθροίσαντες, τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις, ἐςεφανωμένοι δ' αὐτοὶ καὶ κοσμήσαντες [τοὺς] ἵππους διαπρεπῶς, κείραντες δὲ τοὺς τῶν πολεμίων, εἰσήλαυνον εἰς τὴν πόλιν, ἀγῶνα λαμπρότατον, ὧν Ἕλληνες πρὸς Ἕλληνας ἠγωνίσαντο, καὶ νίκην τελεωτάτην κράτει πλείςῳ καὶ ῥώμῃ μεγίςῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες.

ΚΗ. Ἐκκλησίας δὲ πανδήμου Συρακουσίων καὶ τῶν συμμάχων γενομένης, Εὐρυκλῆς ὁ δημαγωγὸς ἔγραψε, πρῶτον μὲν τὴν ἡμέραν, ἐν ᾗ τὸν Νικίαν ἔλαβον, ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, Ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας. Ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ Καρνείου μηνὸς, ὃν Ἀθηναῖοι Μεταγειτνιῶνα προσαγορεύουσι. Τῶν δ' Ἀθηναίων τοὺς μὲν οἰκέτας ἀποδόσθαι, καὶ τοὺς ἄλλους συμμάχους, αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ Σικελίας φρουρεῖν, ἐμβαλόντας εἰς τὰς λατομίας, πλὴν τῶν στρατηγῶν· ἐκείνους δ' ἀποκτεῖναι. Ταῦτα προσδεχομένων τῶν Συρακουσίων, Ἑρμοκράτης μὲν εἰπὼν, ὅτι τοῦ νικᾷν κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη. Γύλιππον δὲ, τοὺς στρατηγοὺς τῶν Ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν Λακεδαιμονίοις, ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ Συρακούσιοι, κακῶς ἔλεγον, ἄλλως τε καὶ παρὰ τὸν πόλεμον, αὐτοῦ τὴν τραχύτητα καὶ τὸ Λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥαδίως ἐνηνοχότες· ὡς δὲ Τίμαιός φησι, καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀῤῥώςημα πα-



ΕΥΡΙΠΙΔΗΣ

ΕΚ ΤΟΥ ΕΝ ΠΑΡΙΣ. ΝΑΠΟΛΕΟΝΤΕΙΟΥ ΜΟΥΣ.

Σελ. 295. Τ.ος 3.

τρῷον· ἐφ' ᾧ καὶ Κλεανδρίδης, ὁ πατὴρ αὐτοῦ, δώρων ἁλοὺς ἔφυγε· καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων, ἃ Λύσανδρος ἔπεμψεν εἰς τὴν Σπάρτην, ὑφελόμενος τριάκοντα, καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πάντων ἐξέπεσεν. Ἀλλὰ ταῦτα μὲν ἐν τῷ Λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. Δημοσθένην δὲ καὶ Νικίαν ἀποθανεῖν Τίμαιος οὔ φησιν ὑπὸ τῶν Συρακουσίων καταλευσθέντας, ὡς Φίλιστος ἔγραψε καὶ Θουκυδίδης, ἀλλ', Ἑρμοκράτους πέμψαντος, ἔτι τῆς ἐκκλησίας συνεστώσης, *καὶ* δι' ἑνὸς, τῶν φυλάκων παρέντων, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν· τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα, κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. Πυνθάνομαι δὲ, μέχρι νῦν ἐν Συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, Νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεκροτημένην.

ΚΘ. Τῶν δ' Ἀθηναίων οἱ μὲν πλεῖστοι διεφθάρησαν ἐν ταῖς λατομίαις ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς, εἰς ἡμέραν ἑκάστην κοτύλας δύο κριθῶν λαμβάνοντες, καὶ μίαν ὕδατος· οὐκ ὀλίγοι δ' ἐπράθησαν διακλαπέντες, ἢ καὶ διαλαθόντες, ὡς οἰκέται. Καὶ τοὺς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. Οὐ πολλοὶ δ' ἦσαν οἱ καὶ τοῦτο πρὸς τῷ δουλεύειν ὑπομένοντες. Ἐβοήθει δὲ *καὶ* τούτοις ἥ τ' αἰδὼς καὶ τὸ κόσμιον· ἢ γὰρ ἠλευθεροῦντο ταχέως, ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. Ἔνιοι δὲ καὶ δι' Εὐριπίδην ἐσώθησαν. Μάλιστα γὰρ, ὡς ἔοικε, τῶν ἐντὸς Ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν οἱ περὶ Σικελίαν· καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείγματα καὶ γεύματα κομιζόντων ἐκμανθάνοντες, ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. Τότε γοῦν φασι τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάσασθαι τὸν Εὐριπίδην φιλοφρόνως, καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ἀφείθησαν, ἐκδιδάξαντες, ὅσα τῶν ἐκείνου ποιη-

μάτων ἐμέμνηντο, τοὺς δ', ὅτι πλανώμενοι μετὰ τὴν μάχην, τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. Οὐ δεῖ δὴ θαυμάζειν, ὅτι τοὺς Καυνίους φασὶ, πλοίου προσφερομένου τοῖς λιμέσιν, ὑπὸ λῃστρίδων διωκομένου, μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν· εἶτα μέντοι διαπυνθανομένους, εἰ γινώσκουσιν ᾄσματα τῶν Εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καταγαγεῖν τὸ πλοῖον.

Λ. Ἀθηναίοις δέ φασι τὴν συμφορὰν οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. Ξένος γάρ τις, ὡς ἔοικεν, ἀποβὰς εἰς Πειραιᾶ, καὶ καθίσας ἐπὶ κουρείῳ, ὡς ἐγνωκότων ἤδη τῶν Ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγονότων. Ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς ἄρχουσιν εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον. Ἐκπλήξεως δὲ καὶ ταραχῆς, ὡς εἰκὸς, γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες, εἰσήγαγον τὸν ἄνθρωπον. Ὡς δ' ἐρωτώμενος, παρ' οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι, καὶ ταράττειν τὴν πόλιν, εἰς τὸν τροχὸν καταδεθεὶς ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν, ὡς εἶχεν, ἀπαγγέλλοντες. Οὕτω μόλις ὁ Νικίας ἐπιστεύθη παθὼν, ἃ πολλάκις αὐτοῖς προεῖπεν.

# ΠΛΟΥΤ. ΜΑΡΚ. ΚΡΑΣΣΟΣ.

Μάρκος δὲ Κράσσος ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρός· ἐτράφη δ' ἐν οἰκίᾳ μικρᾷ μετὰ δυοῖν ἀδελφῶν. Καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων· καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν. Ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. Ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν, τῇ γυναικὶ συνῴκησε, καὶ *τοὺς* παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. Καίτοι προϊὼν καθ' ἡλικίαν, αἰτίαν ἔσχε Λικιννίᾳ συνεῖναι, τῶν Ἑςιάδων μιᾷ παρθένων· καὶ δίκην ἔφυγεν ἡ Λικιννία, Πλωτίνου τινὸς διώκοντος. Ἦν δὲ προάςειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος, καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων, εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε· καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος, ὑπὸ τῶν δικαςῶν ἀφείθη. Τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον, ἢ τοῦ κτήματος κρατῆσαι.

Β. Ῥωμαῖοι μὲν οὖν λέγουσι πολλαῖς ἀρεταῖς τοῦ Κράσσου κακίαν μόνην ἐπισκοτῆσαι, τὴν φιλοπλουτίαν. Ἔοικε δὲ μία [μὲν], πασῶν δ' ἐῤῥωμενεςέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη, τὰς ἄλλας ἀμαυρῶσαι. Τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται, τόν τε τρόπον τοῦ πορισμοῦ, καὶ τῆς οὐσίας τὸ μέγεθος. Τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν πολιτείαν ἀποθύσας μὲν τῷ Ἡρακλεῖ τὴν δεκάτην, καὶ τὸν δῆμον ἑςιάσας, τρεῖς δὲ μῆνας ἑκάςῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχὼν, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους ςρατείας αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας, εὗρεν

ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. Τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθὲς, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου, ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. Ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν, ἐπώλει τὰς οὐσίας τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ, λάφυρα καὶ νομίζων καὶ ὀνομάζων, καὶ βουλόμενος ὅτι πλείστοις καὶ κρατίστοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων, οὔτ' ὠνούμενος ἀπεῖπε. Πρὸς δὲ τούτοις, ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας, ἐμπρησμοὺς καὶ συνιζήσεις, διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. Εἶτ' ἔχων τούτους, ὑπὲρ πεντακοσίους ὄντας, ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις, διὰ φόβον καὶ ἀδηλότητα τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων· ὥστε τῆς Ῥώμης τὸ πλεῖστον μέρος ὑπ' αὐτῷ γενέσθαι. Τοσούτους δὲ κεκτημένος τεχνίτας, οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν ἰδίαν οἰκίαν· ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι, χωρὶς ἀνταγωνιστῶν. Ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων, πολυτιμήτου δὲ χώρας, καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα πρὸς τὴν τῶν οἰκετῶν τιμήν. Τοσούτους ἐκέκτητο καὶ τοιούτους, ἀναγνώστας, ὑπογραφεῖς, ἀργυρογνώμονας, διοικητὰς, τραπεζοκόμους· αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων, καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν, ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. Καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ, ὡς ἔλεγεν, ἡγεῖτο τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δ' οἰκέτας, δι' αὐτοῦ κυβερνᾷν. Τὴν γὰρ οἰκονομικὴν, ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν, ἐν ἀνθρώποις πολιτικὴν γιγνομένην ὁρῶμεν. Ἐκεῖνο δ' οὐκ εὖ, τὸ μηδένα νομίζειν, μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας στρατόπεδον (ὁ γὰρ πόλεμος οὐ τεταγμένα σιτεῖται,

κατὰ τὸν Ἀρχίδαμον· ὥσθ' ὁ πρὸς πόλεμον πλοῦτος ἀόριστος), καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένως. Ἐκεῖνος γὰρ, ἐπεὶ, κατ' ἄνδρα νείμας ἑκάςῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς, ἔγνω πλέον ἐπιζητοῦντας· « Μηδεὶς (ἔφη) γένοιτο Ῥωμαίων ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν. »

Γ. Οὐ μὴν ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ Κράσσος. Ἀνέῳκτο γὰρ [ἡ] οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων· ἀπῄτει δ' ἀποτόμως τοῦ χρόνου παρελθόντος, εἰς ὃν ἐδάνειζε, καὶ τὸ προῖκα πολλῶν ἐγίνετο τόκων ἐπαχθέστερον. Ἐν δὲ τοῖς δείπνοις ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης· ἡ δ' εὐτέλεια τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην ἡδίονα τοῦ πολυτελοῦς εἶχε. Παιδείας δὲ τῆς περὶ λόγον, μάλιςα μὲν τὸ ῥητορικὸν καὶ χρειῶδες εἰς πολλοὺς ἤσκησε· καὶ γενόμενος δεινὸς εἰπεῖν ἐν τοῖς μάλιςα Ῥωμαίων, ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεςάτους ὑπερέβαλεν. Οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν, οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν. Ἀλλὰ καὶ Πομπηΐου πολλάκις ὀκνοῦντος, καὶ Καίσαρος ἐξαναςῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν. Καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν, ὡς ἐπιμελὴς καὶ βοηθητικός. Ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. Οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. Λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱςορίαν γενέσθαι, καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριςοτέλους λόγοις προσθέμενος· ὧν διδάσκαλον εἶχεν Ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πρᾳότητος ἀπόδειξιν διδόντα τὴν πρὸς Κράσσον συνήθειαν. Οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέςερος, ἢ προσελθὼν ἐγένετο. Μόνος δ' οὖν ἀεὶ τῶν φίλων, αὐτῷ συναποδημῶν, ςέγαςρον ἐλάμβανεν εἰς τὴν ὁδὸν, καὶ τοῦτ' ἐπανελθὼν ἀπῃτεῖτο. *Φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν

πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. *Ἀλλὰ ταῦτα μὲν ὕϛερον.

Δ. Ἐπεὶ δὲ, Κίννας καὶ Μάριος κρατήσαντες, εὐθὺς ἦσαν ἔνδηλοι κατιόντες οὐκ ἐπ' ἀγαθῷ τῆς πατρίδος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίϛων· οἱ μὲν ἐγκαταληφθέντες ἀπέθνησκον, ὧν ἦν καὶ ὁ πατὴρ Κράσσου καὶ ὁ ἀδελφός· αὐτὸς δὲ, νέος ὢν παντάπασι, τὸ μὲν αὐτίκα δεινὸν ἐξέφυγε, πάντη δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους ἀναλαβὼν, καὶ θεράποντας δέκα, τάχει δ' ὑπερβάλλοντι χρησάμενος, εἰς Ἰβηρίαν ἔφυγε, γεγονὼς πάλαι ϛρατηγοῦντος αὐτόθι τοῦ πατρὸς, καὶ φίλους πεποιημένος. Εὑρὼν δὲ πάντας περιδεεῖς, καὶ τὴν ὠμότητα τὴν Μαρίου, καθάπερ ἐφεϛῶτος αὐτοῖς, τρέμοντας, οὐδενὶ γενέσθαι φανερὸς ἐθάῤῥησεν, ἀλλ' εἰς ἀγροὺς ἐμβαλὼν παραλίους Οὐϊβίου Πακιακοῦ, σπήλαιον ἔχοντας εὐμέγεθες, ἔκρυψεν ἑαυτόν. Πρὸς δὲ τὸν Οὐΐβιον ἔπεμψεν *ἕνα* δοῦλον, ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἐπιλιπόντων. Ὁ δὲ Οὐΐβιος ἀκούσας, ἥσθη τε σωζομένῳ, καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον, αὐτὸς μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν εὐθὺς, ἐκέλευσε καθ' ἡμέραν δεῖπνον πεποιημένον κομίζειν, καὶ τιθέντα παρὰ τὴν πέτραν, ἀπέρχεσθαι σιωπῇ, καὶ μὴ πολυπραγμονεῖν, μηδ' ἐξετάζειν· προειπὼν πολυπραγμονοῦντι θάνατον, συμπράττοντι δὲ τοῦτο πιϛῶς ἐλευθερίαν. Τὸ δὲ σπήλαιον οὐκ ἄπωθεν μέν ἐϛι θαλάσσης· κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ παραπέμπουσι λαύραν ἄγουσαν εἴσω. Παρελθόντι δ' ὕψος τε θαυμαστὸν ἀναπέπταται, καὶ κατ' εὖρος ἔχει κόλπους δι' ἀλλήλων ἀνοιγομένους μεγάλαις περιφερείαις. Ἀμοιρεῖ δ' οὔτε ὕδατος, οὔτε φωτός· ἀλλὰ πηγὴ μὲν ἡδίϛου νάματος ὑποῤῥεῖ παρὰ τὸν κρημνόν· αὐτοφυεῖς δὲ ῥωχμοὶ τῆς πέτρας, ᾗ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν, ὑπολαμβάνουσι, καὶ καταλάμπεται ἡμέρας τὸ

χωρίον. Ὁ δ' ἐντὸς ἀὴρ ἀςάλακτος καὶ καθαρὸς, πυκνότητι τῆς πέτρας τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πηγὴν ἐκπιεζούσης.

Ε. Ἐνταῦθα διατρίβοντι τῷ Κράσσῳ τὰ ἐπιτήδεια καθ' ἡμέραν ἐφοίτα κομίζων ὁ ἄνθρωπος, αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους, οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος, εἰδότων καὶ παραφυλαττόντων τὸν καιρόν. Ἦν δ' ἄφθονα, καὶ πρὸς ἡδονὴν, οὐ μόνον χρείαν, ποιούμενα τὰ πρὸς τὸ δεῖπνον. Ἐγνώκει γὰρ ὁ Οὐΐβιος ἁπάσῃ φιλοφροσύνῃ θεραπεύειν τὸν Κράσσον. Ὧ γε καὶ τὸ τῆς ὥρας ἐν νῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη, καί τι καὶ ταῖς καθ' ἡλικίαν ἡδοναῖς αὐτοῦ χαριςέον· ἐπεὶ τήν γε χρείαν ἀναγκαίως μᾶλλον, ἢ προθύμως, ὑπουργοῦντος εἶναι. Δύο δὴ θεραπαινίδας εὐπρεπεῖς ἀναλαβὼν ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. Ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον, δείξας τὴν ἄνοδον, ἐκέλευεν εἴσω πορεύεσθαι καὶ θαῤῥεῖν. Οἱ δὲ περὶ τὸν Κράσσον, ἰδόντες προσερχομένας, ἔδεισαν, μὴ καταφανὲς καὶ γνώριμον εἴη τὸ χωρίον. Ἀνέκρινον οὖν αὐτὰς, τί βούλονται, καὶ τίνες εἰσίν. Ὡς δ' ἀπεκρίναντο δεδιδαγμέναι, δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ Κράσσος τοῦ Οὐϊβίου τὴν πρὸς αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην, ἀνέλαβε τὰς παιδίσκας. Καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον, ὧν ἐδεῖτο φράζουσαι καὶ διαγγέλλουσαι πρὸς τὸν Οὐΐβιον. Τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν οὖσαν ὁ Φενεςέλλας ἰδεῖν αὐτὸς, καὶ πολλάκις ἀκοῦσαι μεμνημένης ταῦτα καὶ διεξιούσης προθύμως.

ς. Ὁ δὲ Κράσσος, ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διακλαπεὶς, ἅμα τῷ πυθέσθαι τὴν Κίννα τελευτὴν φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἐπιλεξάμενος δισχιλίους καὶ πεντακοσίους, ἐπήρχετο τὰς πόλεις· καὶ μίαν γε διήρπασε Μαλάκην, ὡς πολλοὶ γεγράφασιν· αὐτὸν δέ φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. Ἐκ τούτου

συναγαγὼν πλοῖα, καὶ διαπεράσας εἰς Λιβύην, ἀφίκετο πρὸς Μέτελλον Πίον, ἔνδοξον ἄνδρα, συνειλοχότα ϛρατιὰν οὐκ εὐκαταφρόνητον. Οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ ϛασιάσας τῷ Μετέλλῳ, πρὸς Σύλλαν ἀπῆρε, καὶ συνῆν ἐν τοῖς μάλιστα τιμώμενος. Ἐπεὶ δὲ διαβὰς εἰς Ἰταλίαν ὁ Σύλλας, πάντας ἠβούλετο τοὺς σὺν αὐτῷ νέους ἔχειν ἐνεργοὺς, καὶ πρὸς ἄλλην ἄλλον ἔταττε πρᾶξιν, ἀποϛελλόμενος εἰς Μαρσοὺς ἐπὶ ϛρατείαν ὁ Κράσσος, ᾔτει φύλακας· ἦν γὰρ ἡ πάροδος παρὰ τοὺς πολεμίους. Εἰπόντος δὲ τοῦ Σύλλα σὺν ὀργῇ καὶ σφόδρα πρὸς αὐτὸν, « Δίδωμί σοι φύλακας, τὸν πατέρα, τὸν ἀδελφὸν, τοὺς φίλους, τοὺς συγγενεῖς, ὧν παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων, ἔργῳ μετέρχομαι τοὺς φονεῖς· » οὕτω παθών τι καὶ παροξυνθεὶς ὁ Κράσσος, εὐθὺς ἐξῆλθε, καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως, δύναμίν τε συχνὴν ἤθροισε, καὶ πρόθυμον αὑτὸν ἐν τοῖς ἀγῶσι τῷ Σύλλᾳ παρεῖχεν. Ἀπ' ἐκείνων δὲ τῶν πράξεων λέγουσιν αὐτῷ πρῶτον ἐγγενέσθαι τὴν πρὸς Πομπήϊον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. Ὁ γὰρ Πομπήϊος ἡλικίᾳ τε λειπόμενος αὐτοῦ, καὶ πατρὸς γεγονὼς ἀδοξήσαντος ἐν Ῥώμῃ, καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν πολιτῶν, ἐν ἐκείνοις τοῖς πράγμασιν ἐξέλαμψε καὶ διεφάνη μέγας, ὥϛε Σύλλαν, ἃ πρεσβυτέροις καὶ ἰσοτίμοις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίϛασθαι προσιόντος αὐτοῦ, καὶ κεφαλὴν ἀποκαλύπτεσθαι, καὶ προσειπεῖν αὐτοκράτορα. Ταῦτα διέκαιε καὶ παρώξυνε τὸν Κράσσον, οὐκ ἀλόγως ἐλασσούμενον. Ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν, καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες ἐπιφερόμεναι, φιλοκέρδεια καὶ μικρολογία. Καὶ γὰρ πόλιν Ὀμβρικὴν Τουδερτίαν ἑλὼν ἔδοξε πλεῖϛα τῶν χρημάτων σφετερίσασθαι, καὶ διεβλήθη πρὸς Σύλλαν. Ἀλλ' ἔν γε τῷ περὶ τὴν Ῥώμην ἀγῶνι, πάντων γενομένῳ μεγίϛῳ καὶ τελευταίῳ, Σύλλας μὲν ἡττήθη, τῶν κατ' αὐτὸν ὠσθέντων, ἐνίων δὲ καὶ συντριβέντων·

Κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων ἐνίκησε, καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους, ἔπεμψε πρὸς Σύλλαν, δεῖπνον αἰτῶν τοῖς ςρατιώταις, καὶ τὸ κατόρθωμα φράζων. Ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι πάλιν κακῶς ἤκουσεν, ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα, καὶ δωρεὰς αἰτῶν. Ἐν δὲ Βρεττίοις λέγεται καὶ προγράψαι τινὰ, οὐ Σύλλα κελεύσαντος, ἀλλ' ἐπὶ χρηματισμῷ· δι' ὃ καὶ Σύλλαν καταγνόντα, πρὸς μηδὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. Καίτοι δεινότατος ἦν Κράσσος πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι, πάλιν δ' αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. Ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα, μάλιστα μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους.

Ζ. Ἠνία δὲ Πομπήϊος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις, καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν, θριαμβεύων, καὶ Μάγνος, ὅπερ ἐςὶ μέγας, ὑπὸ τῶν πολιτῶν ἀναγορευθείς. Καί ποτε φήσαντός τινος, ὡς Πομπήϊος Μάγνος πρόσεισι, γελάσας ἠρώτησεν, ὡς πηλίκος; Ἀπογνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπεδύετο τὴν πολιτείαν, σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς, καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου, κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν, ᾗ Πομπήϊος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων ςρατειῶν. Καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. Μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ Πομπηΐου καὶ κράτος ἐν τῇ πόλει, διὰ τὰς ςρατείας· παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ Κράσσου, διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου, φεύγων τὰ πλήθη, καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς, καὶ τῶν δεομένων ὀλίγοις καὶ μὴ πάνυ προθύμως βοηθῶν, ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. Ὁ δὲ Κράσσος ἐνδελεχὲς τὸ χρήσιμον ἔχων, καὶ σπάνιος οὐκ ὢν, οὐδὲ δυσπρόσοδος, ἀλλ' ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγίνετο τῆς ἐκεί-

νου σεμνότητος. Σώματος δ' ἀξίωμα, καὶ λόγου πειθὼ, καὶ προσώπου χάριν ἀγωγὸν ἀμφοτέροις ὁμοίως προσεῖναι λέγουσιν. Οὐ μέντοι πρὸς ἔχθραν τινὰ τὸν Κράσσον, ἢ κακόνοιαν, ἐξήνεγκεν οὗτος ὁ ζῆλος· ἀλλὰ καὶ Πομπηΐῳ καὶ Καίσαρι τιμωμένοις μὲν ὑπὲρ αὐτὸν ἤχθετο, τῇ δὲ φιλοτιμίᾳ ταύτῃ δυσμένειαν, ἢ κακοήθειαν, οὐ συνῆπτε· καίτοι Καῖσαρ, ὑπὸ λῃςῶν ἁλοὺς ἐν Ἀσίᾳ, καὶ φρουρούμενος, ἀνεβόησεν· « Ἡλίκης, ὦ Κράσσε, χαρᾶς ἀπολαύσεις, πυθόμενος τὴν ἐμὴν ἅλωσιν. » Ἀλλ' ὕςερόν γε φιλικῶς ἀλλήλοις προσεφέροντο· καί ποτε τῷ Καίσαρι μέλλοντι μὲν εἰς Ἰβηρίαν ἐξιέναι ςρατηγῷ, χρήματα δ' οὐκ ἔχοντι, τῶν δανειστῶν ἐπιπεσόντων, καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ Κράσσος οὐ περιεῖδεν, ἀλλ' ἀπήλλαξεν, ὑποθεὶς αὑτὸν ἔγγυον τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. Καθόλου δὲ τῆς Ῥώμης εἰς τρεῖς νενεμημένης δυνάμεις, τὴν Πομπηΐου, τὴν Καίσαρος, τὴν Κράσσου (Κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως, καὶ τῷ θαυμαζομένῳ πλέον ἴσχυεν), ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει Πομπήϊον ἐθεράπευε, τὸ δ' ὀξὺ καὶ φερόμενον μετ' εὐχερείας ταῖς Καίσαρος ἐλπίσιν ἐπηκολούθει. Κράσσος δὲ, μέσος ὢν, ἀμφοτέραις ἐχρῆτο, καὶ πλείςας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος, οὔτε φίλος ἦν βέβαιος, οὔτ' ἀνήκεςος ἐχθρὸς, ἀλλὰ ῥᾳδίως καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος, ὥςε πολλάκις μὲν ἀνθρώπων, πολλάκις δὲ νόμων, ἐν ὀλίγῳ φανῆναι τῶν αὐτῶν συνήγορος καὶ ἀντίδικος. Ἴσχυε δὲ χάριτι καὶ φόβῳ, φόβῳ δ' οὐκ ἔλαττον. Ὁ γοῦν πλεῖςα πράγματα παρασχὼν τοῖς καθ' αὑτὸν ἄρχουσι καὶ δημαγωγοῖς, Σικίννιος, πρὸς τὸν εἰπόντα: Τί δὴ μόνον οὐ σπαράττει τὸν Κράσσον, ἀλλὰ παρίησιν αὐτόν· χόρτον ἔχειν ἔφησεν ἐπὶ τοῦ κέρατος. Εἰώθεσαν δὲ Ῥωμαῖοι τὸν κηρύττοντα τῶν βοῶν, ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας, χόρτῳ περιελίσσειν τὸ κέρας.

Η. Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν. Γενομένης δὲ μηνύσεως, οἱ προαισθόμενοι καὶ φθάσαντες, ὀγδοήκοντα δυεῖν δέοντες, ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους, ἐξεπήδησαν. Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο· καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμόνας εἵλοντο τρεῖς, ὧν πρῶτος ἦν Σπάρτακος, ἀνὴρ Θρᾷξ, τοῦ Νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων, καὶ τοῦ γένους Ἑλληνικώτερος. Τούτῳ δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον. Ἡ γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν [οὐκ] εἰς εὐτυχὲς τέλος ἐσομένης δυνάμεως. Ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε.

Θ. Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμενοι ταῦτα μετελάμβανον, ἀποῤῥίψαντες, ὡς ἄτιμα καὶ βάρβαρα, τὰ τῶν μονομάχων. Ἔπειτα Κλωδίου ϛρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης, καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι καὶ χαλεπὴν καὶ στενὴν ἄνοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα· καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ

βαθείας, ὥς' ἄνωθεν ἀνηρτημένας παρὰ τὸ κρημνῶδες ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν, πλὴν ἑνός. Οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα, τελευταῖος ἀπεσώζετο καὶ αὐτός. Ταῦτ' ἠγνόουν οἱ Ῥωμαῖοι· δι' ὃ καὶ περιελθόντες αὐτοὺς, ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ φυγῆς γενομένης, ἔλαβον τὸ ςρατόπεδον. Καὶ προσεγένοντο πολλοὶ τῶν αὐτόθι βοτήρων καὶ ποιμένων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες· ὧν τοὺς μὲν ὥπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο. Δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς ςρατηγὸς, Πούπλιος Βαρῖνος, οὗ πρῶτα μὲν ὑποςρατηγόν τινα Φούριον, ἔχοντα δισχιλίους ςρατιώτας, ἐτρέψαντο συμβαλόντες· ἔπειτα σύμβουλον αὐτοῦ καὶ συνάρχοντα Κοσσίνιον, ἀποςαλέντα μετὰ πολλῆς δυνάμεως, ἐπιτηρήσας ὁ Σπάρτακος λουόμενον περὶ Σαλίνας, μικρὸν ἐδέησε συναρπάσαι. Χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν ἐκράτησε τῆς ἀποσκευῆς· ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων φόνῳ πολλῷ τὸ ςρατόπεδον εἷλεν. Ἔπεσε δὲ καὶ Κοσσίνιος. Αὐτὸν δὲ τὸν ςρατηγὸν ἄλλαις μάχαις πολλαῖς καταγωνισάμενος, τέλος τούς τε ῥαβδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβὼν, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν. Ἐφρόνει δὲ τὰ εἰκότα, καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν ςρατὸν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτὰς ἐπὶ τὰ οἰκεῖα χωρεῖν, τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ' εἰς Γαλατίαν. Οἱ δὲ, πλήθει τε ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν. Οὐκέτ' οὖν τὸ παρ' ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχλει τῆς ἀποςάσεως τὴν σύγκλητον· ἀλλὰ δὴ διὰ φόβον τε καὶ κίνδυνον, ὡς πρὸς ἕνα τῶν δυσκολωτάτων πολέμων καὶ μεγίςων, ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπάτους. Ὧν Γέλλιος μὲν τὸ Γερμανικὸν, ὕβρει καὶ φρονήματι τῶν Σπαρτακείων ἀποσχισθὲν, ἐξαίφνης ἐμπεσὼν ἅπαν διέφθειρε· Λέν-

τλου δὲ τὸν Σπάρτακον μεγάλοις ϛρατοπέδοις περιλαβόντος, ὁρμήσας ὁμόσε, καὶ μάχην συνάψας, ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. Ὠθουμένῳ δ' αὐτῷ πρὸς τὰς Ἄλπεις Κάσσιος, ὁ τῆς περὶ Πάδον Γαλατίας ϛρατηγὸς, ἔχων μυρίους, ἀπήντησε· καὶ γενομένης μάχης κρατηθεὶς, καὶ πολλοὺς ἀποβαλὼν, μόλις αὐτὸς ἐξέφυγε.

Ι. Ταῦθ' ἡ βουλὴ πυθομένη, τοὺς μὲν ὑπάτους πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου ϛρατηγὸν εἵλετο. Καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεϛράτευον τῶν ἐπιφανῶν. Αὐτὸς μὲν οὖν ὑπέμεινε πρὸ τῆς Πικηνίδος, ὡς τὸν Σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος· Μώμιον δὲ πρεσβευτὴν, ἄγοντα δύο τάγματα, κύκλῳ περιέπεμψεν, ἕπεσθαι κελεύσας τοῖς πολεμίοις, συμπλέκεσθαι δὲ μὴ, μηδ' ἀψιμαχεῖν. Ὁ δ', ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι, μάχην θέμενος, ἡττήθη· καὶ πολλοὶ μὲν ἔπεσον, πολλοὶ δ' ἄνευ τῶν ὅπλων φεύγοντες ἐσώθησαν. Ὁ δὲ Κράσσος αὐτόν τε τὸν Μώμιον ἐδέξατο τραχέως, καὶ τοὺς ϛρατιώτας ὁπλίζων αὖθις, ἐγγυητὰς ᾔτει τῶν ὅπλων, ὅτι φυλάξουσι. Πεντακοσίους δὲ τοὺς πρώτους, καὶ μάλιϛα τοὺς τρέσαντας, εἰς πεντήκοντα διανείμας δεκάδας, ἀφ' ἑκάϛης ἀπέκτεινεν ἕνα τὸν κλήρῳ λαχόντα· πάτριόν τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς ϛρατιώταις ἐπανάγων. Καὶ γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεϛι, καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ περὶ τὴν κόλασιν, ἁπάντων θεωμένων. Οὕτω δ' ἐπιϛρέψας τοὺς ἄνδρας, ἦγεν ἐπὶ τοὺς πολεμίους. Ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας εἰς τὴν θάλασσαν· ἐν δὲ [τῷ] πορθμῷ λῃϛρίσι Κιλίσσαις ἐπιτυχὼν, ὥρμησεν ἅψασθαι Σικελίας, καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον, αὖθις ἐκζωπυρῆσαι τὸν δουλικὸν ἐκεῖ πόλεμον, οὔπω πολὺν χρόνον ἀπεσβηκότα, καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. Ὁμολογήσαντες δ' οἱ Κίλικες αὐτῷ, καὶ δῶρα λαβόντες, ἐξηπάτησαν

καὶ ἀπέπλευσαν. Οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθιζε τὸν ςρατὸν εἰς τὴν Ῥηγίνων χεῤῥόνησον. Ἐπελθὼν δ' ὁ Κράσσος, καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμόν· ἅμα καὶ τὴν σχολὴν τῶν ςρατιωτῶν ὑφαιρῶν, καὶ τὴν εὐπορίαν τῶν πολεμίων. Μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος, ςαδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος πεντεκαίδεκα ποδῶν. Ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔςησεν ὕψει καὶ ῥώμῃ θαυμαςόν. Ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον· ὡς δὲ, τῆς λείας ὑπολειπούσης, προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμὸν, καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χεῤῥονήσου, νύκτα νιφετώδη καὶ πνεῦμά τι χειμέριον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατιᾶς περαιῶσαι τὸ τρίτον.

ΙΑ. Ἐφοβήθη μὲν οὖν ὁ Κράσσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Ἐθάῤῥησε δὲ, πολλῶν ἐκ διαφορᾶς ἀποςάντων αὐτοῦ, καὶ ςρατοπεδευσαμένων καθ' αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἥν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν, καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. Τούτους ἐπελθὼν ὁ Κράσσος ἐξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ Σπαρτάκου, καὶ τὴν φυγὴν ἐπιςήσαντος. Γεγραφὼς δὲ τῇ βουλῇ πρότερον, ὡς χρὴ καὶ Λούκουλλον ἐκ Θρᾴκης καλεῖν, καὶ Πομπήϊον ἐξ Ἰβηρίας, μετενόει, καὶ πρὶν ἥκειν ἐκείνους, ἔσπευδε διαπράξασθαι τὸν πόλεμον· εἰδὼς, ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐχ αὑτοῦ, τὸ κατόρθωμα δόξει. Πρῶτον μὲν οὖν διαγνοὺς τοῖς ἀφεστῶσι καὶ κατ' ἰδίαν στρατευομένοις, ὧν ἀφηγοῦντο Γάϊος Καννίκιος καὶ Κάστος, ἐπιθέσθαι, λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε, λαν-

θάνειν κελεύσας πειρᾶσθαι. Οἱ δ' ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν, τὰ κράνη καταμπέχοντες· ὀφθέντες δ' ὑπὸ δυοῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις, ἐκινδύνευσαν, εἰ μὴ Κράσσος, ὀξέως ἐπιφανεὶς, μάχην ἔθετο πασῶν καρτερωτάτην, ἐν ᾗ τριακοσίους ἐπὶ δισχιλίοις καὶ μυρίοις καταβαλὼν, δύο μόνους εὗρε κατὰ νώτου τετρωμένους· οἱ δ' ἄλλοι πάντες ἑςῶτες ἐν τάξει, καὶ μαχόμενοι τοῖς Ῥωμαίοις, ἀπέθανον. Σπαρτάκῳ δὲ, μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα, Κοΐντος τῶν περὶ Κράσσον ἡγεμόνων, καὶ Σκρώφας ταμίας, ἐξαπτόμενοι παρηκολούθουν. Ἐπιςρέψαντος δὲ, γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων, καὶ μόλις τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. Τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. Οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν, οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ' ἤδη καθ' ὁδὸν ὄντες, ἐν τοῖς ὅπλοις περισχόντες, ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους, εἰς ταὐτὸ τῷ Κράσσῳ σπεύδοντες. Ἤδη γὰρ ὁ Πομπήϊος προσιὼν ἀπηγγέλλετο. Καὶ δὴ ἀρχαιρεσιάζοντες ἔφησαν οὐκ ὀλίγοι τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν· ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. Ἐπειγόμενος οὖν διαγωνίσασθαι, καὶ παραστρατοπεδεύσασθαι τοῖς πολεμίοις, ὤρυττε τάφρον· πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. Ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος, ἅπαν παρέταξε τὸ ςράτευμα. Καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος, καὶ εἰπὼν, ὅτι νικῶν μὲν ἔχοι πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον. Ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος, διὰ πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. Τέλος δὲ, φυγόντων τῶν περὶ αὐ-

τὸν, αὐτὸς ἑςὼς, καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη. Κράσσου δὲ τῇ τύχῃ χρησαμένου, καὶ ςρατηγήσαντος ἄριςα, καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα τὴν Πομπηΐου δόξαν. Οἱ γὰρ δια[φυγόντες ἐμ]πεσόντες αὐτῷ διεφθάρησαν· ὥςε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾶ Κράσσος νενίκηκεν, αὐτὸς δὲ τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε. Πομπήϊος μὲν οὖν ἀπὸ Σερτωρίου καὶ Ἰβηρίας ἐπιφανῶς ἐθριάμβευσε. Κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ᾽ αὐτὸς αἰτεῖν ἐπεχείρησεν· ἐδόκει δὲ καὶ τὸν πεζὸν, Ὀούαν δὲ καλούμενον, ἀγεννῶς καὶ παρ᾽ ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεῦσαι. Τί δ᾽ οὗτος ἐκείνου διαφέρει, περὶ τῆς κλήσεως, ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.

ΙΒ. Μετὰ δὲ ταῦτα τοῦ Πομπηΐου αὐτόθεν ἐπὶ τὴν ὑπατείαν καλουμένου, ἐλπίδας ἔχων ὁ Κράσσος συνάρξειν, ὅμως οὐκ ὤκνησε τοῦ Πομπηΐου δεηθῆναι. Δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος (ἐπεθύμει γὰρ ἀμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν Κράσσον), ἐσπούδασε προθύμως· καὶ τέλος εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἕξει χάριν, ἢ περὶ τῆς ἀρχῆς. Οὐ μὴν ἔμειναν ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταςάντες· ἀλλ᾽ ὀλίγου δεῖν περὶ πάντων διαφερόμενοι, καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες, ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν· πλὴν ὅτι Κράσσος Ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος, εἱςίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν, καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. Ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης, ἔτυχον μὲν ἐκκλησιάζοντες· ἀνὴρ δέ τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς Ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης, Ὀνάτιος Αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προελθὼν, ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην· « Ὁ γὰρ Ζεὺς (ἔφη) μοι φανεὶς, προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιίδητε τοὺς

ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους γενέσθαι.» Ταῦτα λέγοντος τοῦ ἀνθρώπου, καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν Πομπήϊος ἡσυχίαν ἦγεν ἑστὼς, ὁ δὲ Κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος· « Οὐδὲν (εἶπεν), ὦ ἄνδρες, οἶμαι, πολῖται, ταπεινὸν πράττειν, οὐδ' ἀνάξιον ἐμαυτοῦ, καταρχόμενος εὐνοίας καὶ φιλίας πρὸς Πομπήϊον, ὃν ὑμεῖς μήπω γενειῶντα Μέγαν ἀνηγορεύσατε, καὶ μήπω μετέχοντι βουλῆς ἐψηφίσασθε θρίαμβον.»

ΙΓ. Ἡ μὲν οὖν ὑπατεία τοῦ Κράσσου ταῦτ' ἔσχεν ἄξια μνήμης. Ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν (οὔτε γὰρ βουλῆς ἐξέτασιν, οὔθ' ἱππέων ἐπίσκεψιν, οὔτ' ἀποτίμησιν πολιτῶν ἐποιήσατο), καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν πρᾳότατον, Λουτάτιον Κάτλον. Ἀλλὰ φασὶν, ἐπὶ δεινὸν ὁρμήσαντι τῷ Κράσσῳ πολίτευμα καὶ βίαιον, Αἴγυπτον ποιεῖν ὑποτελῆ Ῥωμαίοις, ἀντιβῆναι τὸν Κάτλον ἐῤῥωμένως· ἐκ δὲ τούτου γενομένης διαφορᾶς, ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. Ἐν δὲ τοῖς περὶ Κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν Ῥώμην, ἥψατο μέν τις ὑπόνοια τοῦ Κράσσου, καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας· οὐδεὶς δ' ἐπίςευσεν. Ὅμως δ' ὁ Κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν Κράσσῳ καὶ Καίσαρι τὴν αἰτίαν προστριβόμενος. Ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. Ἐν δὲ τῷ Περὶ ὑπατείας ὁ Κικέρων νύκτωρ φησὶ τὸν Κράσσον ἀφικέσθαι πρὸς αὐτὸν, ἐπιςολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, καὶ ζητουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. Ὁ δ' οὖν Κράσσος ἀεὶ μὲν ἐμίσει τὸν Κικέρωνα διὰ τοῦτο· τοῦ δὲ βλάπτειν ἀναφανδὸν, ἐμποδὼν εἶχε τὸν υἱόν. Ὁ γὰρ Πόπλιος, ὢν φιλολόγος καὶ φιλομαθὴς, ἐξήρτητο τοῦ Κικέρωνος· ὥστε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἐσθῆτα κρινομένῳ, καὶ τοὺς ἄλλους νέους ταὐτὰ ποιοῦντας παρασχεῖν. Τέλος δὲ τὸν πατέρα πείσας φίλον ἐποίησεν.

ΙΔ. Ὁ δὲ Καῖσαρ, ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας, παρασκευαζόμενος ὑπατείαν μετιέναι, καὶ Κράσσον ὁρῶν καὶ Πομπήϊον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε, θατέρου δεηθεὶς, ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον, οὔτε, μηδετέρου συνεργοῦντος, ἤλπιζε κατορθώσειν. Ἔπραττεν οὖν διαλλαγὰς αὐτοῖς, προσκείμενος ἀεὶ, καὶ διδάσκων, ὡς καταλύοντες ἀλλήλους αὔξουσι Κικέρωνας καὶ Κάτλους καὶ Κάτωνας· ὧν οὐδεὶς λόγος, ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταυτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας, ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. Πείσας δὲ καὶ διαλλάξας, συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον, ᾗ κατέλυσε Ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον, οὐκ ἐκείνους δι᾽ ἀλλήλων μείζονας, ἀλλὰ δι᾽ ἐκείνων ἑαυτὸν μέγιστον ἀπεργασάμενος. Εὐθὺς γὰρ αἱρεθεὶς ὑπ᾽ ἀμφοτέρων, ὕπατος ἀπεδείχθη λαμπρῶς. Ὑπατεύοντι δ᾽ αὐτῷ καλῶς ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν, καὶ Γαλατίαν ἐγχειρίσαντες, ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν, οἰόμενοι καθ᾽ ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους, ἐκείνῳ βεβαιοῦντες, ἣν ἔλαχεν, ἀρχήν. Πομπήϊος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου ταῦτ᾽ ἔπρασσε· τῶν δὲ Κράσσου νοσημάτων τὸ ἀρχαῖον, ἡ φιλοπλουτία, καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον, ἐπὶ ταῖς Καίσαρος ἀριστείαις, τροπαίων καὶ θριάμβων, ὥστε [μὴ] μόνοις ἐλαττοῦσθαι [τούτοις], προὔχοντα τοῖς ἄλλοις ἑαυτὸν, οὐκ ἀνῆκεν, οὐδ᾽ ἐλώφησε, πρὶν εἰς ὄλεθρον ἀκλεῆ καὶ δημοσίας συμφορὰς τελευτῆσαι. Καίσαρος γὰρ εἰς Λοῦκαν πόλιν ἐκ Γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ Ῥωμαίων ἀφίκοντο, καὶ Πομπήϊος καὶ Κράσσος ἰδίᾳ συγγενόμενοι πρὸς αὐτὸν, ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων, καὶ πᾶσαν ὑφ᾽ ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν· Καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος, ἄλλας δ᾽ ἐπαρχίας καὶ στρατεύματα Πομπηΐου καὶ Κράσσου λαβόντων. Ἐνταῦθα δ᾽ ὁδὸς ἦν μία, δευτέρας ὑπατείας αἴτησις· ἣν μετιόντων ἐκείνων,

ἔδει συμπράττειν Καίσαρα, τοῖς τε φίλοις γράφοντα, καὶ τῶν ςρατιωτῶν πέμποντα πολλοὺς ἀρχαιρεσιάσοντας.

ΙΕ. Ἐπὶ τούτοις οἱ περὶ Κράσσον εἰς Ῥώμην ἐπανελθόντες, εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος, οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. Ἐν δὲ τῇ βουλῇ Μαρκελλίνου καὶ Δομιτίου Πομπήϊον ἐρωτώντων, εἰ μέτεισιν ὑπατείαν, ἀπεκρίνατο, τυχὸν μὲν μετιέναι, τυχὸν δὲ μὴ μετιέναι. Καὶ πάλιν ἐρωτώμενος, ἔφη μετιέναι τοῖς δικαίοις πολίταις, μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. Τούτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ Κράσσος εἶπεν, εἰ τῇ πόλει συμφέρει μετιέναι τὴν ἀρχήν· εἰ δὲ μὴ, πεπαύσεσθαι. Διὸ καί τινες ἐθάῤῥησαν ὑπατείαν μετελθεῖν· ὧν ἦν καὶ Δομίτιος. Γενομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες ἀπέςησαν· Δομίτιον δὲ Κάτων, οἰκεῖον ὄντα καὶ φίλον, ἐθάῤῥυνεν, ἐγκελευόμενος καὶ παρορμῶν ἔχεσθαι τῆς ἐλπίδος, ὡς ὑπερμαχοῦντα τῆς κοινῆς ἐλευθερίας· οὐ γὰρ ὑπατείας Πομπήϊον δεῖσθαι καὶ Κράσσον, ἀλλὰ τυραννίδος, οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ ςρατοπέδων εἶναι τὰ πραττόμενα. Ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ Κάτων, μονονοὺ βίᾳ προῆγεν εἰς ἀγορὰν τὸν Δομίτιον, καὶ συνίςαντο πολλοὶ πρὸς αὐτούς. Καὶ τὸ θαυμάζον οὐκ ὀλίγον ἦν, « Τί δὴ δευτέρας οὗτοι χρήζουσιν ὑπατείας; τί δὲ πάλιν μετ' ἀλλήλων; τί δ' οὐ μεθ' ἑτέρων; πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν, οὐκ ἀνάξιοι δήπου Κράσσῳ καὶ Πομπηΐῳ συνάρχειν. » Ἐκ τούτου δείσαντες οἱ περὶ Πομπήϊον, οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων. Ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις, λόχον ὑφέντες τῷ Δομιτίῳ, νυκτὸς ἔτι μετὰ τῶν ἄλλων κατερχομένῳ, κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ, συντιτρώσκουσι δὲ πολλούς· ὧν ἦν καὶ Κάτων. Τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους, ἀνηγορεύθησαν ὕπατοι·

καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ οἴκημα, καὶ τὸν Κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες, καί τινας ὑποςάντας ἀποκτείναντες, Καίσαρι μὲν ἄλλην ἐπέδοσαν πενταετίαν τῆς ἀρχῆς, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο Συρίαν, καὶ Ἰβηρίας συναμφοτέρας. Κληρουμένων δὲ, Συρίαν ἔλαχε Κράσσος, τὰ δ' Ἰβηρικὰ Πομπήϊος.

Ις. Ἦν δ' οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. Οἵ τε γὰρ πολλοὶ Πομπήϊον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο, καὶ Πομπήϊος ἐρῶν τῆς γυναικὸς, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε. Κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος· ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν, πρὸς δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λέγειν, παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς, ἢ σοβαρὸς τῷ βίῳ γεγονώς. Τότε δ' ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος, οὐ Συρίαν, οὐδὲ Πάρθους ὅρον ἐποιεῖτο τῆς εὐπραξίας, ἀλλ' ὡς παιδιὰν ἀποφανῶν τὰ Λουκούλλου πρὸς Τιγράνην, καὶ Πομπηΐου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. Καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ ὁ Παρθικὸς πόλεμος οὐ προσῆν. Ἤδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτον Κράσσος ἐπτόητο· καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ, τὴν ὁρμὴν ἐπαινῶν, καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. Ἐπεὶ δὲ δημαρχῶν Ἀτήϊος ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι, καὶ συνίσταντο πολλοὶ, χαλεπαίνοντες εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ' ἐνσπόνδοις, πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος ἐδεήθη Πομπηΐου παραγενέσθαι, καὶ συμπροπέμψαι. Μέγα γὰρ ἦν ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα· καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι καὶ καταβοᾶν, ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ κατεπράϋνεν ὁ Πομπήϊος, ὥσθ' ὑπείκειν

σιωπῇ δι᾽ αὐτῶν προϊοῦσιν. Ὁ δ᾽ Ἀτήϊος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. [Τῶν] ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης ἀνῆκε τὸν Κράσσον· ὁ δ᾽ Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην· καὶ τοῦ Κράσσου γενομένου κατ᾽ αὐτὴν, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπηρᾶτο δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινοὺς δέ τινας θεοὺς καὶ ἀλλοκότους ἐπ᾽ αὐταῖς καλῶν καὶ ὀνομάζων. Ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιὰς τοιαύτην ἔχειν δύναμιν, ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς· κακῶς δὲ πράσσειν καὶ τὸν χρησάμενον· ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτὰς, οὐδ᾽ ὑπὸ πολλῶν ἀρᾶσθαι. Καὶ τότ᾽ οὖν ἐμέμφοντο τὸν Ἀτήϊον, εἰ δι᾽ ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε καὶ δεισιδαιμονίαν τοσαύτην.

ΙΖ. Ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. Ἔτι δ᾽ ἀστάτου οὔσης χειμῶνι τῆς θαλάσσης, οὐ περιέμεινεν, ἀλλ᾽ ἀνήχθη, καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε. Τὴν δ᾽ ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας. Εὑρὼν δὲ τὸν βασιλέα Δηϊόταρον, πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν, εἰπών· « Ὦ βασιλεῦ, δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ; » Γελάσας δ᾽ ὁ Γαλάτης· « Ἀλλ᾽ οὐδ᾽ αὐτὸς (εἶπεν), ὦ αὐτοκράτορ, ὡς ὁρῶ, πρωῒ λίαν ἐπὶ Πάρθους ἐλαύνεις. » Ἦν δ᾽ ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων, πρεσβύτερος δὲ τὴν ὄψιν, ἢ καθ᾽ ἡλικίαν. Ἀφικόμενον δ᾽ αὐτὸν ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. Καὶ γὰρ ἔζευξε ῥαδίως τὸν Εὐφράτην, καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς, καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν, ἑκουσίως προσθεμένας. Ἐν μιᾷ δ᾽, ἧς Ἀπολλώνιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς καὶ κρατήσας, διήρπασε

τὰ χρήματα, καὶ τοὺς ἀνθρώπους ἀπέδοτο. Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. Ἐπὶ ταύτης ἁλούσης δεξάμενος αὐτοκράτωρ ὑπὸ τῆς ςρατιᾶς ἀναγορευθῆναι, πολλὴν ὦφλεν αἰσχύνην, καὶ ταπεινὸς ἐφάνη, καὶ περὶ τὰ μείζονα δύσελπις, οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. Ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοὶ, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων, καὶ δεξόμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριςείοις, καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα. Τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος, μετά γε τὴν ςρατείαν αὐτὴν μέγιςον ἁμάρτημα τῶν γενομένων, ὅτι, πρόσω χωρεῖν δέον, ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς. Ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ᾐτιῶντο, χρηματιςικὰς μᾶλλον οὔσας, ἢ ςρατηγικάς. Οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασιῶν ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πόλεων ἐκλογιζόμενος, καὶ τὰ χρήματα τῆς ἐν Ἱερᾷ πόλει θεοῦ ςαθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος ἐπὶ πολλὰς ἡμέρας· ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυναςείαις ςρατιωτῶν καταλόγους, εἶτ' ἀνιεὶς ἀργύριον διδόντας, ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. Γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ ταύτης, ἣν οἱ μὲν Ἀφροδίτην, οἱ δὲ Ἥραν, οἱ δὲ τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν καὶ φύσιν νομίζουσι, καὶ τὴν πάντων εἰς ἀνθρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. Ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος, εἶτ' ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος.

ΙΗ. Ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. Ἔφασαν γὰρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ ςρατὸς ἀπέςαλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον· εἰ δὲ τῆς πα-




ΑΡΣΑΚΗΣ ΟΡΩΔΗΣ

(Πλουτάρχ. ΥΡΩΔΗΣ)

ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ. ΒΙΒΛΙΟΘ.

ΒΙΒΛΙΟΘΗΚΗ
Μ. ΘΑΛΑΣΣΗΣ

Σελ. 316. Τ. 5.

τρίδος ἀκούσης, ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν ὅπλα Πάρθοις ἐπενήνοχε, καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην· καὶ τὸ μὲν Κράσσου γῆρας οἰκτείρειν, ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον, ἢ φρουροῦντας. Πρὸς ταῦτα Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων, Οὐαγίσης, καὶ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον· « Ἐντεῦθεν (εἶπεν), ὦ Κράσσε, φύσονται τρίχες πρότερον, ἢ σὺ ὄψει Σελεύκειαν. » Οὗτοι μὲν οὖν ἀπήλαυνον ὡς βασιλέα Ὑρώδην, πολεμητέα φράσοντες. Ἐκ δὲ τῶν πόλεων, ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως τινὲς διεκπεσόντες, ἄξια φροντίδων ἀπήγγελλον, αὐτόπται μὲν γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων, καὶ τῶν ἀγώνων, οὓς ἠγωνίσαντο προσμαχόμενοι ταῖς πόλεσιν· οἷα δὲ φιλεῖ, πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν οἱ ἄνδρες διώκοντες, ἄληπτοι δὲ φεύγοντες, βέλη δὲ καινὰ προθέοντα τῆς ὄψεως, καὶ πρὶν ὀφθῆναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος· τῶν δὲ καταφράκτων ὅπλα, τὰ μὲν διὰ παντὸς ὠθεῖσθαι, τὰ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. Ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπέπιπτε. Πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους, οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε, καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι μακρὰν ὁδὸν ἔσεσθαι, καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ᾽ ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων· ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον, αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. Τούτων ἦν Κάσσιος ὁ ταμίας. Ἡσυχῇ δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. Ἀλλ᾽ οὔτε τούτοις προσεῖχεν, οὔτε τοῖς ἕτερόν τι, πλὴν ἐπείγεσθαι, παραινοῦσιν.

ΙΘ. Οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης, ὁ Ἀρμενίων βασιλεὺς, ἐπέῤῥωσεν. Ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. Καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως. Ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους, καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. Ἔπειθε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν· οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιὰν, αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους συνεχεῖς, καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ἣ μόνη Πάρθων ἀλκὴ, προβαλλόμενον. Ὁ δὲ τὴν [μὲν] προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας οὐ μετρίως ἠγάπησε· βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. Ὁ μὲν οὖν Ἀρμένιος ἐπὶ τούτοις ἀπήλαυνε. Τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιεῤῥήγνυντο, πολλὰ δὲ καὶ ἤστραπτεν ἐναντία τῷ στρατῷ. Πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον, ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέῤῥηξε πολλὰ καὶ συνέτριψεν. Ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος, οὗ στρατοπεδεύειν ἔμελλεν. Ἵππος δὲ τῶν στρατηγικῶν, ἐπιφανῶς κεκοσμημένος, βίᾳ συνεπισπάσας τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον ὑποβρύχιος ἠφανίσθη. Λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶτος, ἀρθεὶς ἀπὸ ταυτομάτου μεταστραφῆναι. Πρὸς δὲ τούτοις συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις, πρῶτα πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα, καὶ προτίθενται τοῖς νέκυσιν· αὐτοῦ τε Κράσσου δημηγοροῦντος ἐξέπεσε φωνὴ, δεινῶς συγχέασα τὸν στρατόν. Ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. Καὶ δέον, ὡς ᾔσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπ' αὐθαδείας. Τέλος δὲ τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο, καὶ τὰ σπλάγχνα τοῦ μάντεως




ΕΚ ΤΗΣ ΕΝ ΠΑΡΙΣ. ΑΥΤΟΚΡ.ΒΙΒΛΙΟΘΗΚΗΣ

Σελ. 318 . Τ.ος 3

ΒΙΒΛΙΟΘΗΚΗ



αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. Ἐφ' ᾧ καὶ μάλιστα δυσχεραίνοντας ἰδὼν τοὺς παρόντας ἐμειδίασε, καὶ, « Τοιοῦτον (ἔφη), τὸ γῆρας· ἀλλὰ τῶν γε ὅπλων οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας. »

Κ. Ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν, ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα, καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς, ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. Τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες ἤγγελλον, ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν, ἵππων δ' ἐντετυχηκέναι πολλῶν ἴχνεσιν, οἷον ἐκ μεταβολῆς ὀπίσω διωκομένων. Ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν, καὶ τοῖς ςρατιώταις παντάπασι τῶν Πάρθων παρέςη καταφρονεῖν, ὡς οὐκ ἀφιξομένων εἰς χεῖρας. Ὅμως δ' οἱ περὶ Κάσσιον αὖθις διελέγοντο τῷ Κράσσῳ, καὶ παρῄνουν, μάλιςα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον· εἰ δὲ μὴ, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν. Εὐπορίαν γὰρ τὰ σιτηγὰ τῆς ἀγορᾶς παρέξειν, ἅμα συγκαταίροντα πρὸς τὸ ςρατόπεδον, καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν σχόντας, ἀπ' ἴσης ἀεὶ πρὸς ἐναντίους μαχεῖσθαι τοὺς πολεμίους.

ΚΑ. Ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων, Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνὴρ, καὶ πάντων, ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακὰ, μέγιςον αὐτοῖς καὶ τελεώτατον γενόμενος· τοῦτον δ' ᾔδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεςρατευμένων ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας, καὶ δόξαντα φιλορώμαιον εἶναι. Τότε δ' ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως ςρατηγῶν, εἰ δύναιτο παραπέμψας αὐτὸν ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ἠπείρων, εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς περιελαυνόμενον. Πάντα γὰρ διενοοῦντο μᾶλλον, ἢ κατὰ στόμα

συμφέρεσθαι Ῥωμαίοις. Ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος (ἦν δὲ καὶ πιθανὸς εἰπεῖν), Πομπήϊον μὲν ὡς εὐεργέτην ἐπῄνει· Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας, ἐμέμφετο τῆς διατριβῆς, μέλλοντα καὶ παρασκευαζόμενον, ὥσπερ ὅπλων αὐτῷ δεῆσον, οὐ χειρῶν, οὐδὲ ποδῶν τῶν ταχίςων, ἐπ᾽ ἀνθρώπους, οἳ πάλαι ζητοῦσιν, ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων, εἰς Σκύθας, ἢ Ὑρκανοὺς, ἀναπτάσθαι. « Καίτοι μάχεσθαι μέλλοντας (ἔφη) σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταὐτῷ γενέσθαι τὴν δύναμιν, ἀναθαῤῥήσαντος βασιλέως. Ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης, ἐφ᾽ αὑτοὺς ἀναδεξάμενοι τὴν δίωξιν· ὁ δ᾽ οὐδαμῆ φανερός ἐςι. » Ταῦτα δ᾽ ἦν ψευδῆ πάντα. Διχῆ γὰρ εὐθὺς Ὑρώδης διελὼν τὴν δύναμιν, αὐτὸς μὲν Ἀρμενίαν ἐπόρθει, τιννύμενος Ἀρταουάσδην· Σουρήναν δ᾽ ἀφῆκεν ἐπὶ Ῥωμαίους, οὐχ ὑπερφροσύνῃ χρώμενος, ὡς ἔνιοί φασιν. Οὐ γὰρ ἦν ἂν τοῦ αὐτοῦ, Κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν, ἄνδρα Ῥωμαίων πρῶτον, Ἀρταουάσδῃ δὲ προσπολεμεῖν, καὶ τὰς Ἀρμενίων ἐπιόντα χώρας ἐξαιρεῖν· ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν ἐφεδρεύσιν καὶ καραδοκεῖν τὸ μέλλον· Σουρήναν δὲ προκαθεῖναι πειρασόμενον μάχης, καὶ περιέλξοντα τοὺς πολεμίους. Οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ Σουρήνας, ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ μετὰ βασιλέα δεύτερος, ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν κατ᾽ αὐτὸν ἐν Πάρθοις πρῶτος· ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, ὡς οὐδεὶς ἕτερος. Ἐξήλαυνε δὲ καθ᾽ ἑαυτὸν ἀεὶ χιλίαις σκευοφορούμενος καμήλοις, καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων· ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον. Εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς, ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. Κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο βασιλεῖ γινομένῳ Πάρθων ἐπιτιθέναι τὸ διάδημα πρῶτος. Ὑρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον εἰς Πάρθους κατήγαγε, καὶ

Σελεύκειαν

Σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε, πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιςάντας. Οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ᾽ ἐκεῖνον τὸν χρόνον, εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίςην· οἷς οὐχ ἥκιςα καὶ τὸν Κράσσον ἔσφηλε, διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχείρωτον γενόμενον.

ΚΒ. Τότ᾽ οὖν ὁ βάρβαρος, ὡς ἔπεισεν αὐτὸν, ἀποσπάσας τοῦ ποταμοῦ, διὰ μέσων ἦγε τῶν πεδίων, ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον, εἶτα μοχθηρὰν, ἄμμου βαθείας ὑποδεχομένης, καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων, καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων. Ὥςε μὴ μόνον δίψει καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν· ἀλλὰ καὶ τὸ τῆς ὄψεως ἀπαραμύθητον ἀθυμίαν παρεῖχεν, οὐ φυτὸν ὁρῶσιν, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος, οὐ πόαν διαβλαςάνουσαν, ἀλλ᾽ ἀτεχνῶς πελάγιόν τι χεῦμα θινῶν *τινων* ἐρήμων περιεχόντων τὸν ςρατόν. Ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος. Ἐπεὶ δὲ καὶ παρ᾽ Ἀρταουάσδου τοῦ Ἀρμενίου παρῆσαν ἄγγελοι, φράζοντες, ὡς πολλῷ συνέχοιτο πολέμῳ, ῥυέντος ἐπ᾽ αὐτὸν Ὑρώδου, καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ Κράσσῳ, μάλιςα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετ᾽ Ἀρμενίων, ὁμοῦ διαγωνίσασθαι πρὸς τὸν Ὑρώδην· εἰ δὲ μὴ, πορεύεσθαι καὶ στρατοπεδεύειν ἀεὶ τὰ ἱππάσιμα φεύγοντα, καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς. Κράσσος μὲν, οὐδὲν ἀντιγράψας ὑπ᾽ ὀργῆς καὶ σκαιότητος, ἀπεκρίνατο, νῦν μὲν Ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ᾽ ἀφίξεσθαι δίκην ἐπιθήσων Ἀρταουάσδῃ τῆς προδοσίας. Οἱ δὲ περὶ Κάσσιον αὖθις ἠγανάκτουν· καὶ Κράσσον μὲν ἀχθόμενον αὐτοῖς ἐπαύσαντο νουθετοῦντες, ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν· « Τίς σε δαίμων πονηρὸς, ὦ κάκιςε ἀνθρώπων, ἤγαγε πρὸς ἡμᾶς; τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας Κράσσον, εἰς ἐρημίαν ἀχανῆ

καὶ βύθιον ἐκχέαντα τὴν ςρατιὰν, ὁδὸν ὁδεύειν Νομάδι λῃςάρχῃ μᾶλλον, ἢ Ῥωμαίων αὐτοκράτορι προσήκουσαν;» Ὁ δὲ βάρβαρος, ἀνὴρ ὢν ποικίλος, ἐκείνους μὲν ὑποπίπτων ἐθάῤῥυνε, καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι. Τοὺς δὲ ςρατιώτας, ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος· « Ὑμεῖς δὲ διὰ Καμπανίας ὁδεύειν οἴεσθε, κρήνας καὶ νάματα, καὶ σκιὰς, καὶ λουτρὰ δηλαδὴ καὶ πανδοκεῖα ποθοῦντες; οὐ μέμνησθε δὲ τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν; » Οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς Ῥωμαίους, καὶ, πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν, ἀφίππευσεν, οὐ λαθὼν τὸν Κράσσον, ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων.

ΚΓ. Λέγεται δὲ, τῆς ἡμέρας ἐκείνης τὸν Κράσσον, οὐχ ὥσπερ ἔθος ἐςὶ Ῥωμαίων ςρατηγοῖς, ἐν φοινικίδι προελθεῖν, ἀλλ' ἐν ἱματίῳ μέλανι· καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα. Τῶν δὲ σημαιῶν ἐνίας μόλις, ὥσπερ πεπηγυίας, πολλὰ παθόντας ἀνελέσθαι τοὺς φέροντας. Ὧν ὁ Κράσσος καταγελῶν ἐπετάχυνε τὴν πορείαν, προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι· πρίν γε δὴ τῶν ἐπὶ κατασκοπὴν ἀποςαλέντων ὀλίγοι προσπελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν. Ἐπιέναι δὲ μαχουμένους πλήθει πολλῷ καὶ θάρσει τοὺς ἄνδρας. Ἅπαντες μὲν οὖν ἐθορυβήθησαν, ὁ δὲ Κράσσος ἐξεπλάγη παντάπασι, καὶ διὰ σπουδῆς οὐ πάνυ καθεςηκὼς παρέταττε· πρῶτον μὲν, ὡς οἱ περὶ Κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν ἐπὶ πλεῖςον ἀνάγων τοῦ πεδίου, πρὸς τὰς κυκλώσεις, τοὺς δ' ἱππεῖς διανέμων τοῖς κέρασιν. Ἔπειτα μετέδοξε, καὶ συναγαγὼν, ἀμφίςομον ἐποίησε καὶ βαθὺ πλινθίον, εἰς δώδεκα σπείρας προερχομένης τῶν πλευρῶν ἑκάςης. Παρὰ δὲ σπεῖραν ἴλην ἱππέων ἔταξεν, ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας,

ἀλλὰ πανταχόθεν ὁμαλῶς προσφέροιτο πεφραγμένος. Τῶν δὲ κεράτων τὸ μὲν Κασσίῳ, τὸ δὲ τῷ νέῳ Κράσσῳ παρέδωκεν, αὐτὸς δ' εἰς μέσον κατέστη. Καὶ προάγοντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται Βάλισσος, οὐ πολὺ μὲν ἄλλως, οὐδ' ἄφθονον, ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανὲν, ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τὴν ἄλλην ἐπίπονον καὶ ἄνυδρον πορείαν. Οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους καὶ νυκτερεύσαντας, καὶ πυθομένους, ἐφ' ὅσον οἷόν τε, πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς. Κράσσος δὲ, τῷ παιδὶ καὶ τοῖς περὶ αὐτὸν ἱππεῦσιν ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν ἐπαρθεὶς, ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. Καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι καλῶς, ἦγεν οὐ σχέδην, οὐδ' ὡς ἐπὶ μάχην, διαναπαύων· ἀλλ' ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ, μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι, παρὰ δόξαν οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς Ῥωμαίοις. Τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις Σουρήνας, τὴν δὲ λαμπρότητα κατέκρυπτε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κελεύσας. Ὡς δ' ἐγγὺς ἐγένοντο, καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. Πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῥόπτρα βυρσοπαγῆ, *καὶ* κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς, ἅμα πολλαχόθεν ἐπιδουποῦσι· τὰ δὲ φθέγγεται βύθιόν τι καὶ δεινὸν, ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμιγμένον· εὖ πως συνεωρακότες, ὅτι τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς, καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ, καὶ μάλιστα ἐξίστησι τὴν διάνοιαν.

ΚΔ. Ἐκπεπληγμένων δὲ τῶν Ῥωμαίων διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς, κράνεσι καὶ θώραξι τοῦ Μαργιανοῦ σιδήρου

ςίλϐοντος ὀξὺ καὶ πυριλαμπές· οἵ θ' ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς σκεπάσμασιν. Ὁ δὲ Σουρήνας μέγιςος καὶ κάλλιςος αὐτὸς, τῇ δὲ κατ' ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους οὐκ ἐοικὼς, ἀλλὰ Μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων Πάρθων ἔτι Σκυθικῶς ἐπὶ τὸ φοϐερὸν τῶν ἀνασίλλων κομώντων. Καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσελαύνοντες ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους. Ὡς δ' ἑώρων τό τε βάθος τοῦ συνασπισμοῦ, καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεςηκὸς, ἀνῆγον ὀπίσω, καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιϐάλλοντες τὸ πλινθίον αὐτῶν. Κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν οὐ πολὺ προῆλθον, ἀλλὰ πολλοῖς τοξεύμασιν ἐντυχόντες, *καὶ* ταχὺ συμπαρέντες, αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις, καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ δέους, ὁρῶσι τὸν τόνον τῶν ὀϊςῶν καὶ τὴν ῥώμην, ὅπλα τε ῥηγνύντων, καὶ διὰ παντὸς φερομένων, ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ ςεγάσματος. Οἱ δὲ Πάρθοι, διαςάντες, ἐκ μήκους ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριϐῆ τοξείαν (ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν Ῥωμαίων οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν), εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποςελλόντων. Ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ Ῥωμαίων· καὶ γὰρ μένοντες ἐν τάξει, συνετιτρώσκοντο, καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν ἴσον ἀπεῖχον, ὁμοίως δ' ἔπασχον. Ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ Πάρθοι, καὶ τοῦτο κράτιςα ποιοῦσι μετὰ Σκύθας· καὶ σοφώτατόν ἐςιν, ἀμυνομένους ἔτι σώζεσθαι, καὶ τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν.

ΚΕ. Ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη σχήσεσθαι μάχης, ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν. Ὡς δ'

ἔγνωσαν, ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ' ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ Κράσσος ἠθύμει· καὶ σκοπεῖν ἐκέλευεν, ἀγγέλους πέμψας πρὸς τὸν υἱὸν, ὅπως προσμίξαι βιάσεται τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι. Μάλιςα γὰρ ἐκείνῳ προσέπιπτον, καὶ περιίππευον τὸ κέρας, ὡς κατὰ νώτου γενησόμενοι. Λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους, ὧν οἱ χίλιοι παρὰ Καίσαρος ἦσαν, καὶ τοξότας πεντακοσίους, καὶ τῶν ἔγγιςα θυρεοφόρων ὀκτὼ σπείρας, περιήγαγεν εἰς ἐμβολήν. Τῶν δὲ Πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες, ὡς ἔνιοί φασιν, εἴτε λαβεῖν τὸν Κράσσον ἀπωτάτω τοῦ πατρὸς ςρατηγοῦντες, ὀπίσω ςρέψαντες ἐδίωκον. Ὁ δὲ βοήσας, ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε, καὶ σὺν αὐτῷ Κηνσωρῖνός τε καὶ Μεγάβακχος, ὁ μὲν εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων, Κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα, καὶ δεινὸς εἰπεῖν, ἑταῖροι δὲ Κράσσου, καὶ παραπλήσιοι καθ' ἡλικίαν. Ἑπισπομένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος. Νικᾷν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὗ πολὺ προελθόντες ᾔσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. Ἐνταῦθα ἔςησαν, οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας, ὀλίγοις οὖσι, τοὺς πολεμίους. Οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς Ῥωμαίοις, τὴν δ' ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες, καὶ συνταράττοντες τὸ πεδίον, ἀνίστασαν ἐκ βυθοῦ θῖνας ἄμμου, κονιορτὸν ἐπαγούσας ἄπλετον, ὡς μήτε διορᾷν ῥαδίως, μήτε φθέγγεσθαι τοὺς Ῥωμαίους, εἰλουμένους δ' ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν οὐ ῥᾴδιον, οὐδ' ὀξὺν θάνατον· ἀλλ' ὑπὸ σπασμοῦ καὶ ὀδύνης δυσανασχετοῦντας, καὶ κυλινδουμένους περὶ τοῖς οἰςοῖς, ἐναποθραύειν τοῖς τραύμασι, βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιςρωμένας ἀκίδας, καὶ δεδυκυίας διὰ φλεβῶν καὶ νεύρων, προσαναῤ-

ῥηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. Οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν· καὶ τοῦ Ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας, καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος, ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι, καὶ πρὸς ἄμυναν. Αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλε μὲν ἐῤῥωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν· ἦν δ' ἄνισος ἔν τε ταῖς πληγαῖς, καὶ τῷ φυλάττεσθαι, παίων μὲν ἀσθενέσι καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν Γαλατῶν. Τούτοις γὰρ ἐθάῤῥει μάλιστα, καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. Τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο, καὶ συμπλεκόμενοι τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. Πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολείποντες ἵππους, καὶ ὑποδυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας· οἱ δ' ἀνεσκίρτων ὑπ' ὀδύνης, καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. Ἐπίεζε δὲ τοὺς Γαλάτας μάλιστα τό τε θάλπος καὶ τὸ δίψος, ἀμφοτέρων ἀήθεις ὄντας· καὶ τῶν ἵππων ἀπολώλεισαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. Ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν Πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. Ἰδόντες δὲ θῖνα βουνώδη πλησίον, ἐχώρουν ἐπ' αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν, ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλήσαντες, ᾤοντο ῥᾷον ἀμυνεῖσθαι τοὺς βαρβάρους. Ἀπέβαινε δὲ τοὐναντίον. Ἐν μὲν γὰρ τῷ ὁμαλῷ τοῖς ὄπισθεν ἁμωσγέπως παρέχουσιν οἱ πρόταχτοι ῥαστώνην· ἐκεῖ δ' ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἀνέχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίροντος, οὐκ ἐδύναντο διαφεύγειν, ἀλλ' ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακ-

τον αὐτῶν τελευτήν. Ἦσαν δὲ περὶ τὸν Πόπλιον ἄνδρες Ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων ἐν Κάῤῥαις, Ἱερώνυμος καὶ Νικόμαχος· οἳ συνέπειθον αὐτὸν ὑπεξελθεῖν μετ᾽ αὐτῶν, καὶ διαφεύγειν εἰς Ἴχνας, πόλιν ᾑρημένην τὰ Ῥωμαίων, καὶ οὐ μακρὰν οὖσαν. Ὁ δὲ φήσας οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς Πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι᾽ αὐτὸν, ἐκείνους μὲν ἐκέλευε σώζεσθαι, καὶ δεξιωσάμενος ἀπέλυσεν· αὐτὸς δὲ, τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος (διελήλατο γὰρ βέλει), τὸν ὑπασπιςὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. Ὁμοίως δὲ καὶ Κηνσωρῖνον ἀποθανεῖν λέγουσι. Μεγάβακχος δ᾽ αὑτὸν διεχρήσατο, καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. Τοὺς δ᾽ ὑπολελειμμένους ἀναβαίνοντες οἱ Πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους. Ζῶντας δ᾽ οὐ πλείονας ἁλῶναι φασὶ πεντακοσίων, τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν Πόπλιον ἀποκείραντες, ἤλαυνον εὐθὺς ἐπὶ τὸν Κράσσον.

Κϛ. Εἶχε δὲ τὰ κατ᾽ αὐτὸν οὕτως. Ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς Πάρθοις, καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοῖς καθ᾽ αὑτὸν οὐκέτι προσκειμένους ὁμοίως (ἐκεῖ γὰρ ἐῤῥύησαν οἱ πλεῖςοι), μικρὸν ἀνεθάῤῥησε, καὶ συναγαγὼν ὑπέςειλεν ἐν χωρίοις προσάντεσι τὸν ςρατὸν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. Τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ Ποπλίου πρὸς αὐτὸν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν, ἐμπεσόντες εἰς τοὺς βαρβάρους, οἱ δ᾽ ὕςεροι, μόγις διαφυγόντες, ἀπήγγελλον οἴχεσθαι τὸν Πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ᾽ ἐκείνου γένοιτο. Τὸν δὲ Κράσσον ἅμα πολλὰ πάθη κατέσχε· καὶ λογισμῷ μὲν οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα, φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα, καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν, τέλος ὥρμησε προάγειν τὴν δύναμιν. Ἐν τούτῳ δ᾽ οἱ πολέμιοι προσεφέροντο, κλαγγῇ καὶ παιᾶνι φοβερώτεροι,

καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς Ῥωμαίους, ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. Οἱ δὲ τὴν κεφαλὴν τοῦ Ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν, ἐγγὺς προσελάσαντες ἀνέδειξαν, ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος. Οὐ γὰρ δὴ πρέπειν γε Κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίςου γενναῖον οὕτω παῖδα καὶ λαμπρὸν ἀρετῇ γενέσθαι. Τοῦτο τὸ θέαμα Ῥωμαίων ὑπὲρ ἅπαντα τἆλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυναν, ὥσπερ ἦν εἰκὸς, ἀλλὰ φρίκης καὶ τρόμου πᾶσιν ἐγγενομένου. Καίτοι τόν γε Κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει φανῆναι λέγουσιν· ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις· « Ἐμὸν, ὦ Ῥωμαῖοι, τοῦτο τὸ πένθος ἴδιόν ἐςιν· ἡ δὲ μεγάλη τύχη καὶ δόξα τῆς Ῥώμης ἐν ὑμῖν ἕςηκε σωζομένοις ἄθραυςος καὶ ἀήττητος. Εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριςον, ἐπιδείξασθε τοῦτ' ὀργῇ πρὸς τοὺς πολεμίους. Ἀφέλεσθε τὴν χαρὰν αὐτῶν· τιμωρήσασθε τὴν ὠμότητα· μὴ καταπλαγῆτε τοῖς γεγενημένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. Οὐδὲ Λούκουλλος Τιγράνην ἀναιμωτὶ καθεῖλεν, οὐδὲ Σκιπίων Ἀντίοχον. Χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ Σικελίαν ἀπώλεσαν, ἐν δ' Ἰταλίᾳ πολλοὺς αὐτοκράτορας καὶ ςρατηγούς· ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων. Οὐ γὰρ εὐτυχίᾳ τὰ Ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωρούντων εἰς τοῦτο προῆλθε δυνάμεως. »

ΚΖ. Τοιαῦτα λέγων καὶ παραθαρσύνων ὁ Κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας, ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ ςρατοῦ τὴν κατήφειαν. Οὕτως ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποιήσαντο· ἡ δὲ παρὰ τῶν βαρβάρων λαμπρὰ καὶ θρασεῖα κατεῖχε. Τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν ἱπποτοξόται πλάγιοι περιελαύνοντες ἐτόξευον· αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρόταχτοι χρώμενοι συνέςελλον εἰς ὀλίγον

τοὺς Ῥωμαίους, πλὴν ὅσοι τὸν ἀπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνήσκοντες ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἱππεῖς, πολλάκις *δὲ* καὶ διὰ δυοῖν ἀνδρῶν ὑπὸ ῥύμης διαπορευόμενον. Οὕτω διαγωνισάμενοι, νυκτὸς ἐπιούσης ἀπηλλάγησαν, εἰπόντες, ὅτι Κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱὸν, ἢν ἄρα μὴ, βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμενος, ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς Ἀρσάκην, ἢ κομισθῆναι. Οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν ἐλπίσι μεγάλαις ἦσαν· νὺξ δὲ χαλεπὴ τοὺς Ῥωμαίους κατελάμβανεν, οὔτε ταφῆς τῶν κειμένων, οὔτε θεραπείας τῶν τετρωμένων καὶ ψυχοῤῥαγούντων ποιουμένους λόγον, ἑκάστου δ' αὑτὸν ἀποκλαίοντος. Ἄφυκτα γὰρ ἐφαίνετο, τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ εἰς πεδίον ἀχανὲς ἐμβαλοῦσιν. Οἵ τε τραυματίαι πολλὴν ἀπορίαν παρεῖχον καὶ κομίζειν, ἐμποδὼν τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ ἀπολείπειν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. Τοῦ δὲ Κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες, ἐπόθουν ὅμως τήν τ' ὄψιν καὶ τὴν φωνήν. Ὁ δὲ, καθ' ἑαυτὸν ἐγκεκαλυμμένος, ὑπὸ σκότους ἔκειτο, παράδειγμα τοῖς πολλοῖς τύχης, τοῖς δ' εὖ φρονοῦσιν ἀβουλίας καὶ φιλοτιμίας· δι' ἣν οὐκ ἠγάπα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ' ὅτι δυεῖν μόνον ἀνδρῶν ὕστερος ἐκρίνετο, τοῦ παντὸς ἀποδεῖν νομίζων. Τότε δ' οὖν αὐτὸν Ὀκταούϊος ὁ πρεσβευτὴς καὶ Κάσσιος ἀνίστασαν καὶ παρεθάῤῥυνον. Ὡς δ' ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας καὶ λοχαγοὺς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν ἄνευ σάλπιγγος, καὶ δι' ἡσυχίας τὸ πρῶτον· εἶτ' αἰσθομένων, ὡς ἀπελείποντο, τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς καὶ βοῆς τὸ στρατόπεδον κατεῖχεν. Ἐκ τούτου

δὲ ταραχὴ καὶ πτοία προϊόντας αὐτοὺς ὑπελάμβανεν, ὡς ἐπιφερομένων τῶν πολεμίων. Καὶ πολλάκις μὲν ἐκτρεπόμενοι, πολλάκις δ' εἰς τάξιν καθιστάμενοι, τῶν δὲ τραυματιῶν ὅσοι παρηκολούθουν, τοὺς μὲν ἀναλαμβάνοντες, τοὺς δ' ἀποτιθέμενοι, διατριβὴν εἶχον, πλὴν τριακοσίων ἱππέων, οὓς Ἰγνάτιος ἔχων προσέμιξε ταῖς Κάῤῥαις περὶ μέσας νύκτας. φθεγξάμενος δὲ Ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε Κοπωνίῳ τῷ ἄρχοντι φράζειν, ὅτι γέγονε μάχη μεγάλη Κράσσῳ πρὸς Πάρθους. Ἄλλο δ' οὐδὲν εἰπὼν, οὐδ' αὐτὸν ὅστις ἦν, ἀπήλαυνεν ἐπὶ τὸ Ζεῦγμα, καὶ διέσωσε μὲν τοὺς σὺν αὐτῷ, κακῶς δ' ἤκουσε, καταλιπὼν τὸν στρατηγόν. Οὐ μὴν ἀλλ' ὤνησέ γε τὸν Κράσσον ἡ προσριφεῖσα τότε τῷ Κοπωνίῳ φωνή· συμφρονήσας γὰρ, ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντος ἐστὶ τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς ἐξοπλίζεσθαι τοὺς στρατιώτας· καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν Κράσσον ἐν ὁδῷ γεγενημένον, ἀπαντήσας, ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν.

ΚΗ. Οἱ δὲ Πάρθοι, νυκτὸς μὲν αἰσθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον, ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐν τῷ στρατοπέδῳ καταλειφθέντας, οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν· ἐν δὲ τῷ πεδίῳ πλανωμένους πολλοὺς ἱππασάμενοι συνέλαβον. Τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέῤῥηξε Βαργοντῖνος ὁ πρεσβευτὴς, ἐκπεσούσας τῆς ὁδοῦ· ἃς περισχόντες ἔν τινι λόφῳ, διέφθειραν ἀμυνομένας, πλὴν ἀνδρῶν εἴκοσι. Τούτους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν θαυμάσαντες, εἶξαν, καὶ διέξοδον ἀπιοῦσι βάδην εἰς τὰς Κάῤῥας ἐδίδοσαν. Τῷ δὲ Σουρήνᾳ προσέπεσε ψευδὴς λόγος, ἐκπεφευγέναι Κράσσον μετὰ τῶν ἀρίστων· τὸν δ' εἰς Κάῤῥας συνεῤῥυηκότα ὄχλον εἶναι σύμμικτον οὐκ ἀξίων σπουδῆς ἀνθρώπων. Οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν, καὶ μαθεῖν

βουλόμενος τἀληθὲς, ὅπως ἢ προσμένων ἐνταῦθα πολιορκοίη, ἢ Κράσσον διώκοι, χαίρειν ἐάσας Καῤῥηνοὺς, ὑποπέμπει τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη, κελεύσας ἱέντα Ῥωμαϊκὴν διάλεκτον καλεῖν Κράσσον αὐτὸν, ἢ Κάσσιον, ὡς Σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. Ταῦτα τοῦ διγλώττου φράσαντος, ὡς ἀπηγγέλη τοῖς περὶ Κράσσον, ἐδέχοντο τὰς προκλήσεις, καὶ μετὰ μικρὸν ἧκον ἀπὸ τῶν βαρβάρων Ἄραβες, οἳ Κράσσον εὖ καὶ Κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ πρὸ τῆς μάχης γεγονότες. Οὗτοι τὸν Κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους, ἔλεγον, ὅτι Σουρήνας σπένδεται, καὶ δίδωσιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι, Μεσοποταμίαν ἐκλιποῦσι· τοῦτο γὰρ ὁρᾷν λυσιτελὲς ἀμφοτέροις πρὸ τῆς ἐσχάτης ἀνάγκης. Δεξαμένου δὲ τοῦ Κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦντος, ἐν ᾧ συνίασι Σουρήνας καὶ Κράσσος, οὕτω φάμενοι ποιήσειν, ἀπήλαυνον.

ΚΘ. Ἡσθεὶς οὖν ὁ Σουρήνας ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς Πάρθους, πολλὰ καθυβρίζοντας, καὶ κελεύοντας, εἰ βούλονται τυχεῖν σπονδῶν Ῥωμαῖοι, Κράσσον ἐγχειρίσαι σφίσι καὶ Κάσσιον δεδεμένους. Οἱ δ' ἤχθοντο μὲν ἠπατημένοι, μακρὰς δὲ καὶ κενὰς τὰς ἀπ' Ἀρμενίων ἐλπίδας καταβάλλειν τῷ Κράσσῳ φράσαντες, εἴχοντο δρασμοῦ· καὶ τοῦτ' ἔδει μηδένα πρὸ καιροῦ Καῤῥηνῶν πυθέσθαι. Πυνθάνεται δ' ὁ πάντων ἀπιστότατος Ἀνδρόμαχος, ὑπὸ Κράσσου καὶ τοῦτο πιστευθεὶς, [καὶ] τῆς ὁδοῦ τὴν ἡγεμονίαν. Οὐδὲν οὖν ἔλαθε τοὺς Πάρθους, ἐξαγγέλλοντος τοῦ Ἀνδρομάχου καθ' ἕκαστον. Ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πάτριον αὐτοῖς ἐστιν, οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νύκτωρ ὁ Κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει, στρατηγῶν ὁ Ἀνδρόμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο, καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία τάφρων μεστὰ τὴν πορείαν, χαλεπὴν καὶ πολυπλανῆ γινομένην τοῖς ἐπισπομένοις.

Ἐγένοντο γάρ τινες, οἳ, μηδὲν ὑγιὲς τὸν Ἀνδρόμαχον ςρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν. Ἀλλὰ Κάσσιος μὲν ἐπανῆλθεν εἰς Κάῤῥας πάλιν· καὶ τῶν ὁδηγῶν (Ἄραβες δ' ἦσαν) ἀναμένειν κελευόντων, ἄχρις ἂν ἡ σελήνη παραλλάξῃ τὸν σκορπίον, Ἀλλ' ἔγωγ', εἰπὼν, ἔτι τούτου μᾶλλον φοβοῦμαι τὸν τοξότην, ἀπήλαυνεν εἰς Ἀσσυρίαν μεθ' ἱππέων πεντακοσίων. Ἄλλοι δὲ, χρησάμενοι πιστοῖς ὁδηγοῖς, ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται Σίννακα, καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. Οὗτοι περὶ πεντακισχιλίους ἦσαν· ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς Ὀκταούϊος. Τὸν δὲ Κράσσον ἡμέρα κατελάμβανεν ἐπιβουλευόμενον ὑπ' Ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. Ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων, ἱππεῖς δὲ παντελῶς ὀλίγοι, καὶ πέντε ῥαβδοῦχοι· μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταςὰς, ἤδη τῶν πολεμίων ἐπικειμένων, ὅσον δώδεκα ςαδίους ἀπολιπὼν τοῦ συμμῖξαι τοῖς περὶ τὸν Ὀκταούϊον, ἐπ' ἄλλον ἀναφεύγει λόφον, οὐχ οὕτω μὲν ἄφιππον, οὐδ' ὀχυρὸν, ὑποκείμενον δὲ τοῖς Σιννάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς τοῦτον. Ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν Ὀκταούϊον ὁ κίνδυνος αὐτοῦ. Καὶ πρῶτος Ὀκταούϊος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν· εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτοὺς ἐπεφέροντο, καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν μέσῳ τὸν Κράσσον, καὶ προὐβάλλοντο τοὺς θυρεοὺς, μεγαληγοροῦντες, ὡς οὐκ ἔςι Πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν.

Λ. Ὁρῶν οὖν ὁ Σουρήνας τούς τε Πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας, καὶ ἢν ἥ τε νὺξ ἐπίσχῃ, καὶ τῶν ὀρῶν οἱ Ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ Κράσσῳ δόλον. Ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων, ἀκηκοότες ἐν τῷ ςρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπί-

τῆδε διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον εἶναι πρὸς Ῥωμαίους, τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι, Κράσσῳ χρησάμενος φιλανθρώπως. Ἔσχοντο δὴ μάχης οἱ βάρβαροι, Σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινε. Καλεῖ δὲ τὸν Κράσσον ἐπὶ συμβάσεις, εἰπὼν, ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως, πρᾳότητα δ' αὐτοῖς καὶ φιλοφροσύνην ἑκὼν ἐπιδείκνυται, σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. Ταῦτα τοῦ Σουρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο, καὶ περιχαρεῖς ἦσαν· ὁ δὲ Κράσσος, οὐδὲν ὅ τι μὴ δι' ἀπάτης ἐσφαλμένος ὑπ' αὐτῶν, καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ' ἐβουλεύετο. Τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλοντα μαχουμένους αὐτοὺς, οἷς αὐτὸς ἀνόπλοις εἰς λόγους οὐ θαῤῥεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι, καὶ λέγειν, ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι δύνανται διὰ νυκτὸς ἰέναι, καὶ τὴν ὁδὸν ἐδείκνυε, καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας ἐγγὺς οὔσης. Ὡς δὲ χαλεπαίνοντες αὐτῷ, καὶ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει· καὶ τοσοῦτον εἶπε μεταστραφείς· « Ὀκταούϊε καὶ Πετρώνιε, καὶ ὅσοι πάρεστε Ῥωμαίων ἄρχοντες, ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην, καὶ σύνιστε παρόντες, ὡς αἰσχρὰ πάσχω καὶ βίαια. Τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες, ὡς Κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν ἀπώλετο. »

ΛΑ. Οὐ μὴν ἔμειναν οἱ περὶ τὸν Ὀκταούϊον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου. Τοὺς δὲ ῥαβδούχους ἑπομένους ὁ Κράσσος ἀπήλλαξε. Πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτῷ, δύο μιξέλληνες· οἳ καὶ προσεκύνησαν τὸν Κράσσον ἀπὸ τῶν ἵππων

ἁλόμενοι, καὶ προσαγορεύσαντες ἑλλάδι φωνῇ, παρεκάλουν προπέμψαι τινὰς, οἷς ἐπιδείξεται Σουρήνας ἑαυτὸν καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. Ὁ δὲ Κράσσος ἀπεκρίνατο μὲν, ὡς, εἰ καὶ τὸν ἐλάχιςον εἶχε τοῦ ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθε· δύο δὲ Ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους, ἐπὶ τίσι καὶ πόσοι συνίασιν. Οὓς εὐθὺς συλλαβὼν ὁ Σουρήνας κατέσχεν, αὐτὸς δὲ μετὰ τῶν ἀρίςων ἱππότης προσήει, καὶ· Τί τοῦτ', ἔφη, πεζὸς ὁ Ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δ' ὀχούμεθα; καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. Τοῦ δὲ Κράσσου φήσαντος, οὔτ' αὐτὸν ἁμαρτάνειν, οὔτ' ἐκεῖνον, ὡς ἑκατέρῳ πατριόν ἐςι ποιουμένους τὴν σύνοδον· εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ Σουρήνας Ὑρώδῃ τε βασιλεῖ καὶ Ῥωμαίοις, δεῖν δὲ γράψασθαι τὰς συνθήκας, ἐπὶ τὸν ποταμὸν προελθόντας. Οὐ γὰρ ὑμεῖς, γ', ἔφη, πάνυ μνήμονες ὁμολογιῶν οἱ Ῥωμαῖοι. Καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. Μεταπεμπομένου δὲ ἵππον, οὐδὲν ἔφη δεῖν· βασιλεὺς γάρ σοι δίδωσι τοῦτον. Ἅμα δ' ἵππος τῷ Κράσσῳ παρέςη χρυσοχάλινος, οἵ τ' ἀναβολεῖς αὐτὸν ἀράμενοι περιεβίβασαν, καὶ παρείποντο πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. Ὀκταούϊος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν, καὶ μετ' ἐκεῖνον εἷς τῶν χιλιάρχων, Πετρώνιος, εἶτα οἱ λοιποὶ περιίςαντο, τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι, καὶ τοὺς πιεζοῦντας Κράσσον ἐξ ἑκατέρου μέρους ἀφέλκοντες. Ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, Ὀκταούϊος μὲν, ἀνασπάσας τὸ ξίφος ἑνὸς τῶν βαρβάρων, κτείνει τὸν ἱπποκόμον. Ἕτερος δὲ τὸν Ὀκταούϊον, ἐκ τῶν ὄπισθεν πατάξας. Πετρώνιος δὲ ὅπλου μὲν οὐκ εὐπόρησεν, εἰς δὲ τὸν θώρακα πληγεὶς, ἀπεπήδησεν ἀπὸ τοῦ ἵππου ἄτρωτος. Τὸν δὲ Κράσσον, ὄνομα Πομαξαίθρης Πάρθος ἀπέκτεινεν. Οἱ δ' οὔ φασιν, ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα· τοῦτον δὲ κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. Εἰκά-

ζεται δὲ ταῦτα μᾶλλον, ἢ γινώσκεται. Τῶν γὰρ παρόντων οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν Κράσσον ἀνηρέθησαν, οἱ δ' εὐθὺς ἀνεπήδησαν ἐπὶ τὸν λόφον. Ἐπελθόντων δὲ τῶν Πάρθων, καὶ λεγόντων, ὅτι Κράσσος μὲν δίκην ἔδωκε, τοὺς δ' ἄλλους κελεύει Σουρήνας κατιέναι θαῤῥοῦντας, οἱ μὲν ἐνεχείρισαν αὑτοὺς καταβάντες· οἱ δὲ τῆς νυκτὸς ἐσπάρησαν, καὶ τούτων ὀλίγοι παντάπασι διεσώθησαν. Τοὺς δ' ἄλλους ἐκθηρεύοντες οἱ Ἄραβες συνελάμβανον καὶ διέφθειρον. Λέγονται δ' οἱ πάντες, δισμύριοι μὲν ἀποθανεῖν, μύριοι δὲ ἁλῶναι ζῶντες.

ΛΒ. Ὁ δὲ Σουρήνας τὴν κεφαλὴν τοῦ Κράσσου καὶ τὴν χεῖρα πρὸς Ὑρώδην ἔπεμψεν εἰς Ἀρμενίαν· αὐτὸς δὲ διαδοὺς λόγον ὑπ' ἀγγέλων εἰς Σελεύκειαν, ὡς ζῶντα Κράσσον ἄγοιτο, παρεσκευάζετο πομπήν τινα γελοίαν, ὕβρει προσαγορεύων θρίαμβον. Ὁ μὲν γὰρ ἐμφερέστατος Κράσσῳ τῶν αἰχμαλώτων, Γάϊος Πακκιανὸς, ἐσθῆτα βαρβαρικὴν γυναικὸς ἐνδὺς, καὶ διδαχθεὶς Κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν, ἐφ' ἵππου καθήμενος ἤγετο· πρὸ αὐτοῦ δὲ σαλπιγκταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις ἤλαυνον. Ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια, καὶ παρὰ τοὺς πελέκεις πρόσφατοι κεφαλαὶ Ῥωμαίων ἀποτετμημέναι. Κατόπιν δ' εἵποντο Σελευκιάδες ἑταῖραι μουσουργοὶ, πολλὰ βωμολόχα καὶ γελοῖα δι' ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρίαν τοῦ Κράσσου λέγουσαι. Ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. Τὴν δὲ γερουσίαν τῶν Σελευκέων ἀθροίσας, εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν, οὔτοι ταῦτά γε καταψευσάμενος. Εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. Τοῖς μέντοι Σελευκέσιν ἐδόκει σοφὸς ἀνὴρ Αἴσωπος εἶναι, τὸν Σουρήναν ὁρῶσι τὴν μὲν τῶν Μιλησιακῶν ἀκολασμάτων πήραν ἐξηρτημένον πρόσωθεν, ὄπισθεν δὲ Παρθικὴν

Σύβαριν ἐφελκόμενον ἐν τοσαύταις παλλακίδων ἁμάξαις, τρόπον τινὰ ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμόρφως, τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ καὶ θηριώδη, δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλομένην, κατ᾽ οὐρὰν δὲ τῆς φάλαγγος εἰς πόρνας καὶ κρόταλα καὶ ψαλμοὺς καὶ παννυχίδας ἀκολάστους μετὰ γυναικῶν τελευτῶσαν. Ψεκτὸς μὲν γὰρ ὁ Ῥούστιος· ἀναιδεῖς δὲ Πάρθοι τὰ Μιλησιακὰ ψέγοντες, ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ Μιλησίων καὶ Ἰωνίδων ἑταιρῶν γεγονότες Ἀρσακίδαι.

ΛΓ. Τούτων δὲ πραττομένων, Ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος Ἀρταουάσδῃ τῷ Ἀρμενίῳ, καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα Πακόρῳ τῷ παιδὶ καθωμολογημένος· ἑστιάσεις τε καὶ πότοι δι᾽ ἀλλήλων ἦσαν αὐτοῖς, καὶ πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς Ἑλλάδος ἀκουσμάτων. Ἦν γὰρ οὔτε φωνῆς, οὔτε γραμμάτων Ὑρώδης Ἑλληνικῶν ἄπειρος. Ὁ δ᾽ Ἀρταουάσδης καὶ τραγῳδίας ἐποίει, καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασώζονται. Τῆς δὲ κεφαλῆς τοῦ Κράσσου κομισθείσης ἐπὶ θύρας, ἐπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι· τραγῳδιῶν δὲ ὑποκριτὴς, Ἰάσων ὄνομα, Τραλλιανὸς, ᾖδεν Εὐριπίδου Βακχῶν τὰ περὶ τὴν Ἀγαύην. Εὐδοκιμοῦντος δ᾽ αὐτοῦ, Σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι, καὶ προσκυνήσας, προὔβαλεν εἰς μέσον τοῦ Κράσσου τὴν κεφαλήν. Κρότον δὲ τῶν Πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων, τὸν μὲν Σιλλάκην κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελεύσαντος· ὁ δ᾽ Ἰάσων, τὰ μὲν τοῦ Πενθέως σκευοποιήματα παρέδωκέ τινι τῶν χορευτῶν, τῆς δὲ τοῦ Κράσσου κεφαλῆς λαβόμενος, καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ᾽ ἐνθουσιασμοῦ καὶ ᾠδῆς·

*Φέρομεν ἐξ ὄρεος ἕλικα*
*Νεότομον ἐπὶ μέλαθρα,*
*Μακάριον θήραμα.*

Καὶ ταῦτα μὲν πάντας ἔτερπεν· ᾀδομένων δὲ τῶν ἐφεξῆς ἀμοιβαίων πρὸς τὸν χορόν·

Α.

Α. Τίς ἐφόνευσεν;

Β. Ἐμὸν, ἐμὸν τὸ γέρας·

ἀναπηδήσας ὁ Πομαξαίθρης, (ἐτύγχανε δὲ δειπνῶν) ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς ἑαυτῷ ταῦτα λέγειν μᾶλλον, ἢ ἐκείνῳ, προσῆκον. Ἥσθεὶς δ' ὁ βασιλεὺς, τὸν μὲν, οἷς πάτριόν ἐστιν, ἐδωρήσατο, τῷ δ' Ἰάσονι τάλαντον ἔδωκεν. Εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν Κράσσου στρατηγίαν, ὥσπερ τραγῳδίαν, τελευτῆσαι. Δίκη μέντοι καὶ τῆς ὠμότητος Ὑρώδην, καὶ τῆς ἐπιορκίας Σουρήναν ἀξία μετῆλθε. Σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον Ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν· Ὑρώδῃ δ' ἀποβαλόντι Πάκορον ὑπὸ Ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν, Φραάτης ὁ υἱὸς ἐπιβουλεύων ἀκόνιτον ἔδωκεν. Ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ἐφ' ἑαυτὴν, ὥστε συνεκκριθῆναι, καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ Φραάτης, ἀπέπνιξεν αὐτόν.

# ΝΙΚΙΟΥ ΚΑΙ ΚΡΑΣΣΟΥ ΣΥΓΚΡΙΣΙΣ.

ΕΝ δὲ τῇ συγκρίσει, πρῶτον ὁ Νικίου πλοῦτος τῷ Κράσσου παραβαλλόμενος, ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. Ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων, ἢ βαρβάρων, ἐνίων δεδεμένων καὶ φθειρομένων ἐν τόποις ὑπούλοις καὶ νοσεροῖς· παραβαλλομένη δὲ πρὸς τὰ Σύλλα δημιόπρατα, καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας, ἐπιεικεστέρα φανεῖται. Ταύταις γὰρ ὁ Κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν. Ἃ δ' ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν, καὶ τοὺς συμμάχους ἀδικεῖν, καὶ γύναια περιιὼν κολακεύειν, καὶ συνεπικρύπτειν τοὺς πονηροὺς, τούτων αἰτίαν οὐδὲ ψευδῆ ποτε Νικίας ἔλαβεν. Ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις ἐχλευάζετο, πρᾶγμα ποιῶν, Περικλεῖ μὲν ἴσως καὶ Ἀριστείδῃ μὴ πρέπον, αὐτῷ δ' ἀναγκαῖον, οὐκ εὖ πεφυκότι πρὸς τὸ θαῤῥεῖν. Ὧ καὶ Λυκοῦργος ὕστερον ὁ ῥήτωρ ἐπαῤῥησιάσατο πρὸς τὸν δῆμον, αἰτίαν ἔχων ἐξωνήσασθαί τινα τῶν συκοφαντῶν· «Ἥδομαι γὰρ (εἶπεν) εἰ τοσοῦτον χρόνον πεπολιτευμένος » παρ' ὑμῖν, διδοὺς πεφώραμαι πρότερον, ἢ λαμβάνων». Ἦν δὲ ταῖς δαπάναις πολιτικώτερος μὲν ὁ Νικίας, ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλοτιμούμενος· ὧν δ' ὁ Κράσσος ἀνάλωσεν, ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πάλιν, οὐδὲν ἦν μέρος ἃ Νικίας ἐκέκτητο σὺν οἷς ἀνάλωσεν· ὥστε θαυμάζειν, εἴ τινα λέληθε τὸ τὴν κακίαν

ἀνωμαλίαν εἶναί τινα τρόπου καὶ ἀνομολογίαν, ὁρῶντα τοὺς αἰσχρῶς συλλέγοντας, εἶτα χρηστῶς ἐκχέοντας.

Β. Περὶ μὲν οὖν τοῦ πλούτου τοσαῦτα. Τοῖς δὲ πολιτεύμασι, τοῦ μὲν Νικίου πανοῦργον οὐδὲν, οὐδ' ἄδικον, οὐδὲ βίαιον πρόσεστιν, οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπ' Ἀλκιβιάδου, καὶ τῷ δήμῳ προσῄει μετ' εὐλαβείας. Τοῦ δὲ Κράσσου πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς ἀπιστίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι· βίᾳ δ' οὐδ' αὐτὸς ἠρνεῖτο τὴν ὑπατείαν μετιέναι, μισθωσάμενος ἄνδρας τοὺς Κάτωνι καὶ Δομιτίῳ τὰς χεῖρας προσοίσοντας. Ἐν δὲ τῇ περὶ τῶν ἐπαρχιῶν ψηφοφορίᾳ, τοῦ δήμου πολλοὶ μὲν ἐτρώθησαν, ἔπεσον δὲ τέσσαρες, αὐτὸς δ', ὅπερ ἡμᾶς ἐν τῇ διηγήσει παρελήλυθε, Λεύκιον Ἀννάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα πὺξ πατάξας εἰς τὸ πρόσωπον, ἐξέβαλεν ᾑμαγμένον. Ὡς δὲ περὶ ταῦτα βίαιος ὁ Κράσσος καὶ τυραννικὸς, οὕτως αὖ πάλιν ἐκεῖνον τὸ ψοφοδεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον, καὶ τοῖς κακίστοις ὑφειμένον, τῶν μεγίστων ἐπιλήψεων ἄξιον. Ὁ δὲ Κράσσος, ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς Κλέωνας, οὐδ' Ὑπερβόλους μὰ Δία, τοῦ ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν Καίσαρος λαμπρότητα, καὶ τρεῖς τοῦ Πομπηΐου θριάμβους, οὐχ ὑπείξας, ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ Πομπήϊον ὑπερβαλόμενος. Δεῖ γὰρ ἐπὶ μεγίστοις οὐ τὸ ἐπίφθονον, ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν, μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. Εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν, καὶ δέδιας Ἀλκιβιάδην μὲν ἐπὶ τοῦ βήματος, ἐν δὲ Πύλῳ Λακεδαιμονίους, Περδίκκαν δ' ἐν Θρᾴκῃ, πολλὴν εὐρυχωρίαν ἡ πόλις ἔχει σχολῆς, ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον, ὡς ἔνιοι σοφισταὶ λέγουσιν. Ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως θεῖος ἦν ὡς ἀληθῶς, καὶ τὸ λῦσαι τὸν πόλεμον Ἑλληνικώτατον πολίτευμα·

καὶ τῆς πράξεως ἕνεκα ταύτης οὐκ ἄξιον Νικίᾳ παραβαλεῖν Κράσσον, οὐδ᾽ εἰ τὸ Κάσπιον φέρων πέλαγος, ἢ τὸν Ἰνδὸν ὠκεανὸν τῇ Ῥωμαίων ἡγεμονίᾳ προσώρισε.

Γ. Πόλει μέντοι χρώμενον ἀρετῆς αἰσθανομένῃ, καὶ κρείττονα ὄντα τῇ δυνάμει, χώραν οὐ δοτέον τοῖς πονηροῖς, οὐδ᾽ ἀρχὴν μὴ ἄρχουσιν, οὐδὲ πίστιν ἀπιστουμένοις. Ὅπερ ἐποίησεν ὁ Νικίας, τὸν Κλέωνα, μηδὲν ὄντα πλέον ἐν τῇ πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς, αὐτὸς εἰς τὸ ϛρατηγεῖν καταστήσας. Οὐκ ἐπαινῶ μὲν γὰρ ἐγὼ τὸν Κράσσον, ἐν τοῖς Σπαρτακίοις ἐπειχθέντα θᾶσσον, ἢ ἀσφαλέστερον διαγωνίσασθαι· καίτοι φιλοτιμίας ἦν τὸ δεῖσαι, μὴ Πομπήϊος ἐλθὼν ἀφέληται τὴν δόξαν αὐτοῦ, καθάπερ ἀφείλετο Μετέλλου Μόμμιος τὴν Κόρινθον. Τὸ δὲ τοῦ Νικίου παντάπασιν ἄτοπον καὶ δεινόν. Οὐ γὰρ ἐλπίδας, οὐδὲ ῥαστώνην ἐχούσης ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς, ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ ϛρατηγίᾳ μέγαν, ἠγάπησε τὸ καθ᾽ αὑτὸν ἐν ἀσφαλεῖ θέμενος προέσθαι τὸ κοινόν. Καίτοι ὅγε Θεμιστοκλῆς, ἵνα μὴ φαῦλος ἄνθρωπος, ἐν τοῖς Περσικοῖς, καὶ ἄφρων στρατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ τῆς ἀρχῆς ἀπέστησεν αὐτόν· καὶ Κάτων, ὅτε μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν, ὑπὲρ τῆς πόλεως τὴν δημαρχίαν μετῆλθεν. Ὁ δ᾽, αὑτὸν ἐπὶ τὴν Μινώαν καὶ Κύθηρα καὶ Μηλίους τοὺς ταλαιπώρους φυλάττων ϛρατηγὸν, εἰ [δὲ] δέοι μάχεσθαι Λακεδαιμονίοις, ἀποδυόμενος τὴν χλαμύδα, καὶ τῇ Κλέωνος ἀπειρίᾳ καὶ θρασύτητι ναῦς καὶ ἄνδρας καὶ ὅπλα καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομένην παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προΐεται δόξαν, ἀλλὰ τὴν τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. Ὅθεν ὕστερον οὐχ ἑκὼν, οὐδὲ βουλόμενος, Συρακουσίοις πολεμεῖν ἠναγκάζετο, δοκῶν οὐ λογισμῷ τοῦ συμφέροντος, ἀλλὰ ῥᾳστώνῃ καὶ μαλακίᾳ, τὸ παρ᾽ αὐτὸν, ἀποστερεῖν Σικελίας τὴν πόλιν. Ἐκεῖνο μέντοι μεγάλης ἐπιεικείας σημεῖον, ὅτι δυσ-

χεραίνοντα τὸ πολεμεῖν ἀεὶ, καὶ φεύγοντα τὸ στρατηγεῖν, οὐκ ἐπαύοντο χειροτονοῦντες, ὡς ἐμπειρότατον καὶ βέλτιστον. Τῷ δὲ Κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφιεμένῳ στρατηγίας, οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης, Πομπηΐου καὶ Μετέλλου, καὶ Λουκούλλων ἀμφοτέρων ἀπόντων, καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. Ἀλλ', ὡς ἔοικε, καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν ἐδόκει, κατὰ τὸν κωμικὸν, ἀνὴρ

Ἄριστος εἶναι τἄλλα, πλὴν ἐν ἀσπίδι.

Καὶ τοῦτο Ῥωμαίους οὐδὲν ὤνησεν, ἐκβιασθέντας ὑπὸ τῆς φιλαρχίας αὐτοῦ καὶ φιλοτιμίας. Ἀθηναῖοι μὲν γὰρ ἄκοντα Νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, Ῥωμαίους δὲ Κράσσος ἄκοντας ἐξήγαγε· καὶ διὰ μὲν τοῦτον ἡ πόλις, ἐκεῖνος δὲ διὰ τὴν πόλιν ἠτύχησεν.

Δ. Οὐ μὴν ἀλλὰ μᾶλλόν ἐστιν ἐν τούτοις τὸν Νικίαν ἐπαινεῖν, ἢ ψέγειν τὸν Κράσσον. Ὁ μὲν γὰρ, ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος ἔμφρονος, οὐ συνηπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν, ἀλλ' ἀπεῖπε καὶ ἀπέγνω λήψεσθαι Σικελίαν· ὁ δ', ὡς ἐπὶ ῥᾷστον ἔργον τὸν Παρθικὸν ὁρμήσας πόλεμον, ἥμαρτε [μὲν], ὠρέχθη δὲ μεγάλων, *καὶ* Καίσαρος τὰ ἑσπέρια, καὶ Κελτοὺς καὶ Γερμανοὺς καταστρεφομένου, καὶ Βρεττανίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν Ἰνδικὴν ἐλάσαι θάλασσαν, καὶ προσεργάσασθαι τὴν Ἀσίαν, οἷς Πομπήϊος ἐπῆλθε, καὶ Λούκουλλος ἀντέσχεν, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ' ὅμοια Κράσσῳ, καὶ τὰς αὐτὰς ὑποθέσεις λαβόντες. Ἐπεὶ καὶ Πομπηΐῳ, τῆς ἀρχῆς διδομένης, ἡ σύγκλητος ἠναντιοῦτο, καὶ Καίσαρα μυριάδας τριάκοντα Γερμανῶν τρεψάμενον, συνεβούλευεν ὁ Κάτων ἐκδοῦναι τοῖς ἡττημένοις, καὶ τρέψαι τὸ μήνιμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον. Ὁ δὲ δῆμος, ἐῤῥῶσθαι φράσας Κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια, καὶ περι-

χαρὴς ἦν. Πῶς οὖν ἂν διετέθη, καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ Κράσσος ἐκ Βαβυλῶνος ἔγραψε νικᾷν, εἶτ' ἐπελθὼν Μηδίαν, Περσίδα, Ὑρκανοὺς, Σοῦσα, Βάκτρα, Ῥωμαίων ἐπαρχίας ἀπέδειξεν; εἴπερ γὰρ ἀδικεῖν χρὴ, κατὰ τὸν Εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους, μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ Σκάνδειαν, οὐ Μένδην ἐκκοπτέον, οὐδὲ φεύγοντας Αἰγινήτας, ἀπολελοιπότας τὴν ἑαυτῶν, ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν ἀποκεκρυμμένους, ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν, μὴ ῥᾳδίως, μηδ' ἐπὶ τοῖς τυχοῦσιν, ὥς τι φαῦλον, ἢ μικρὸν, προϊεμένους τὸ δίκαιον. Οἱ δὲ τὴν μὲν τῆς Ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ Κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων.

Ε. Ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς, Νικίου μὲν οὐκ ὀλίγα γενναῖα. Καὶ γὰρ μάχαις πολλαῖς ἐνίκησε τοὺς πολεμίους, καὶ τοῦ λαβεῖν Συρακούσας ὀλίγον ἐδέησε· καὶ πάντα δι' αὐτὸν οὐκ ἔπταισεν, ἀλλὰ καὶ νόσον ἄν τις αἰτιάσαιτο, καὶ φθόνον τῶν οἴκοι πολιτῶν. Κράσσος δὲ, διὰ πλῆθος ἁμαρτημάτων, οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν· ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτερίαν, οὐ τῆς Πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τῆς Ῥωμαίων εὐτυχίας περιγενομένην. Ἐπεὶ δ' ὁ μὲν, μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ, πάντα ὑπερορῶν, ὁμοίως ἀπώλοντο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσφάλεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς τοῦ παρονόμου καὶ αὐθάδους, τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. Περὶ μέντοι τὴν τελευτὴν ἀμεμπτότερος ὁ Κράσσος, οὐ παραδοὺς ἑαυτὸν, οὐδὲ δεθεὶς, οὐδὲ φενακισθεὶς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις, καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων. Ὁ δὲ Νικίας, αἰσχρᾶς καὶ ἀκλεοῦς ἐλπίδι σωτηρίας, ὑποπεσὼν τοῖς πολεμίοις, αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

# ΣΗΜΕΙΩΣΕΙΣ

## ΕΙΣ ΤΑ

# ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

*Τὰ μὲν ΔΓ ςοιχεῖα, τὰς διαφόρους γραφὰς δηλοῦσι· τὰ δὲ ΕΔ, τὰς ἑτέρων διορθώσεις ἢ εἰκασίας, τὰ δὲ ΗΔ, τὰς ἡμετέρας, ὡς καὶ ἐν τῷ πρώτῳ μέρει (σελ. 355) σεσημείωται. Τὰ ΠΡ, τοὺς πρὸ ἡμῶν ἐκδότας, τὰ ΠΡΔ, τὰς διορθώσεις αὐτῶν (Ῥεϊσκίου τὰς πλείστας οὔσας), τὰ ΑΤ, ἀντὶ τοῦ, τὸ Α, τὸν Ἀμιότον, ἢ τὴν Ἀμιότου μετάφρασιν.*

## ΠΥΡΡΟΣ.

ΣΕΛΙΔ. 1, στ. 9, Λανάσσης.] Ἄνασσαν Ἰουστῖνος ταύτην ὀνομάζει. — Κλεοδέου.] ΔΓ, Κλεωδέου.

ΣΕΛΙΔ. 2, στ. 3, Θαῤῥύταν.] ΔΓ, Θαῤῥύπαν. Παρὰ δὲ τῷ Παυσανίᾳ, Θάρυπος καλεῖται.—στ. 5, Θαῤῥύτου.] ΔΓ, Θαῤῥύπου.—Ἀρύϐας.] Ἀρύϐϐαν ἕτεροι, ἄλλοι δ' Ἀρύμϐαν καλοῦσι.—στ. 6, Τρωϊάδος.] ΔΓ, Τρωάδος.—στ. 10, Τρωϊάς.] ΔΓ, Τρωάς.—στ. 17, Γινομένης.] Ἐκ ΔΓ, ΑΤ, Γενομένης.—στ. 19, Ἀνδροκλείωνι.] ΔΓ. Ἀνδρακλείωνι. στ. 23, Ἀποτραπομένων.] ΗΔ, ΑΤ, Ἀποτρεπομένων. — στ. 26, Τὴν πόλιν.] Οἱ ΠΡ ἐκ ΔΓ προσέθηκαν τὸ ἄρθρον.—στ. 27, Διαϐῆναι.] ΔΓ, Διαϐαίνειν.

ΣΕΛΙΔ. 3, στ. 6, Ἐνέγραψε.] Ἐκ ΔΓ, ΑΤ, Ἀνέγραψε.—στ. 16, Γλαυκίαν.] ΔΓ, Γλαυκίωνα. Ἰουςῖνος δὲ, Γλαῦκον. —στ. 18, Ὁ δ' ἦν ἐπὶ γνώμης.] Οὔθ' αὕτη, οὔθ' ἡ ΔΓ, Ὁ δὲ ἦν οὖν γνώμης, ἔῤῥωται. Ὁ μέντοι νοῦς πρόδηλος· βούλεται γὰρ λέγειν, ὅτι ἐν ἀμφιϐόλῳ γνώμῃ ἦν, εἴτε σώσει, εἴτε προδώσει τὸν Πύῤῥον, καὶ, ὡς αὐτὸς Πλούταρχος κατωτέρω (§ 22, σελ. 27), σαφέςερον εἴρηκε, Διχοςασίαν εἶχε τῆς γνώμης, ἢ ὡς ἀλλαχοῦ (Συλλ. σελ. 129) Διηνέχθη τῇ γνώμῃ.—στ. 23, Δεόμενος.] ΔΓ, Ἐχόμενος.—στ. 25,

Πρὸς αὐτῷ.] ΔΓ, Πρὸς αὐτόν.—Περιβαλόντα.] ΗΔ, ΑΤ, Περιβάλλοντα. —στ. 30, Τὴν Ἤπειρον.] Οἱ ΠΡ ἐκ ΔΓ προσέθηκαν τὸ ἄρθρον.

ΣΕΛΙΔ. 4, στ. 3, Ἦν.] ΔΓ, Εἶχεν.—στ. 4, Οἷον λεπταῖς ἀμυχαῖς ΤΑΪ́Σ ΔΙΑΦΥΑΪ́Σ ΕΠΙΓΕΓΡΑΜΜΕΝΟΝ τῶν ὀδόντων.] Ἐξ ΕΔ, ΑΤ, ΤᾺΣ ΔΙΑΦΥᾺΣ ὙΠΟΓΕΓΡΑΜΜΕΝΩΝ.—στ. 5, Τοῖς δὲ σπληνιῶσιν κ.τ.λ.] Οὐ πολὺς χρόνος ἐξ οὗ καὶ οἱ ἀεὶ βασιλεύοντες ἐν Γαλλίᾳ τὰ χοιραδικὰ νοσήματα θεραπεύειν μόνῃ τῇ ψαύσει τῆς χειρὸς ἐπιςεύοντο. Οὐ θαυμαςὸν οὖν εἰ καὶ ὁ Ἠπειρώτης Πύῤῥος θείας εὐμοιρεῖν δυνάμεως ἐκόμπαζε.—στ. 16, Συστάντες.] ΠΡΔ, ΑΤ, Συνιστάντες. —στ. 20, Αὐτοῦ.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Ἑαυτοῦ.—στ. 23, Τῆς γῆς.] Νόθους ἡγοῦμαι τὰς λέξεις ταύτας, ἀνθ' ὧν ἴσως ἐγράφετο, ὡς ὑπετόπασαν οἱ ΠΡ, Τῆς διαδοχῆς, τουτέστιν οἱ τοῦ Μακεδόνος Ἀλεξάνδρου διάδοχοι.

ΣΕΛΙΔ. 5, στ. 11, Τοῖς πολλοῖς.] Ἐξ ΗΔ, ἡ προσθήκη τοῦ ἄρθρου. —στ. 13, Πρός τινα.] Ἐκ ΔΓ, ΑΤ, Πρός τινας.—στ. 18, Χωρίῳ.] ΔΓ, Χώρᾳ.

ΣΕΛΙΔ. 6, στ. 12, Τὸν τοῖχον.] Ἐξ ΗΔ, ἡ τοῦ ἄρθρου προσθήκη. —στ. 23, Φθάσας.] ΔΓ, Φθάσαι. Ἴσως γρ. Φθάσαντ'.—στ. 28, Πρῶτον.] Ἴσ. γρ. Πρώτων, ὥσπερ οἱ ΠΡ.

ΣΕΛΙΔ. 7, στ. 5, Νυμφαίαν.] Οἱ μὲν τὴν αὐτὴν εἶναι νενομίκασι τῇ Ἀπολλωνίᾳ, οὕτω κληθεῖσαν ἀπὸ τοῦ πλησίον ὄρους Νυμφαίου, οἱ δὲ τρεπτέον εἶναι εἰς τὸ, Τυμφαίαν (Θεσπρωτικὴν πόλιν οὕτω καλουμένην) ὑπενόησαν.—στ. 11, Ἀχαριστεῖν.] Ἀπειθεῖν.—στ. 13, Στρατείας.] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Στρατιᾶς.—στ. 15, Οὐ γάρ.] ΔΓ, Οὐδὲ γάρ.

ΣΕΛΙΔ. 8, στ. 5, Καὶ κατασχόντες.] Περιελεῖν ἔδοξέ μοι τὸν σύνδεσμον.—Μακεδονίας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μακεδονίαν.—στ. 10, Ἀλλήλους παρήλλαξαν.] Ἀλλήλους παρήμειψαν, ὥστε μὴ συντυχεῖν θατέρῳ τὸν ἕτερον.—στ. 18, Δόξης.] Ἴσ. γρ. Τόλμης, ὡς ὑπενόησαν οἱ ΠΡ.—στ. 21, Ἅμα καὶ βίας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀλλὰ καὶ βίας.

ΣΕΛΙΔ. 9, στ. 4, Ἐκείνου.] Ἐξ ΗΔ, ΑΤ, Ἐκείνης. Φέρεται γὰρ πρὸς τὸ, Ἀλεξάνδρου, καὶ ἀντιδιέσταλται πρὸς τὸ, Ἐντούτῳ, τουτέστι, Τῷ Πύῤῥῳ. Ἔστι δὲ παραπλήσιον τῷ ἐν τοῖς ἑξῆς (σελ. 16), « Οἷον ἐν » εἰκόνι, τῆς ἐκείνου δυνάμεως ... ἀναμιμνήσκειν ».—στ. 5, Τινας.] Ἐκ ΔΓ, προσετέθη ὑπὸ τῶν ΠΡ.—Μέν.] Καὶ τοῦτο ἐκ ΔΓ οἱ ΠΡ.—στ. 8, Περὶ τάξεις.] Γραπτέον, οἶμαι, ἐνάρθρως, Περὶ τὰς τάξεις.—στ. 13, Πρῶτον μὲν...ἑαυτὸν δὲ τρίτον.] Ἄλλως ταῦτα ἀλλαχοῦ (Φλα-

μιν. § 21) ἱςόρηκε.—στ. 16, Φιλοσοφῶν.) Ἐκ ΔΓ, ΑΤ, Φιλολογῶν.

ΣΕΛΙΔ. 10, στ. 4, Ἔτι.] Ἐκ ΔΓ, προσέθηκα τὴν λέξιν.—Εἰρήκειμεν.] ΔΓ, Εἰρήκειν.—στ. 14, Ἐπὶ τοῦτο.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐπὶ τούτῳ.—στ. 15, Τίνι.] Ἐκ ΔΓ, ΑΤ, Ὧ τινι.—στ. 18, Θηκτῷ κ.τ.λ.] Ἐκ τῶν Εὐριπίδου Φοινισσῶν (ςιχ. 68). Ὁ δ' ὅλος ςίχος οὗτός ἐςι,

Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.

—στ. 29, Ἐδέσσης.] Μακεδονικῆς πόλεως τῆς νῦν Β ο δ ε ν ὰ καλουμένης, κατὰ τὸν ἡμέτερον Μελέτιον.

ΣΕΛΙΔ. 11, στ. 4, Στρατιᾶς.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Στρατείας.—στ. 18, Σχολάζοντι.] ΗΔ, ΑΤ, Καὶ σχολάζοντι. Περιττὸς γὰρ ὧδε ὁ σύνδεσμος.—στ. 29. Μέν.] Ἐκ ΔΓ οἱ ΠΡ, προσέθηκαν τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 12, στ. 2, Βέροιαν.] Ἐκ ΔΓ, ὧδέ τε κἀν τοῖς ἑξῆς, ἀντὶ τοῦ, Βέῤῥοιαν.—στ. 16, Μεταβάλωνται.] Ἐξ ΗΔ, ΑΤ, Μεταβάλλωνται.—στ. 19, Ἐνεκωμίαζον.] Ἐκ ΔΓ, ΑΤ, Ἐνεγκωμίαζον.—στ. 24, Μεταβαλομένους.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλομένους.—στ. 28, Στρατηγικοῖς.] Ἐκ ΔΓ, ΑΤ, Τραγικοῖς.

ΣΕΛΙΔ. 13, στ. 1, Ὁρᾷν.] Ἐξ ΕΔ, ΑΤ, Εἰσορᾷν.—στ. 16, Νέμησιν.] Ἐκ ΔΓ οἱ ΠΡ, ἀντὶ τοῦ, Νέμεσιν.—στ. 17, Οὔθ' οἱ.] Γραπτέον, Οὐδ' οἱ.—στ. 21, Δυεῖν.] Ἐκ ΔΓ, ΑΤ, Δυοῖν.—στ. 25, Προσαγορεύοντες.] ΔΓ, Ὀνομάζοντες.—στ. 26, Τῷ Δημητρίῳ.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον.—Κολούων.] ΕΔ, ΑΤ, Κωλύων.

ΣΕΛΙΔ. 14, στ. 15. Δὲ πολλῶν.] Ἐκ ΔΓ, ΑΤ. Δὲ τῶν πολλῶν.—στ. 21, Νομίζοντας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Νομίζοντες.—στ. 27, Ἀλλὰ Φθινύθεσκε κ. τ. λ.] Ἐκ τῆς Ὁμήρου Ἰλιάδος (Α, 491-492).

ΣΕΛΙΔ. 15, στ. 6, Πολεμοποιῶν.] Ἐκ ΔΓ, ΑΤ, Πολλῶν· ἀνθ' οὗ οἱ ΠΡ ἔγραψαν, Πολεμιςῶν.—στ. 9, Στέφανον τῶν ἑώλων.] Στέφανον ἐξ ἀνθέων μὴ προσφάτων, ἀλλὰ τῇ προτεραίᾳ δεδρεμμένων, συγκείμενον, ἵν' ὡς ἀληθῶς κωμάζειν δόξειε· διὰ νυκτὸς γὰρ ἐγίνοντο οἱ κῶμοι.—στ. 11, Ἐκώμασεν.] ΗΔ. ΑΤ, Ἐκώμαζεν.—στ. 14, Ἐκέλευον εἰς μέσον.] ΔΓ, Ἐκέλευον μέσον.—Προελθόντα.] ΠΡΔ, ΑΤ, Προσελθόντα. — Ποιήσειν.] ΔΓ, Ποιήσων.—στ. 16, Τοῦ παίζειν.] Ἐξ ΕΔ, προσέθηκα τὸ ἄρθρον.—στ. 17, Ἔτι.] Περιαιρετέον εἶναί μοι ἔδοξε τοὔθ', ὡς περιττόν. — στ. 26, Μόνων.] ΔΓ, Μόνον.—στ. 29, Μεσσαπίων.] ΠΡΔ, ΑΤ, Μεσαπίων.

ΣΕΛΙΔ. 16, στ. 1, Μυριάδας.] Ἐκ ΔΓ, ΑΤ, Μυριάδες.— στ. 5, Μόνος μάλιστα.] ΔΓ, Μόνος εὖ μάλιστα· ἀνθ' ἧς οἱ ΠΡ γεγράφασι,

Μόνος, ἢ μάλιστα.—στ. 9, Ἐξαιρεῖ κ.τ.λ.] Ἐκ τῶν Εὐριπίδου Φοινισσῶν (στίχ. 519), ὅπου γράφεται, Ἐξαίρει.—στ. 14, Ἐπηγάγετο.] Ἐκ ΔΓ, ΑΤ, Ἀπηγάγετο.—στ. 15, Τοιούτους.] ΔΓ, Τοιούσδε.—στ. 28, Ἀλλ' ἤ.] Ἐξ ΕΔ, ΑΤ, Ἀλλ' εἰ. —στ. 29. Διδοίη.] ΔΓ, Διδῴη.

ΣΕΛΙΔ. 17, στ. 10, Ἐνταῦθα δὴ τοῦ λόγου.] Ἐκ ΔΓ, ΑΤ, Ἐνταῦθα δὲ τῶν λόγων.—στ. 17, Ἀπέλιπεν.] Μεταμέλει μοι μὴ τρέψαντι εἰς τὸ κατὰ παράτασιν, Ἀπέλειπεν, ὅπερ ἐξέφρασε καὶ ὁ ἀκριβὴς Α.—στ. 22, Ἐνεβίβασεν.] Ἐξ ΗΔ, ΑΤ, Ἐνεβίβαζεν. Κατ' ἀόριστον δὲ καὶ ὁ Α.—στ. 25, Τὸν Ἰόνιον.] Ἐλλειπτικῶς τοῦ, Κόλπον, ἢ Πόντον.

ΣΕΛΙΔ. 18, στ. 3, Πλαγίου.] Πελαγίου, γεγράφθαι πάλαι τινὲς ὑπενόησαν οὐκ ἀπεικότως ἴσως, διὰ τὸ δοκεῖν ἀντιδιεστάλθαι πρὸς τὸ ἐχόμενον, Ἀπὸ γῆς.—στ. 7, Ἀναῤῥαγῆναι.] ΔΓ, Διαῤῥαγῆναι.—στ. 13, Τῆς ἡμέρας.] ΔΓ, Ἡμέρας, ἀνάρθρως.—στ. 16, Μεσσάπιοι.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Μεσάπιοι.—στ. 18, Ἔνιαι.] Ἐξ ΗΔ, ΑΤ, Ἐνίαις. Τὸ ἑξῆς, Ἅμα δὲ οἵ τε Μεσσάπιοι συνέθεον, καὶ ἔνιαι τῶν σωζομένων νεῶν προσεφέροντο.—στ. 21, Συνάντησιν.] ΔΓ, Ἀπάντησιν.

ΣΕΛΙΔ. 19, στ. 3, Λαιβῖνος.] ΠΡΔ, ΑΤ, Ἀλβῖνος.—στ. 7, Προσιόντας.] ΔΓ, Προϊόντας.

ΣΕΛΙΔ. 20, στ. 8, Ἐφορῶν.] ΠΡΔ, ΑΤ, Εὐφρονῶν.—στ. 10, Λεοννάτος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Λεονάτος.

ΣΕΛΙΔ. 21, στ. 2, Ἀνάπαλιν.] ΠΡΔ, ΑΤ, Ἅμα πάλιν.—στ. 4, Γεγονυῖα τοῦ.] Ἐκ ΔΓ, ΑΤ, Γέγονεν, ἢ τοῦ· ἀνθ' οὗ οἱ ΠΡ, Γεγενημένη τοῦ.—στ. 7, Δέξιος.] ΗΔ, συνᾴδουσα τῷ Α, ΑΤ, Δεξόος.—στ. 21, Κράτιστοι...ἀπέβαλεν.] Δυσδιάκριτος ἡ τοῦ χωρίου συνάρτησις. Ἢ γὰρ τὸ τελευταῖον, Ἀ π έ β α λ ε ν (ὅπερ οὐδ' ὁ Α, ἐξέφρασε) πλεονάζει, ἢ γοῦν τὸ προηγούμενον, Δ ι ε τ έ λ ε ι. Ὁ νοῦς, Οἱ πεσόντες τετρακισχίλιοι ἦσαν οἱ κράτιστοι τῶν φίλων καὶ τῶν στρατηγῶν, οἷς ὁ Πύῤῥος μάλιστα ἐχρῆτο καὶ ἐπίστευεν.—στ. 25, Προσηγάγετο.] ΔΓ, Προσελάβετο.—στ. 30, Καὶ Ταραντίνοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, ἀσυνδέτου, Ταραντίνοις.

ΣΕΛΙΔ. 22, στ. 5, Ἑτέρας.] ΠΡΔ, ΑΤ, Ἑτέρους.—στ. 12. Παισίν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πᾶσιν. Καὶ σημείωσαι, ὅτι ὁμοία ἡ διόρθωσις ἧ τὸν Ἡλιόδωρον (Μέρ. Β, σελ. 45) ἐξηγούμενοι καὶ ἡμεῖς ἐποιησάμεθα.—στ. 23, Μεγάλην μάχην.] ΔΓ, Μεγάλῃ μάχῃ.—στ. 25, Κλαύδιος Ἄππιος.] Οὗ καὶ ἀλλαχοῦ (Εἰ πρεσβυτ. πολιτευτ. § 21) ἐμνημόνευσε Πλούταρχος.

ΣΕΛΙΔ. 23, στ. 10, Πατράσιν.] ΔΓ, Πράγμασιν· ὅπερ ἄμεινον

ἴσως.—στ. 14, Τρέμοντες Πύῤῥον.] Τοῦ παρακμάζοντος ἑλληνισμοῦ ἡ φράσις, καὶ τῆς παρ' ἡμῖν συνηθείας· οὐδένγε μὴν μᾶλλον ἀκατάλληλος τῆς, Φοβούμενοι Πύῤῥον. Ἐλλείπει γὰρ ἑκατέρα τῇ, Διά, προθέσει.

ΣΕΛΙΔ. 24, στ. 16, Ἐξόπισθεν.] Ἐκ Δ.Γ. οἱ ΠΡ, ΑΤ, Ἐξοπλισθέν.—Παραςῆσαι.] Ἐξ Ε.Δ. (συναδούσης τῷ Α,) ΑΤ, Περιςῆσαι. Ἔστι δὲ τὸ Παραστῆσαι, πλησίον στῆσαι.—στ. 17, Ἐγένετο.] Δ.Γ, Ἐγίνετο· ἣν προείλοντο οἱ ΠΡ.—στ. 18, Προνομαίαν.] Ἀντὶ τοῦ Προνομήν· ὡς Σελήνη, Σεληναία, Ἀνάγκη, Ἀναγκαίη κ. τ. λ. —στ. 22, Ἐκίνησεν.] Δ.Γ. Ἐνίκησεν.—στ. 25, Τέλους.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τέλος.—Τὸ μέν.] Τὸ τέλος δηλαδή.

ΣΕΛΙΔ. 25, στ. 14, Διεορτάσαντες. ] Ὅλῃ τῇ ἑορτῇ ἀπ' ἀρχῆς μέχρι τέλους παραγενόμενοι.

ΣΕΛΙΔ. 26. στ. 11, Στρατιάν.] ΠΡΔ καὶ Α, ΑΤ, Στρατείαν. —Ἐχώρει.] Ἴσως γρ. Ἀνεχώρει.—στ. 12, Ἄσκλον.] Κατὰ συγκοπὴν παρὰ τὸ Ἄσκουλον (Asculum), ὡς καὶ παρὰ τὸ Τούσκουλον (Tusculum) Τοῦσκλον. Σώζει δὲ μέχρι δεῦρο τοὔνομα ἡ πόλις, Ascoli παρὰ τοῖς Ἰταλοῖς καλουμένη.—στ. 13, Ἑλώδη.] Ἐκ τοῦ Α, ΑΤ, Ὑλώδη. —στ. 23, Ἐπιβῆναι.] ΔΓ, Ἐκβῆναι.—στ. 28, Κατειργάσατο.] Ἐξ ΕΔ, ΑΤ, Κατειργάσαντο. Ὁ Πύῤῥος δηλαδὴ κατειργάσατο τὸ πλεῖστον διὰ τῆς τῶν ἐλεφάντων ἀλκῆς καὶ βίας.

ΣΕΛΙΔ. 27, στ. 10, Διαρπασάντων.] Τὴν Ῥωμαίων ἴσως ἀποσκευήν· οὐ γὰρ ἂν τὴν Πύῤῥου διήρπασαν οἱ μετὰ Πύῤῥου τεταγμένοι Σαυνῖται, ὥσπερ ἐσημειώσαντο καὶ οἱ πρὸ ἡμῶν. Πλὴν εἰ μή τις γράφοι, Διαρπασθέντων, ἢ Διαρπαγέντων· ἵν' ᾖ ὁ νοῦς ὅτι Ῥωμαῖοι διήρπασαν τὴν ἀποσκευὴν τῶν Σαυνιτῶν.—στ. 20, Ἀποβάλλοντας.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἀποβαλόντας.

ΣΕΛΙΔ. 28, στ. 2, Ὑπαρχουσῶν.] Ἐξ ΕΔ, ΑΤ, Ὑπαρχόντων. —στ. 4, Εἶναι δοκούσης.] Οὔσης, ὤφειλεν εἰπεῖν, ὡς ἐξέφρασε καὶ ὁ Α, οὐκ, Εἶναι δοκούσης. — στ. 5, Προδιαλεξόμενον.] ΔΓ, Προσδιαλεξόμενον.—στ. 13. Ἀντεῖχε τὸ πρῶτον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀντείχετο πρῶτον.—στ. 16, Ὀχυρωτάτου.] ΔΓ, Ἐχυρωτάτου. —στ. 17, Πολλοὺς τούς.] Ἐξ ΕΔ, προσέθηκα τὸ ἄρθρον. — στ. 18, Στρατιᾶς.] ΠΡΔ, ΑΤ, Στρατείας.—στ. 19, Ἐνεδύσατο.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἐδύσατο.—στ. 20, Ποιήσειν ἀγῶνα καὶ θυσίαν ἀριστεῖον.] Μεταμέλει μοι μὴ τρέψαντι τὴν τελευταίαν λέξιν εἰς τὸ, Ἀριςείων, ἵν' ᾖ, Θυσίαν ὑπὲρ ἀριςείων, ὡς ἔοικεν ἀναγνῶναι καὶ ὁ Ἰταλὸς

μεταφραστὴς, e di fare un sacrificio ad onor del valore. — στ. 21, Αὐτόν.] Ἐξ ΗΔ, ΑΤ, Ἑαυτόν. Τὸ γὰρ, Ἀποδείξῃ, οὐ πρὸς τὸν Πύῤῥον, ἀλλὰ πρὸς τὸν Ἡρακλέα· Ἐὰν ὁ Ἡρακλῆς ἀποδείξῃ τὸν Πύῤῥον ἄξιον κ.τ.λ.—στ. 26, Ἐσώρευσε.] Ἐκ ΔΓ, ΑΤ, Ἐπεσώρευσε.—στ. 28, Καὶ τὸν Ὅμηρον.] Ὃς πολλαχοῦ τῆς Ἰλιάδος τοὺς ἀνδριζομένους Ἥρωας, μαίνεσθαι λέγει, οἷόν ἐςι τὸ περὶ τοῦ Ἕκτορος τόδε (Ἰλιάδ. Ι, 237),

. . . Ἕκτωρ δὲ, μέγα σθένεϊ βλεμεαίνων,
Μαίνεται ἐκπάγλως, πίσυνος Διῒ, οὐδέ τι τίει
Ἀνέρας οὐδὲ θεούς· κρατερὴ δέ ἑ λύσσα δέδυκεν.

ΣΕΛΙΔ. 29, στ. 3, Μεσσήνην.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Μεσήνην.—στ. 6, Γλώσσῃ τῇ Λατίνων.] Ὁ γὰρ παρὰ τοῖς Λατίνοις Mars, τουτέστιν Ἄρης, Mamers [Μάμηρς] ἐκαλεῖτο τῇ, κατ' ἐνίους τῶν Ὄσκων, καθ' ἑτέρους δὲ, τῶν Σαβίνων διαλέκτῳ· ἐξ οὗ παρῆκται τὸ τῶν Μαμερτίνων ὄνομα.—στ. 15, Πολλὰς πληρωμάτων ἐπιδεεῖς, ἤγειρεν.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Πολλὰς ἄνευ πληρωμάτων· ἐπεὶ δὲ εἰσήγειρεν. Τὸ δὲ, Ἤγειρεν, οὐκ ἀπὸ τοῦ, Ἐγείρω, ἀλλ' ἀπὸ τοῦ, Ἀγείρω.—στ. 20, Γενόμενος.] ΠΡΔ (συνᾴδοντος καὶ τοῦ Α), ΑΤ, Γινόμενος.—στ. 23, Θοίνωνα.] ΔΓ, σύμφωνος τῷ Σουΐδᾳ (λέξ. Πύῤῥος), Θώνωνα.—Σώςρατον] Σουΐδας, Σωσίστρατον.—στ. 29, Μεθίσταιτο τῶν πραγμάτων.] Τὸ ἀσυνάρτητον ἰώμενοι τοῦ λόγου, ἄλλοι ἄλλως διορθοῦν ἐπεχείρησαν. Ὤφειλε γὰρ εἶναι, Μεθίστατο τὰ πράγματα, ἢ, Μεθισταμένων τῶν πραγμάτων· πλὴν εἰ μή τις ὑπολάβοι τὸ προηγησάμενον, Καθ' ἓν, συνημμένως γεγραφέναι τὸν Πλούταρχον, Καθέν, καθὰ καὶ τὸ Καθεὶς, ἐγράφετο, ἐν τῷ παρακμάζοντι Ἑλληνισμῷ, καὶ γράφεται μέχρι καὶ δεῦρο παρ' ἡμῖν. Ἀλλ' οὐδ' οὕτως εὐοδοῦται ἡ σύνταξις.

ΣΕΛΙΔ. 30, στ. 13, Ἐγένετο.] Ἐκ ΔΓ, ΑΤ, Ἐγίγνετο.—στ. 23, Ἀποστάς.] Ἐκ ΔΓ, ΑΤ, Ὑποστάς.

ΣΕΛΙΔ. 31, στ. 23, Γινομένης.] Ἐξ ΔΓ, ΑΤ, Γενομένης.

ΣΕΛΙΔ. 32, στ. 1, Βιασθείς.] Ἐκ ΔΓ, ΑΤ, Καὶ βιασθείς.—στ. 13, Τοῖς μέν.] Ἐξ ΕΔ, προσέθηκα τὸν, Μέν.—στ. 17, Οὐδὲν εἰς ὃ δεῖ θέσθαι τῶν ὑπαρχόντων σώσας.] Ἔχει τι δυσχερὲς ἡ τοῦ λόγου συνάρτησις. Διὸ καὶ τῶν ΠΡ οἱ μὲν εἰς τὸ, Σῶσαι (ὅπερ οὐδὲν μᾶλλον εὐνόητον ἀποτελεῖ τὸν λόγον), οἱ δὲ εἰς τὸ, Σπεύσας, παρῄνουν τρέπειν τὴν λέξιν. Καὶ εἰ μὲν τὸ Σώσας ἐπὶ τοῦ Φυλάξας ἐκλάβοις, ὥσπερ καὶ ἐκληπτέον ἐστὶ, εἴη ἂν ὁ μὲν πρόχειρος καὶ τῇ συντάξει τοῦ χωρίου οἰκεῖος νοῦς, Οὐδὲν τῶν ὑπαρχόντων φυλάξας, ὥστε θέσθαι εἰς ὃ

δεῖ, ἢ ὥστε εὖ διαθέσθαι, ὁ δὲ ἀληθέςερος, Οὐδὲν τῶν ὑπαρχόντων τῷ εἰς ὃ δεῖ θέσθαι (ἢ διὰ τοῦ εἰς ὃ δεῖ θέσθαι) φυλάξας· εἰ δὲ τὸ, Σώσας (ὅπερ οὐκ ἂν ἰσχυρισαίμην) ἐπὶ τῆς σημασίας τέταχε τοῦ, Φθάσας, ἐφ' ἧς τέτακται καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ (Πλουτάρχ. Μερ. Β, σελ. 416), εἴη ἂν καὶ ἡ συνάρτησις ἀναμάρτητος, καὶ ὁ νοῦς, ὡς ἂν ἡμεῖς φαῖμεν, « Ἀφ' ὅσα εἶχε τίποτε δὲν ἔσωσε νὰ διατάξῃ ὡς » ἔπρεπε ».—στ. 29, Οἱ μὲν πλεῖστοι.] ΔΓ, Μὲν οἱ πλεῖςοι.

ΣΕΛΙΔ. 33, στ. 4, Φόβου.] ΔΓ, Θορύβου. — στ. 8, Ἅμα τῶν παραλίων τινὰς πόλεων κατέσχεν.] Οὐκ ἔῤῥωται τὸ χωρίον, ἢ δῆλον ἔκ τε τοῦ μὴ συμφώνου τοῖς λοιποῖς Ἅμα, καὶ τοῦ Κατέσχεν· Φεύγοντι γὰρ Ἀντιγόνῳ τὸν Πύῤῥον ἀγαπητὸν ἂν ἦν εἰς πόλιν τινὰ τῶν ἑαυτοῦ καταφυγεῖν, μήτιγε πόλεις αἱρεῖν τὰς μὴ προσηκούσας. Δῆλον δὲ τοῦτο ποιεῖ Παυσανίας (Α, 13) λέγων, « Κρατήσας δὲ [Πύῤ» ῥος] τήν τε ἰδίαν παρασκευὴν Ἀντιγόνου, καὶ τὸ παρ' αὐτῷ Γαλα» τῶν ξενικὸν, ἐδίωξεν εἰς τὰς ἐπὶ θαλάττῃ πόλεις». Τούτων οὕτως ἐχόντων, ἢ τὸ, Ἅμα τρεπτέον εἰς τὸ Ὅμως, καθάπερ ἔοικεν ἀνεγνωκέναι ἢ διωρθωκέναι ὁ Ἰταλὸς μεταφραστὴς, ἵν' ᾖ, Φεύγων ὁ Ἀντίγονος, κατέσχεν ὅμως τινὰς τῶν ἑαυτοῦ παραλίων πόλεων, τουτέςιν, οὐ πασῶν ἐξέςη Πύῤῥῳ τῶν ἑαυτοῦ πόλεων, ἀλλ' ἔσωσέ τινας ἐξ αὐτῶν, ἢ ἐξεῤῥυηκέναι τοῦ χωρίου ὑποληπτέον ἄλλα τινὰ, οἷς συνῆπτο τὸ Ἅμα, ὃ καὶ μᾶλλόν ἐςιν εἰκός. Ὁ γὰρ Ἀμιότος οὕτως ἐκφράσας τὸ χωρίον, lequel se sauva de vistesse AVEC QUELQUES GENS DE CHEVAL, et reteint aucunes des villes maritimes de son royaume; δηλός ἐςιν ἀναγνοὺς, ἢ διορθώσας αὐτὸς, « Κἀκεῖνος μὲν ὑποφεύγων » ἅμα τισὶ τῶν ἱππέων, τῶν παραλίων τινὰς πόλεων κατέσχεν». —Ἐν εὐτυχήμασι.] Ἐξ ΕΔ. οἱ ΠΡ προςεθείκασι τὴν πρόθεσιν.—Τοὺς θυρεοὺς ὁ Μολοσσὸς κ. τ. λ.] Φέρεται τὸ τετράςιχον καὶ παρὰ τῷ Παυσανίᾳ (Δ, 13) ἀπαράλλακτον.

ΣΕΛΙΔ. 34. στ. 4, Μὲν ἦν.] ΔΓ, Μὲν ἓν ἦν.—στ. 5, Χελιδωνίδα.] ΔΓ, Χιλωνίδα.—στ. 15, Κτώμενον.] ΠΡΔ, ΑΤ, Κτώμενος.—στ. 19, Πέμψων.] Ἴσ. γρ. Πέμψειν.—στ. 20, Τούτῳ πλέον ἔχοιεν ἤδη τῶν ἌΛΛΩΝ βασιλέων.] ΗΔ, ΑΤ. Τούτῳ πλέον ἔχοιεν ἤδη τῶν ΠΆΝΤΩΝ βασιλέων. ΔΓ, Τούτῳ πλέον ἔχοιεν πάντων βασιλέων.—στ. 27, Μανδρικίδας.] ΔΓ, Μανδροκλείδας· ὅ τινες εἰς τὸ Ἀνδροκλείδας τρέπειν παρῄνεσαν.—Αἱ μὲν ἐσσὶ κ. τ. λ.] Τουτέςιν, Εἰ μὲν εἶ σύ γε θεὸς, οὐδὲν πεισόμεθα· οὐ γὰρ ἀδικοῦμεν· εἰ δ' ἄνθρωπος, ἔσται καὶ σοῦ κρείττων ἄλλος.

ΣΕΛΙΔ. 35, στ. 5, Ὅ τ' Ἄρευς.] ΠΡΔ, ΑΤ, Ὁ δὲ Ἄρευς.—στ. 15, Ἀπολομένης.] ΠΡΔ, ΑΤ, Ἀπολουμένης.—στ. 17, Τοῦ μέσου.] ΠΡΔ, ΑΤ, Τὸ μέσον.—στ. 20, Αἱ μὲν, ἐν ἱματίοις κ.τ.λ.] Προσθεῖναι δεῖν ἔγνων τὴν πρόθεσιν, ἵν' ᾖ, Αἱ μὲν ἐνδεδυμέναι τὰ ἱμάτια, καὶ τοὺς χιτῶνας κατεζωσμένους ἔχουσαι, αἱ δὲ μόνον ἔχουσαι τὸν χιτῶνα ἄνευ ἱματίου. Τισὶ μέντοι γραπτέον ἔδοξεν εἶναι, Αἱ μὲν ἱμαντίοις καταζωσάμεναι τοὺς χιτωνίσκους. — στ. 30, Ἐκ ποδῶν οὖσα.] Ἴσ. γρ. Ἐκ ποδῶν ἰοῦσα.

ΣΕΛΙΔ. 36, στ. 4, Ἀντιπαρατεταγμένας.] Πρὸς τὸ, Ἀσπίδας. ΔΓ, Ἀντιπαρατεταγμένος· πρὸς τὸ, Πυῤῥός.—στ. 15, Ἠνάγκασε.] Ἐκ ΔΓ, συναδούσης Α, ΑΤ, Ἠνάγκαζε.—στ. 17, Περὶ ταῖς ἁμάξαις.] Οἱ ΠΡ, ἐκ ΔΓ, ΑΤ, Περὶ τὰς ἁμάξας. Ἑτέρα ΔΓ, Παρὰ τὰς ἁμάξας.—στ. 24. Ὄχευε.] ΗΔ, ΑΤ, Ὤχεαι. Τὸ δὲ, Ὀχεύειν συνώνυμον τῷ, Ὀπυίειν, ἢ, Οἰφεῖν. Ἔςι δὲ γράφειν καὶ, Ὄχεε, ἐπὶ τῆς αὐτῆς σημασίας.

ΣΕΛΙΔ. 37, στ. 6, Θαυμαςῶς.] ΔΓ, Θαυμασίως. —στ. 11, Πυλαϊκῆς ὀχλαγωγίας.] Γραπτέον οἶμαι, Πυλαιακῆς ὀχλαγωγίας τουτέστι, φλυαρίας καὶ ψευδολογίας ὀχλικῆς, ἀπὸ μεταφορᾶς τῆς Πυλαίας, ἤγουν τῆς Ἀμφικτυονικῆς εἰς τὰς Θερμοπύλας συνόδου. Καθ' ὃν γὰρ χρόνον συνίεσαν οἱ Ἀμφικτύονες περὶ τῶν κοινῶν σκεψόμενοι, εἰκὸς ἁπανταχόθεν τῆς Ἑλλάδος πολλοὺς ἄλλους μηδὲν προσήκοντας τῇ Πυλαίᾳ συῤῥέειν ἐκεῖσε, καὶ λογοποιεῖν. Ὅθεν καὶ Πυλαιαςὰς ἐκάλουν τοὺς ψεύςας οἱ Ῥόδιοι, ὥς φησιν Ἡσύχιος. Διορθούσθω ἡμῖν ἐν παρόδῳ καὶ τὸ τοῦ Φωτίου λεξικὸν, «Πυλαγόρος (γρ. Πυλαγόρας), Ὁ ΠΕΜΠΟΜΕΝΟΣ » ΕΙΣ ΤΟΝ ΠΟΛΕΜΟΝ εἰς τὴν Ἀμφικτυονίαν ῥήτωρ, ὥςε ἐκεῖ ἀγορεῦσαι. « Πυλαγόρος (γρ. Πυλαγόρας) δὲ παρὰ τὸ ἐν τῇ Πυλαίᾳ ἀγορεύειν. Πυ» λαία δὲ τὸ Ἀμφικτυονικὸν συνέδριον. Ἦσαν δὲ Πυλαγόροι (γρ. Πυλαγό» ραι) τρεῖς». ὅπου γραπτέον, Ὁ ΠΕΜΠΟΜΕΝΟΣ ἘΚ ΤΩΝ ΠΟΛΕΩΝ, ἢ Ὁ ΠΕΜΠΟΜΕΝΟΣ ἘΠῚ ΤΗΝ ΠΥΛΑΙΑΝ. Καὶ αὖθις, «Πυλαιςάτους » (γρ. Πυλαιαςὰς) τοὺς μηδὲν ὑγιὲς μήτε λέγοντας, μήτε πράσσοντας· » διὰ τὸ παραγίνεσθαι τοιούτους τινὰς ἀνθρώπους εἰς τὸν προειρη» μένον τόπον ». Καὶ πάλιν, « Πύλαι, καὶ Πυλαία, καὶ Πυλαγόρας. » Πύλαι μὲν καλοῦνται αἱ Θερμοπύλαι· ἐκλήθησαν δὲ οὕτως, διὰ τὸ » στενὴν εἶναι ταύτην εἴσοδον ἀπὸ Θετταλίας εἰς τὴν Φωκίδα πο» ρευομένοις. Πυλαία δὲ ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμ» φικτυόνων. Ἐπέμποντο δὲ ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς Ἀμ» φικτυονίας τινὲς, οἵπερ ἐκαλοῦντο Πυλαγόροι (γρ. Πυλαγόραι) ». —Ἀσάφειαν.] ΗΔ, συνᾴδουσα τῷ Α, καὶ τῷ Ἰταλῷ μεταφραστῇ, ΑΤ,

Ἀσοφίαν.—στ. 13, Περὶ Πύῤῥου.] Παρωδῶν δηλονότι τὸ, Περὶ πάτρης, τοῦ Ὁμήρου (Ἰλιάδ. Μ, 243]. — στ. 29, Ἐκ τούτου.] ΔΓ, Ἐκ δὲ τούτου.

ΣΕΛΙΔ. 38, στ. 2, Λαμβάνουσα.] Λαβοῦσα, γράφειν τις παρῄνει κατὰ παρῳχημένον· ὡς ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραστὴς τὸ χωρίον, o perchè abbastanza già provata avesse la virtù di quegli uomini. — Τῶν ἀνδρῶν, εἶθ' ἑαυτῆς, ὅσην κ. τ. λ.] Ἐκ ΔΓ. ΑΤ, Τῶν ἀνδρῶν ἐφ' ἑαυτῆς, εἶθ' ὅσην. — στ. 6, Τοῦτον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τούτων. Φέρεται γὰρ πρὸς τὸν Ἀμεινίαν.—στ. 12, Ἀλκή.]. Ὁρμὴ, μᾶλλον ἂν ἥρμοζεν ὧδε, ἢ Ἀλκή.—στ. 19, Ἄλλας ] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἄλλαις. Ὁ νοῦς, Χρώμενος ἀφορμαῖς ταῖς εὐτυχίαις ἐπ' ἄλλας εὐτυχίας.—στ. 20, Πράγμασιν.] Ὤφειλεν εἶναι, κατορθώμασιν, ἤ, ὡς παρῄνει τις τῶν ΠΡ, Εὐπραγήμασιν.—στ. 25, Ὑπό.] ΗΔ, ΑΤ, Ἀπό.

ΣΕΛΙΔ. 39, στ. 2, Ὅρισος.] ΔΓ, Ὅρυσσος. — στ. 3, Ἀπτεραῖος.] Ἐκ τῆς Ἀπτέρας, Κρητικῆς πόλεως. — στ. 6, Ἀποληφθέντες.] ΠΡΔ, ΑΤ, Ἀπολειφθέντες. Ὁ γὰρ νοῦς, Ἀποχωρισθέντες τῶν ἰδίων ὑπὸ τῶν τοῦ Πύῤῥου ὁπλιτῶν. — στ. 20, Καὶ τὸ πολὺ τῆς λύπης. ] ΗΔ, ἡ τοῦ προτέρου ἄρθρου προσθήκη.

ΣΕΛΙΔ. 40, στ. 6, Φόνον.] Ἐπὶ τοῦ αἵματος, ὧδε.—στ. 7, Λυκείου.] ΔΓ, Λυκίου.—Ἀπόλλωνος.] Ἐκ ΔΓ, ΑΤ, Ἀπολλωνίς.—στ. 23, Κυλάραβιν.] « Κυλάραβις (φησὶν ὁ Φώτιος ἐν τῷ Λεξικῷ), γυμνάσιον » ἐν Ἄργει, ἀπὸ ΚΥΛΑΡΑΒΕΩΣ τινος » · ὅπου γραπτέον ἴσως. . . ἀπὸ ΚΥΛΑΡΑΒΟΥ τινός. Οὕτω γὰρ ὀνομάζει Παυσανίας (Β, 18, καὶ 22) τὸν υἱὸν Σθενέλου τὸν Ἄργους βασιλεύσαντα, ἀφ' οὗ τὸ γυμνάσιον ὠνόμασται. — στ. 25, Ταραττομένων εἶναι.] Ἐκ ΔΓ, ΑΤ, Ταραττομένων δὲ εἶναι.— στ. 30, Στρατηγίας οὐδὲν ἔργον.] Τουτέστιν, Οὐδὲν ὄφελος· ὡς καὶ παρὰ τῷ Κωμικῷ (Εἰρήν. 1309),

Οὐδὲν γάρ, ὦ πόνηροι,

Λευκῶν ὀδόντων ἔργον ἔστ', ἢν μή τι καὶ μασσῶνται,

τουτέστιν, Οὐδὲν ὄφελος τῶν λευκῶν ὀδόντων ἐστὶν, ἢν μὴ ἔχωσί τε μασσᾶσθαι.

ΣΕΛΙΔ. 41, στ. 2, Διαλάμποντος.] Κατ' ἔλλειψιν τῆς γενικῆς, Ἡλίου· ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ, καθ' ὁμοίαν ἔλλειψιν φαμὲν, Ὅταν ἔφεγξε.—στ. 14, Λυκείῳ.] Ἐκ ΔΓ, ΑΤ, Λυκίῳ.—στ. 17, Ὧν ἤλπιζε, προχωρεῖν.] Ἐκ ΔΓ. οἱ ΠΡ, ΑΤ, Ὧν προχωρεῖν ἤλπιζεν.

ΣΕΛΙΔ. 42, στ. 5, Ἐπιβάτην.] Ἐκ ΔΓ, ΑΤ, Ἐπιστάτην.— στ. 9.

'Ανέστρεψε.] ΔΓ, 'Ανέστρεφε.—στ. 15, 'Εναπολαμβανομένους.] 'Εκ ΔΓ, ΑΤ. 'Επιλαμβανομένους.

ΣΕΛΙΔ. 43, στ. 1, Σφονδύλων πρὸς τὴν βάσιν.] Γραπτέον, οἶμαι, Σφονδύλων τῶν πρὸς τὴν βάσιν.—στ. 14, 'Ως κατανοήσων.] ΔΓ, 'Ως ἂν κατανοήσων.—στ. 18. Προσθέμενος.] ΔΓ, Προθέμενος. — στ. 19. Τοῦ πατρός.] 'Εκ ΔΓ, προσέθηκα τὸ ἄρθρον. — στ. 24, Τῶν πρότερον.] 'Εκ ΔΓ, ΑΤ, Τῶν προτέρων.

## ΓΑΙΟΣ ΜΑΡΙΟΣ.

ΣΕΛΙΔ. 45, στ. 9, 'Εαυτόν.] 'Εκ ΔΓ, ΑΤ, Αὐτόν.—στ. 10, Ποιεῖ.] ΗΔ, ΑΤ, Ποιεῖται. — στ. 26, 'Ως γελοῖον ὂν γράμματα μανθάνειν, ὧν οἱ διδάσκαλοι δουλεύοιεν ἑτέροις.] Μακρῷ δὲ γελοιότερον, ὦ Μάριε, τὸ παιδείας ἄμοιρον εἶναι πεπαιδευμένων δεσπόζοντα.

ΣΕΛΙΔ. 46, στ. 1, Ὄν.] 'Εκ προσθήκης τῶν ΠΡ.—στ. 8, 'Εκπρεπεστάταις.] 'Εκ ΔΓ, ΑΤ, Εὐπρεπεστάταις. — στ. 9, Φιλαρχίας.] ΔΓ, Φιλονεικίας.—στ. 13, Αὐτουργῶν καί.] ΗΔ, ΑΤ, Αὐτουργῶν δὲ καί.—στ. 16, Κερεατινῶν.] 'Αντὶ τοῦ Κ ι ρ ρ α ι ά τ ω ν ι, ἔγραψα, Κ ε ρ ε α τ ι ν ῶ ν, ὡρμημένος ἐκ τοῦ Πλινίου (Βιβλ. Γ, κεφ. 5) Arpinates . . . Cereatini, qui Mariani cognominantur. Ὁ πρὸ τοῦ φίλου Κλαυερίου τὴν 'Αμιότου μετάφρασιν ἐκδοὺς, ἐκ τοῦ Πλινίου κἀκεῖνος ὡρμημένος, διώρθου γράφων, Κ ε ρ ρ α ι α τ ί ν ῳ.—στ. 25, Προήγετο.] 'Εκ ΔΓ, ΑΤ, Προσήγετο.

ΣΕΛΙΔ. 47, στ. 1, Εὐφυής.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, 'Εκφυής.—στ. 9, Αἱρέσεις.] 'Εκ διορθώσεως τοῦ φίλου Κλαυερίου, ἀντὶ τοῦ, Κρίσεις.—στ. 15, Διαγράψειε.] 'Εξαλείψειε. — στ. 18, 'Εκέλευεν.] 'Εκ ΔΓ, ΑΤ, 'Εκέλευσεν. —στ. 21, 'Επεκύρωσε.] ΔΓ, 'Εκύρωσε· ὅπερ ἄμεινον.—στ. 24, Δημαγωγῶν.] Μετοχὴ, οὐκ ὄνομα ἐνθάδε, τὸ, Δ η μ α γ ω γ ῶ ν. —στ. 26, Τοῖς πολίταις.] Ἴσ. γρ. Τοῖς πολλοῖς, ἀντιδιεσταλμένως πρὸς τοὺς ἀπὸ τῆς Βουλῆς. — στ. 30, 'Αγορανομιῶν.] 'Αγορανόμων, διωρθώκασιν οἱ ΠΡ, πλανηθέντες ἴσως ὑπὸ τοῦ ἐν τῇ Στεφανείῳ ἐκδόσει τυπογραφικοῦ ἁμαρτήματος, 'Αγορανομῶν.

ΣΕΛΙΔ. 48, στ. 1, Καθεζόμενοι.] Οἱ ἀγορανόμοι· προσυπακουομένου τοῦ συγκεκριμένου ἐκ τοῦ ἀφῃρημένου, 'Αγορανομιῶν.—στ. 15, Εἰς αὐτόν.] ΔΓ, Πρὸς αὐτόν. Οἱ ΠΡ, μηδὲν δέον, 'Ως αὐτόν.—στ. 18, Διὰ τὴν ἀκρασίαν.] Διὰ τὸ μὴ καρτερῆσαι δηλονότι τὴν δίψαν, ἀλλ' αἰτῆσαι πιεῖν, πρὸ τοῦ τέλος σχεῖν τὴν ψηφοφορίαν.—Γάϊος.] ΕΔ, ΑΤ,

Καὶ Γάϊος. — στ. 23, Τὴν ἀπόῤῥησιν.] Τὴν ἄρνησιν. — στ. 25, Ὅτε πρῶτον.] ΠΡΔ, ΑΓ, Ὅτε πρῶτος. Ὁ νοῦς, Ἅμα τῷ ἀναγορευθῆναι ἄρχων, ἐξέβη καὶ τοῦ πελάτης εἶναι, τουτέστιν, ἐπαύσατο πελάτης ὤν. — στ. 27, Τοῦ νέμειν προστάτην.] Ἐξηγησάμεθα τὴν φράσιν ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β, σελ. 130). — Τοὺς τυχόντας αὐτοὺς καὶ γένος.] Τὸ, Αὐτοὺς εἰς τὸ, Αὐτῆς [τουτέστι τῆς ἀρχῆς] τρέπειν παρῄνεσάν τινες, ἀποχρῶσαν ἡγησάμενοι τοῦ χωρίου διόρθωσιν ταύτην. Ἡμῖν δὲ δοκεῖ γραπτέον εἶναι, καὶ μεταμέλει μὴ γράψασι, Τοὺς τυχόντας αὐτῆς μὴ κατὰ γένος. Μαρτυρεῖ δὲ τῇ ἡμετέρᾳ διορθώσει, καὶ ἡ ἡμαρτημένη ΔΓ, Τοὺς τυχόντας αὐτοὺς κατὰ γένος. Ὁ γὰρ λόγος περὶ τῶν μὴ δι' εὐγένειαν, ἀλλ' ἀπ' ἀρετῆς καὶ καλῶν ἔργων, ἐνδόξων γενομένων, ὡς αὐτὸς ἐρεῖ Πλούταρχος ἐν τοῖς ἑξῆς (§ 9, σελ. 52). — στ. 30, Χαλεποῖς.] ΠΡΔ, ΑΤ, Χαλεπῶς.

ΣΕΛΙΔ. 49, στ. 7, Οὐδὲ πλοῦτον, οὐδὲ λόγον.] Ἐνδέχεται μὴ τοῖς ἀντιγράψασιν, ἀλλ' αὐτῷ Πλουτάρχῳ ἡμαρτῆσθαι τὴν φράσιν· τὸ γὰρ ὀρθὸν, Οὔτε πλοῦτον, οὔτε λόγον, ἀντιδιεσταλμένως πρὸς τὸ καταφατικὸν, Εἴτε πλοῦτον, εἴτε λόγον. — στ. 15. Καίτι.] Ἐκ ΔΓ, ΑΤ, Καίτοι. — στ. 16, Ἰξιῶν.] ΗΔ, ΑΤ, Ἰξῶν. Ἰξίαν γὰρ τὸ πάθος, οὐκ Ἰξὸν, ἰατρῶν παῖδες καλοῦσιν. Ἔστι δὲ φλεβῶν οἴδησις παρὰ φύσιν, ἣν καὶ Κιρσὸν ὀνομάζουσι. — στ. 19, Οὐδέν.[ ΠΡΔ, ΑΤ, Οὐδέ. — στ. 22, Ὁρῶ.] ΔΓ, Ὁρᾶν. — στ. 30, Μεγίστων.] ΠΡΔ, ΑΤ, Μέγιστον.

ΣΕΛΙΔ. 50, στ. 2, Πόνων.] Οἱ ΠΡ, ἐκ ΔΓ, ΑΤ, Πόνου. Ἑτέρα ΔΓ, Πόνον. — στ. 8, Ῥωμαίῳ.] Οἱ ΠΡ, ἐκ ΔΓ, ΑΤ, Ῥωμαίων. — στ. 9, Ἐν ὄψει.] Ἐνώπιον ἁπάντων. Εἰσὶ μέντοι οἳ παρῄνεσαν γράφειν, Ἄνευ ὄψου· ἕτεροι δὲ, Ἐν ὄξει. — στ. 11, Τοὺς τιμῆς.] ΠΡΔ, ΑΤ, Τοὺς τῆς τιμῆς. — στ. 12, Ὡς τοὺς πόνους.] ΠΡΔ, ΑΤ, Ὡς τοῦ πόνου. — στ. 13, Ἀλλά.] Ἴσον ἐνταῦθα δύναται τῷ Καί. — στ. 22, Τεκτόνων.] Οἱ ΠΡ ἐκ ΔΓ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Τευτόνων. — στ. 2?, Βάγαν.] ΔΓ, Γάβαν. — στ. 30, Ἐκβιασθῆναι *καὶ* καταψηφίσασθαι.] Ὡς ἀντιγραφέων ἁμάρτημα διέγραψα τὸν σύνδεσμον.

ΣΕΛΙΔ. 51, στ. 8, Πλεῖν.] ΔΓ, Πάλιν. — στ. 24, Πολὺν ὄχλον ἄπορον καὶ δοῦλον.] ΠΡΔ, ΑΤ, Πολὺν τὸν ἄπορον καὶ δοῦλον.

ΣΕΛΙΔ. 52, στ. 5, Αὐτοὺς δὲ τύχῃ σφαλέντας, ἀπολέμους κ.τ.λ.] Ἐκ ΔΓ καὶ τοῦ Α, ΑΤ, Αὐτοὺς δ' ἀπολέμους. — στ. 9, Ἀπ' ἀρετῆς.] ΠΓΔ, ΑΤ, Ὑπὲρ ἀρετῆς. — στ. 12, Μετρῶν ἀεὶ φρονήματος μέγεθος.] ΠΡΔ, ΑΤ, Μέτρον ἀεὶ φρονήματος καὶ μέγεθος. — στ. 25, καθ' ἕκαστα.] Ἐκ ΔΓ, ΑΓ, Καθ' ἕκαστον.

ΣΕΛΙΔ. 53, στ. 2, Αὐτοῦ.] Ἐξ ΕΔ, ΑΤ, Ἑαυτοῦ.—στ. 3, Ἐκδόνῃ.] ΗΔ, ΑΤ, Ἐκδῷ.—στ. 5, Στρατείας.] Ἐκ ΔΓ. ΑΤ, Στρατεία.

ΣΕΛΙΔ. 54, στ. 6, Τοσοῦτον.] Ἐκ ΔΓ, ΑΤ, Τοσοῦτο.—Ἱδρυνθέντες.] ΔΓ, Ἱδρυθέντες.—στ. 17, Καὶ τὴν Μαιῶτιν.] Ἐκ ΔΓ, ΑΤ, Κατὰ τὴν Μαιῶτιν.—στ. 18, Μεμίχθαι.] Ἐξ ΕΔ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Μέμικται.—στ. 24, Γνωσθέντων.] Γνωσθὲν, γράφειν παρῄνεσαν οἱ ΠΡ. Ἔχει μέντοι καὶ τὸ, Γνωσθέντων, οὕτω τοῖς λοιποῖς συναρτᾶσθαι, καὶ ἑρμηνεύεσθαι, Τὸ μὲν πρῶτον στράτευμα τῶν Κιμμερίων τῶν πάλαι γνωσθέντων ὑφ' Ἑλλήνων, οὐ μέγα φασὶ γενέσθαι τοῦ παντὸς μόριον. —στ. 25, Φυγὴν κ. τ. λ.] Φυγάδας τινάς, στασιώτας, βιασθέντας ὑπὸ Σκυθῶν. Ἔστι δὲ ἀφῃρημένον ἀντὶ συγκεκριμένου, καθὰ καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β', σελ. 141).—στ. 27, Οἰκοῦν.] Ἐκ ΔΓ, ΑΤ, Ὤκουν.—στ. 28, Θάλασσαν, γῆν μέν.] Ἐκ ΔΓ, ΑΤ, Θάλατταν, οὕσπερ δή φασι γῆν μέν.—στ. 29, Ἑρκυνίων.] Ἐκ ΔΓ, ΑΤ, Ἑρκύνων. Ἑρκύνιον γὰρ δρυμὸν καὶ Ἑρκύνιον ὄρος ἐκάλουν οἱ παρὰ τοῖς Ἕλλησι Γεωγράφοι (Στράβ. σελ. 290) τὴν πολὺ μέρος τῆς Γερμανίας πάλαι κατέχουσαν ὕλην, αὐτὴν ἐξελληνίσαντες τῶν Γερμανῶν τὴν φωνὴν Harz. Μέχρι γὰρ νῦν οἱ Γερμανοὶ Harz ἢ Harzwald καλοῦσι τὸ δρυμοῖς κατεχόμενον καὶ ἐπὶ πολὺ τῆς Γερμανίας διῆκον ὄρος, ὅπερ οἱ Γάλλοι Μέλανα δρυμὸν (La forêt noire) ὀνομάζουσι. Καὶ σκοπητέον μήποτε τὰ παρὰ τῷ Ἀριστοτέλει (Μετεωρολογ. Α, 13) Ἀ ρ κ ύ ν ι α ὄ ρ η, οὐ γραφέων ἀβλεψίᾳ, ἀλλὰ μᾶλλον ἐτυμολογικῶς, διὰ τοῦ α γέγραπται.—στ. 30, Μέγα λαμβάνων.] Ἐξ ΕΔ, ΑΤ, Μεταλαμβάνων.

ΣΕΛΙΔ. 55, στ. 1, Ἔξαρμα.] ΔΓ (ἢ μᾶλλον ἑρμηνεία), Ὕψος.—στ. 5, Ὁμήρῳ.] Ἐν οἷς φησὶν (Ὀδυσσ. Λ, 14),

> Ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε
> Ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι κ. τ. λ.

—στ. 19, Ἀνατρέψωσι... διαπορθήσωσι.] Ἐκ ΔΓ, ΑΤ, Ἀνατρέψουσι... διαπορθήσουσι.

ΣΕΛΙΔ. 56, στ. 19, Τῇ τύχῃ χρώμενος ἀγροικότερον.] Ἀλαζονικώτερον.—στ. 21, Αἰσθόμενος.] ΔΓ, Αἰδούμενος.—στ. 24, Ἑαυτόν.] Ἐκ ΔΓ. ΑΤ, Ἑαυτῷ.

ΣΕΛΙΔ. 57, στ. 12, Αὐτοῖς.] Α ὐ τ ό ς, γραπτέον εἶναί τισιν ἔδοξε.

ΣΕΛΙΔ. 58, στ. 5, Ἀποδεδειγμένον.] Ἴσ. γρ. Ἐπιδεδειγμένον, ὡς καὶ οἱ ΠΡ ὑπετόπασαν. — στ. 6, Ἀπαγγελθέν.] ΔΓ, Ἀγγελθέν.—

στ. 18, Ἀπεκάλει.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Ἐκάλει.—στ. 27, Συνήγαγεν.] ΔΓ, Συνῆγεν.—στ. 30, Ἔδει.] Ἐξ ΕΔ, ΑΤ, Ἐδεῖτο.

ΣΕΛΙΔ. 59, στ. 1, Πρὸς τὴν θάλασσαν.] Ὤφειλεν εἰπεῖν, Ἀπὸ τῆς θαλάσσης, καθὰ καὶ οἱ ΠΡ ἐσημειώσαντο, οἳ καὶ διαγράφειν ὅλως τὰς λέξεις ἔγνωσαν. Ἴσωςγε μὴν συνωνυμεῖ ὧδε ἡ Πρὸς, τῇ, Διὰ, κατὰ τὸ « Διακεχυμένοι πρὸς τὸν ἄκρατον (κατωτέρ. § 19, σελ. 63) » ὥσπερ ἂν εἰ ἔλεγε, Διὰ τὴν θάλασσαν, τουτέστι, Διὰ τὴν ἀπὸ τῆς θαλάσσης δυσχέρειαν.—στ. 2, Ἀποκοπάς.] Ἴσ. γρ. Ἀνακοπάς. Ἐκ γὰρ τοῦ ἀνακόπτεσθαι ὑπὸ κυματουμένης τῆς θαλάσσης τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἡ πρὸς τοῖς ϛόμασιν αὐτοῦ ἰλὺς συμφορεῖται.—στ. 4, Χαλεπὴν καὶ ἐπίπονον, καὶ βραχύπορον.] Ἐκ ΔΓ προσέθηκα τὸν πρῶτον Καί. Τὸ δὲ Βραχύπορον ἴσον ἐνταῦθα δύναται τῷ Στενόπορον· ὅθεν οὐ τρεπτέον, ὡς παρῄνεσάν τινες, εἰς τὸ Βραδύπορον.—στ. 7, Βαθύ.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Βαθύν· πρὸς γὰρ τὸ, Στόμα.—στ. 9, Ἀπ' ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει.] Ἐπὶ Πλουτάρχου ἐκαλεῖτο παρὰ τοῖς Ῥωμαίοις Fossa Mariana, τουτέστι, Τάφρος, ἢ Διώρυξ Μαρίου, ἧς μνημονεύει καὶ Στράβων (Βιβλ. Δ. σελ. 183)· παρὰ δὲ τοῖς Γάλλοις νῦν, παραλειφθέντος τοῦ Μαρίου ὀνόματος, Foz μόνον καλεῖται.—στ. 14, Ἐγένετο.] ΗΔ, ΑΤ, Ἐγίνετο.—στ. 16, Φθόγγον.] ΔΓ, Φθογγήν.—στ. 18, Μέρος.] Ἐξ ΕΔ, προσέθηκα τὴν λέξιν.—στ. 22, Προπίπτοντας.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Προσπίπτοντας.

ΣΕΛΙΔ. 60, στ. 3, Τὰ φύσει δεινά.] ΠΡΔ, ΑΤ, Τὰ τῇ φύσει δεινά. Ἔϛι δὲ τὸ, Φύσει, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ, Λίαν, σωζόμενον μέχρι καὶ δεῦρο παρ' ἡμῖν. Φύσει κακὸς, γὰρ φαμὲν, ἀντὶ τοῦ, Κάκιϛος· καὶ, Φύσει καλὸς, ἀντὶ τοῦ, Βέλτιϛος.—στ. 14, Ἰταλίας.] Ἐκ ΔΓ, (συναδούσης Α) ΑΤ, Ἐλευθερίας.—στ. 15, Δέηται.] Γραπτέον, οἶμαι, Δέῃ.—στ. 18, Ἀποδειξάμενος.] ΔΓ, Ἐπιδειξάμενος.

ΣΕΛΙΔ. 61, στ. 1, Ἤ.] Ἐκ ΔΓ (συναδούσης Α) ΑΤ, Ἥ.—στ. 7, Πεπεισμένος *ὡς* ἀληθῶς.] Διαγέγραφα τὸ, Ὡς.—στ. 8, Ἐπιδείκνυται.] Γραπτέον, οἶμαι, Ἐπεδείκνυτο.—στ. 9, Ἀλέξανδρος ὁ Μύνδιος.] Ἐν τῇ ἐπιγραφομένῃ Περὶ τῆς τῶν πτηνῶν ἱϛορίας, βίβλῳ, ἧς ἡμῖν ἐφθόνησεν ὁ χρόνος. Ἡ δὲ τὸν Ἀλέξανδρον τοῦτον ἐνεγκαμένη Μύνδος, πόλις Καρίας, Μεντεσὲ τανῦν ὑπὸ τῶν Τούρκων καλεῖται.—στ. 13, Ἠσπάζοντο τοὺς γῦπας.] ΗΔ, ΑΤ, Ἠσπάζοντο τοὺς ϛρατιώτας.—στ. 22, Βαταβάκης.] ΔΓ, Βατάκης.—στ. 24, Νίκην καὶ μέγα κράτος.] ΔΓ, Νίκην καὶ κράτος.—Ὑπάρξειν.] ΗΔ, ΑΤ, Ὑπάρχειν.—στ. 25, Προσθεμένης.] ΔΓ, Προσιεμένης, ἢ Προσεμένης·

ὅπερ ἄμεινον.—στ. 26, Βαταβάκην.] ΔΓ, Βατάκην. Οὐδετέρα ἴσως ἔῤῥωται· ἀλλὰ γραπτέον, ἐνθάδε μὲν Βαβάκην, ἀνωτέρω δὲ, Βαβάκης, ἵν' ᾖ συνώνυμον τῷ Βάβαξ καὶ τῷ Βαβάκτης, ὅπερ Ἡσύχιος ἐξηγεῖται διὰ τοῦ Γάλλος. Γάλλοι δὲ ἐκαλοῦντο οἱ τῆς Μητρὸς τῶν θεῶν ἱερεῖς, οἳ, τὰς πόλεις ἐπιπορευόμενοι, καὶ ἀγυρτεύοντες, τῆς αὐτῶν ἀσώτου βιοτῆς ἐπεδείκνυντο τὴν ἀναίδειαν. Διὸ καὶ « Βάβαξ, » λάλος, μαινόμενος, ἄσωτος, Γάλλος » φησὶν Εὐστάθιος (σελ. 1494).

ΣΕΛΙΔ. 62, στ. 1, Πυρετὸς ἐξίνθησεν.] Ἰατρικῶς ἐκπέφρασται, ἀντὶ τοῦ κοινοτέρου, Πυρετὸς ἐξήφθη.—στ. 2, Ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν.] Οὐ διὰ τὸ ἀπελάσαι τοῦ βήματος τὸν ἀναιδέστατον ἀγύρτην, χρηστὲ Πλούταρχε, ἀλλὰ διότι εἵμαρτο ἄλλως τελευτῆσαι τὸν βίον αὐτῷ.—στ. 15, Ὀχυραῖς δέ.] ΠΡΔ, ΑΤ, Ὀχυραῖς τε. — στ. 16, Περιβαλλόμενος.] ΔΓ, Προβαλλόμενος· ἀμείνων, οἶμαι. —στ. 24, Εἶναι τὸ ποτόν.] ΔΓ. Εἶναι ποτόν.

ΣΕΛΙΔ. 63, στ. 13, Τὰ μὲν οὖν σώματα.] Ἐκ ΔΓ, ΑΤ, Τὰ μὲν σώματα.—στ. 21, Τὴν πάτριον ἐπίκλησιν αὐτῶν εἶναι.] Οὐκ ἐῤῥῶσθαι τὸ χωρίον, καὶ τοῖς πρὸ ἡμῶν ἔδοξε, καὶ ἡμῖν συνδοκεῖ. — στ. 25, Φιλοτιμουμένων πρῶτον.] Ἴσ. γρ. Φιλοτιμουμένων τῶν πρώτων· τῶν στρατηγῶν δηλονότι ἑκατέρου στρατεύματος.

ΣΕΛΙΔ. 64, στ. 12, Παραποταμίων.] ΔΓ, Παραποτάμιον.—στ. 15, Ἀνεχώρουν.] Ἐκ ΔΓ, ΑΤ, Ἀνεχώρησαν. — στ. 20, Ὑπελείποντο.] ΗΔ, ΑΤ, Ἀπελείποντο.—στ. 29, Προσδεχόμενον.] ΠΡΔ, ΑΤ, Προσδεχομένων.

ΣΕΛΙΔ. 65, στ. 5, Ἐν ὥρᾳ.] Τοῦτο οὐκ ἐνόησαν οὔθ' ὁ Γάλλος, οὔθ' ὁ Ἰταλὸς μεταφραστὴς, οὐ γὰρ τὸ, Ἐν καιρῷ τῷ εἰωθότι, σημαίνει, ἀλλὰ τὸ, τοῦ εἰωθότος ταχύτερον, καὶ ὅ φησιν ἡ παρ' ἡμῖν συνήθεια Ἐνωρὶς, αὐτὸ τοῦτο, τὸ, Ἐν ὥρᾳ, εἰς ἐπίῤῥημα τρέψασα. Ἐχρήσατο δὲ καὶ Ἀριστοφάνης (Ἐκκλησιαζ. 394) τῇ λέξει,

Ἀτὰρ τί τὸ πρᾶγμ' ἦν, ὅτι τοσοῦτον χρῆμ' ὄχλου
Οὕτως ἐν ὥρᾳ ξυνελέγη; . . . . .

συνθέτως δὲ τῷ συγκριτικῷ ὁ Ἀθήναιος (Δ, σελ. 142), « Οὐδέ ποτε » ἐνωρίστερον τοῦ κατειθισμένου συνῆγε καιροῦ » . Τοῦτο δὲ τὸ Ἐνωρίστερον παρὰ τὸ Ἐνωρὶ (κατὰ τὸν τύπον τοῦ Ἀωρὶ) ἐστὶ, καὶ προσέλαβε τὸ σ, κατὰ τὸ παρὰ τὸ Ἄγχι, Ἀγχίστερον καὶ Ἀγχίστατον, ἢ διότι καὶ πολλὰ τῶν εἰς ι ἐπιῤῥήματα, καὶ εἰς ις ἀδιαφόρως καταλήγουσιν, οἷον Ἄχρι καὶ Ἄχρις, Αὖθι καὶ Αὖθις κ. τ. λ. Παρ' ἡμῖν

δὲ ὁ συγκριτικὸς τύπος οὐκ ἀπεδέξατο τὸ σ· Ἐνωρίτερα γάρ φαμέν, οὐκ Ἐνωρίςερα, πλὴν εἰ μή τις τοῦτο παρὰ τὸ Ἔνωρος ὄνομα παράγειν προαιροῖτο, ὡς τὸ Λαλίστερος, παρὰ τὸ Λάλος. Τὸ δὲ Ἐνωρὴς, ὃ καλῶς ποιῶν ὁ φίλος Σνεϊδέρος ἐν ταῖς ἀμφιβόλοις κατέταξε λέξεσιν, οὐκ ἔστιν ἑλληνικόν· ἡμάρτηται γὰρ τὸ τοῦ Διοδώρου (Β, 29) χωρίον τοῦτο· «Τὸν πάντα βίον ἘΝΩΡΈΑΣ ΓΕΝΟΜΈΝΑΣ, » καὶ μηδενὶ ὅλως δυναμένας πιστεῦσαι βεβαίως», καὶ διορθωτέον, ἘΝ ἈΠΟΡΊΑΙΣ ΓΙΝΟΜΈΝΑΣ, εἶναί μοι δοκεῖ, ἐκ τῆς ἑτέρας οὐχ ἧττον ἡμαρτημένης εἰκάζοντι γραφῆς, ἘΝ ἈΨΩΡΑΊᾼ.—στ. 40, Προσέβαλλον.] Ἴσ. γρ. Προσέβαλον, ὥσπερ ἐξέφρασεν ὁ Α.—στ. 19, Ἀντιάσαντες.] Ἐκ ΔΓ, ΑΤ, Ἀντιστάντες.

ΣΕΛΙΔ. 66, στ. 5, Μέν γε.] Ἐξ ΗΔ, ἡ προσθήκη τοῦ δευτέρου συνδέσμου. Οἱ ΠΡ, παρῄνουν γράφειν, Μέντοι, ἢ, Μὲν γάρ· ἀλλὰ τῷ, Μὲν γάρ, ἰσοδυναμεῖν τὸ, Μέν γε, ἀποχρώντως ἐν ἄλλοις (Ἰσοκράτ. Μέρ. Β, σελ. 136), δέδεικται.—στ. 10, Πρὸ τοῦ τοιούτου.] Ἐκ ΔΓ, ΑΤ, Πρὸς τῷ τοιούτῳ.—στ. 21, Περιεςῶτος.] ΔΓ, Παρεστῶτος.—στ. 28, Ἡρῆσθαι.] Ἐκ ΔΓ, ΑΤ. Γενέσθαι.

ΣΕΛΙΔ. 67, στ. 2, Στεφάνοις.] ΔΓ, Στεφάνῳ.—Ἀνῆψε.] ΗΔ, ΑΤ, Ἐνῆψε.—στ. 7, Μαρίῳ καὶ τήν.] ΔΓ. Μαρίῳ τήν.—στ. 13, Ἰταλίαν.] ΔΓ, Τὴν Ἰταλίαν.—στ. 22, Ἀφιέντες.] Ἐκ ΔΓ, ΑΤ, Ἀφέντες.—στ. 26, Γῆς κολωνούς.] Ὅλα γῆς ἀναςήματα, ὅλους λόφους· τοῦτο γὰρ σημαίνει ὁ Κολωνὸς, παρ' ὃν καὶ τὸ Γαλατικὸν Colline.—στ. 28, Ἀφιέντες.] Ἐκ ΔΓ, ΑΤ, Ἐφιέντες.

ΣΕΛΙΔ. 68, στ. 12, Τὸν χαλκοῦν ταῦρον.] Παραπλήσιόν πως τοῦτο τῷ ἱερῷ λέβητι, ὃν χρόνοις ὕςερον ἔπεμψαν Αὐγούςῳ Καίσαρι, αἰτούμενοι φιλίαν, οἱ Κίμβροι, ὥς φησι Στράβων (Ζ, σελ. 293).—στ. 14, Νίκης.] ΔΓ, Μάχης.—στ. 16, Πόλιν.] ΔΓ, (ἢ μᾶλλον ἐξήγησις), Ῥώμην.— στ. 21. Παρακατατιθέμενος.] ΔΓ, Παρακαταθέμενος.—στ. 22, Ἀποδοθησομένην.] ΠΡΔ, ΑΤ, Ἀποθησομένην. Ἀποδοθησομένην δ' ἐοίκασιν ἀναγνῶναι καὶ ὁ Α, καὶ ὁ Ἰταλὸς μεταφραστής. Ὁ νοῦς, Τὴν ἐκ τοῦ θριάμβου δόξαν ἐῶν ἐν τῷ παρόντι, καὶ οἷον παρακατατιθέμενος τῇ τύχῃ τῆς πόλεως, λαμπροτέραν ἐλπίζων ἀπολαβεῖν παρὰ τῆς τύχης μετὰ τὰ δεύτερα κατορθώματα.

ΣΕΛΙΔ. 69, στ. 6, Συνέντες.] Ἐκ ΔΓ, ΑΤ, Συνιέντες. Ἑτέρα ΔΓ, Μὴ συνέντες.—στ. 10, Ἐκέλευσε.] Ἐκ ΔΓ, ΑΤ, Ἐκέλευε.—στ. 11, Σηκουανῶν.] ΗΔ, ΑΤ, Σικουανῶν.—στ. 12, Αὖθις ἐξ ἀρχῆς.] ΗΔ, ΑΤ, Εὐθὺς ἐξ ἀρχῆς. Ἔπιθι τὰ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β,

σελ. 257) σημειωθέντα. Οὐδὲ γὰρ ὅμοιον τοῦτο τῷ κατωτέρω (Λυσάνδρ. § 2, σελ. 95) ὀρθῶς ἔχοντι, Εὐθὺς ἐξ ἀρχῆς.—στ. 22, Ἐνεχόμενον.] ΔΓ, Ἐχόμενον.—στ. 27, Καὶ χαριεῖσθαι.] Περιττὸς ὁ σύνδεσμος.—στ. 28, Χώραν δέ.] ΠΡΔ, ΑΤ, Χώραν τε.

ΣΕΛΙΔ. 70, στ. 3, Ἐγένοντο.] Ἐκ ΔΓ, ΑΤ, Ἐγίνοντο.—στ. 5, Φησί.] Ἐκ ΔΓ, ΑΤ, Φασί.—στ. 6, Τὰς φάλαγγας.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Εἰς τὰς φάλαγγας. — στ. 7, Τοῦ ἀγῶνος.] ΔΓ, Τῶν ἀγώνων. — στ. 19, Στίλβοντες.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Στίλβοντας.—στ. 20, Διβόλια.] Ἐξ ΕΔ, ΑΤ, Διβόλια. Ὁ τελευταῖος τῶν ΠΡ, παρῄνει τρέπειν τὸ, Διβόλια, εἰς τὸ, Δίβολα, καὶ τὸ Ἀκόντισμα, εἰς τὸ, Ἀκοντίσματα, παραθέμενος τὸν παρ' Εὐριπίδῃ (Ῥήσ. 374), Δίβολον ἄκοντα.— στ. 28, Νιψάμενος ὁ Μάριος τὰς χεῖρας.] Σημείωσαι τὴν παρὰ Ῥωμαίοις νίψιν τῶν χειρῶν πρὸ τῆς προσευχῆς, παραπλησίαν τῇ παρ' Ἰουδαίοις (Ἐξόδ. λ', 18-21) καὶ παρὰ Τούρκοις.

ΣΕΛΙΔ. 71, στ. 3, Ἐμὴ ἡ νίκη.] Ἐξ ΗΔ, ἡ τοῦ ἄρθρου προσθήκη. ΔΓ, Ἐμὴ νίκη γέγονε.—στ. 8, Πολὺν ἤδη χρόνον.] ΔΓ, Πολὺν χρόνον.—στ. 18, Ὡς ἄγουσι.] ΔΓ, Ἃς ἄγουσι.—στ. 22, Καθ' αὐτούς.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Κατ' αὐτούς.

ΣΕΛΙΔ. 72, στ. 1, Ἀναδεδεμέναις.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Ἀναδεδεμένοι. —στ. 2, Τραγικωτάτοις ἐνετύγχανον πάθεσι.] Θεαταὶ παθῶν τραγικωτάτων ἐγίνοντο οἱ Ῥωμαῖοι.—στ. 19, Πανορμιτῶν.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Παρμιτῶν.—στ. 21, Ὑπὸ γραμμάτων.] Γράφε θαῤῥῶν, Ἀπὸ γραμμάτων· Γνωρίζειν γάρ τι ἀπό τινος (οὐχ Ὑπό τινος) ὡς ἀπὸ σημείου, καὶ οἱ πάλαι ἔλεγον, καὶ ἡ παρ' ἡμῖν συνήθεια λέγει.—στ. 23, Προσετίθει τὸ σύμπαν ἔργον.] Ἐξ ΕΔ, ΑΤ, Προσετίθετο σύμπαν τὸ ἔργον.—στ. 24, Πρόσχημα.] ΔΓ, (ἢ μᾶλλον ἐξήγησις), Ἀξίωμα.— στ. 26, Ἀπεωσμένον.] Οὐ παθητικῶς, ἀλλὰ κατὰ μέσην διάθεσιν, ἐπιθετικῶς μὲν πρὸς τὸν Μάριον, μεταβατικῶς δὲ πρὸς τὸν Κίνδυνον· ὡς ἄριστα ἡρμήνευσεν ὁ Α.

ΣΕΛΙΔ. 73. στ. 1, Ἔτι δὲ καὶ τούς.] Ἐξ ΕΔ (συναδούσης Α) ΑΤ, Ἔστι δὲ ὅτι καὶ τούς.—στ. 2, Παρεσκευασμένους.] Ἐξ ΗΔ (συναδούσης Α), ΑΤ, Παρατεταγμένους. Εἰ γὰρ βούλοιο τοῦτο φυλάττειν, μετασχηματιστέον οὑτωσὶ τὴν ὅλην περίοδον, « Ἔτι δὲ καὶ τοὺς στρατιώτας φο-» βηθεὶς παρατεταγμένους, εἰ Κάτλος ἀπείργοιτο τῆς τιμῆς, μὴ μηδ' » ἐκεῖνον ἐάσωσι θριαμβεύειν».—στ. 4, Διεῖπε.] Ὁ δὲ Α, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Διήγαγε.—στ. 5, Πρώτης.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Πρῶτος. —Ἀναλαμβάνων.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Ἀνελάμβανε.—στ. 10, Παρά.]

ΔΓ, Περί.—στ. 11, Ἀπέλειπεν.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α) ΑΤ, Ἀπέλιπε.—στ. 16, Οὐ κατακούσειεν.] ΔΓ, Οὐκ ἀκούσειεν.—στ. 19, Πολιτείᾳ.] ΔΓ, Πόλει.—στ. 23, Ἠχαριστημένον.] Ἀχάριστα πεπονθότα.—στ. 28, Καὶ τὸ στρατιωτικὸν ἐπάρας, κατεμίγνυε ταῖς ἐκκλησίαις, καὶ κατεστασίαζε τὸν Μέτελλον.] Ἢ ΔΓ, Καταμιγνύειν, ἀντὶ τοῦ, Κατεμίγνυε, ὑπονοεῖν παρέχει, μήποτε ἐγράφετο πάλαι, Καὶ τὸ στρατιωτικὸν ἐπάρας καταμίγνυσθαι ταῖς ἐκκλησίαις, κατεστασίαζε τὸν Μέτελλον.

ΣΕΛΙΔ. 74, στ. 2, Φησὶν ὡς.] Ταῦτα διαγράφειν ἔγνωσαν οἱ ΠΡ, ὡς ἀσυνάρτητα τοῖς πρὸ αὐτῶν. Ἐνδέχεται μέντοι πάλαι οὕτως ἐστίχθαι καὶ γεγράφθαι τὸ ὅλον χωρίον, « Καὶ κατεστασίαζε τὸν Μέτελλον » ὡς Ῥουτίλιος ἱστορεῖ, τὰ μὲν ἄλλα...προσκεκρουκώς. Φησὶ δ' ὡς » καὶ τῆς ἕκτης κ.τ.λ. ».—στ. 3, Τὸ Μέτελλον.] ΠΡΔ, ΑΤ, Τὸν Μέτελλον.—στ. 9, Μιᾷ.] Ἐξ ΕΔ, ΑΤ, Μιᾶς.—στ. 11, Νωνίου.] ΠΡΔ, ΑΤ, Ὀνίου.—στ. 16, Προσποιούμενος.] Ἐξ ΕΔ, ΑΤ, Περιπροσποιούμενος.—στ. 18, Καὶ γὰρ εἰ μὴ μοχθηρός ἦν.] Ἶσον δύναται τῷ, Εἰ καὶ μὴ μοχθηρὸς γὰρ ἦν.

ΣΕΛΙΔ. 75, στ. 7, Ἀνεκρότησε.] ΔΓ, Ἀνεβόησε.

ΣΕΛΙΔ. 76, στ. 10, Συνέκρουε.] Ἐκ ΔΓ, ΑΤ, Συνέκρουσε.—στ. 13, Καπετώλιον.] Ὀρθότερον ἐν ἄλλοις (Πλουτάρχ. Μέρ Α, σελ. 50) διὰ τοῦ ι, Καπιτώλιον· παρὰ γὰρ τὸ τῶν Ῥωμαίων Capitolium· οὐ μόνος μέντοι Πλούταρχος οὕτως, ἀλλὰ καὶ Ἡσύχιος, καὶ Στέφανος ὁ Βυζάντιος, καὶ ἄλλοι τὴν διὰ τοῦ ε προείλοντο γραφήν.—στ. 19, Ἐπίδοξος ὤν.] Προσυπάκουε ἐκ τοῦ ἑπομένου τὸ Μετελεύσεσθαι. Τὸ δὲ Ἐπίδοξος, ἐξηγησάμεθα ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 136).—στ. 20, Ἄλλως δ' αὐτὸς κ.τ.λ.] Ὁ νοῦς, Ψευδῶς δὲ προσεποιεῖτο λέγων διὰ τοῦτο μὴ μετελθεῖν τὴν τιμητείαν, ἵνα μὴ ἀπεχθάνηται τοῖς πολλοῖς κ.τ.λ.—στ. 26, Ἰδεῖν.] ΔΓ, Ἐπιδεῖν.

ΣΕΛΙΔ. 77, στ. 10, Φήμης.] ΔΓ, Φωνῆς.—στ. 15, Τοῦ μὴ πλείονας ἄλλων.] Ἐκ ΔΓ,ΑΤ, Τοῦ πλείονας ἄλλους. Ὁ νοῦς, Εἴτε τοῦτο [τὸ μακρὰν τῆς ἀγορᾶς οἰκεῖν] αἴτιον οἰόμενος εἶναι τοῦ μὴ φοιτᾷν ἐπὶ θύρας αὐτοῦ πλείονας [τῶν φοιτώντων ἐπὶ θύρας] ἄλλων· ὥσπερ ἐξέφρασε καὶ ὁ Α. Ἕτεροι δὲ ἄλλως ἐξεδέξαντο ταῦτα, παραχθέντες ὑπὸ τοῦ καινοῦ τῆς συγκριτικῆς συντάξεως. Πολλάκις γὰρ τὰ συγκρινόμενα οὐκ ἄμεσον ἔχει τὴν ἀναφορὰν πρὸς ἄλληλα, ἀλλὰ προσυπακούειν τι χρὴ πρὸς τὸ κατάλληλον τῆς συναρτήσεως· οἷον καὶ ἐνταῦθα τὸ, Ἄλλων, καθ' ἑαυτὸ μὲν οὐκ ἂν συνάπτοιτο, εἰ μὴ καθ' ἕτερον νοῦν,

τῷ Πλείονας, εἰ δέ τις προσυπακούοι τὸ, Τῶν φοιτώντων ἐπὶ θύρας, κατάλληλον ποιήσει τὴν σύνταξιν. Παραπλήσιον δέ ἐστι τῷ τοῦ Πλάτωνος (Γοργ. σελ. 479) τῳδὶ, «Κινδυνεύουσιν...ἀγνοεῖν ὅσῳ ἀθλι-» ώτερόν ἐστι μὴ ὑγιοῦς σώματος μὴ ὑγιεῖ ψυχῇ συνοικεῖν» κἀνταῦθα γὰρ εἰς τοῦτο ἀναλύσαις ἂν τὴν σύνταξιν, Ὅσῳ ἀθλιώτερόν ἐστι τὸ συνοικεῖν μὴ ὑγιεῖ ψυχῇ τοῦ συνοικεῖν μὴ ὑγιεῖ σώματι.—στ. 20, Ἀρχὴν πολιτείας.] ΔΓ, Ἀρχῆς πολιτείαν.—στ. 29, Ἰταλικῶν.] ΔΓ, Ἰταλῶν.—στ. 30. Ἐδέησαν.] ΠΡΔ,ΑΤ, Ἐδέησε.

ΣΕΛΙΔ. 78, στ. 14, Καλούμενος.] Ἴσ. γρ. Προκαλούμενος.—στ. 15, Ποπεδίου.] ΠΡΔ,ΑΤ, Ποπλίου, ἢ (ὥσπερ ἐν τοῖς Ἀποφθέγμασι) Πομπίου.—στ. 18, Μὴ βουλόμενον.] Ἐν δὲ τοῖς Ἀποφθέγμασι, Καὶ μὴ βουλόμενον.

ΣΕΛΙΔ. 79, στ. 4, Μιστήνους.] ΠΡΔ,ΑΤ, Μησίνους.—στ. 6, Ἑπτὰ ἡμίσους.] Σημειοῦ τὴν ἔλλειψιν τοῦ συνδετικοῦ μορίου, παραπλησίαν τῇ ἐν τῇ συνηθείᾳ, ἣ καὶ τὴν γενικὴν εἰς τὴν ὀνομαστικὴν τρέπει· Ἑπτὰ ἥμισυ γάρ φαμεν, ἤ, συντιθέντες, Ἑπτάμισυ. Εὕρηται δὲ καὶ τούτου παράδειγμα παρὰ τῷ Στράβωνι (Η, σελ. 379), λέγοντι τὸν Ἀκροκόρινθον εἶναι, «Ὄρος ὑψηλὸν ὅσον τριῶν ἥμισυ σταδίων ἔχον τὴν» κάθετον».— στ. 7, Διαγενομένου.] ΠΡΔ, ΑΤ, Γενομένου.—στ. 14 Ἐν ὅπλοις.] ΠΡΔ ἡ προσθήκη τῆς προθέσεως.

ΣΕΛΙΔ. 80 στ. 1, Ἐπεκάλει.] Ἴσον δύναται τῷ Ἐνεκάλει, ὡς καὶ τὸ, Ἐπίκλημα, τῷ, Ἔγκλημα.—στ. 14, Ἀπραξίας.] Ἐξ ΕΔ, καὶ τοῦ Α.ΑΤ, Πράξεις.—στ. 18, Ἱππεῖς.] Διέγραψαν εἰκότως τὴν λέξιν οἱ ΠΡ, λείπουσαν καὶ παρὰ τῷ Α.—στ. 26, Σολώνιον.] Α. Σαλώνιον.—στ. 29, Ὠστίαν.] Οἱ ΠΡ ἐκ ΔΓ,ΑΤ, Ὠστείαν.

ΣΕΛΙΔ. 81. στ. 2, Καὶ λαμβάνων.] Διέγραψα τὸν σύνδεσμον, δόξαν τοῦτο καὶ τοῖς ΠΡ.—στ. 3, Διέλαθεν.] ΔΓ, Ἔλαθεν.—στ. 5, Προϊδόμενος.] ΠΡΔ, ΑΤ, Προειδόμενος.—στ. 7, Οὕτω δή.] ΑΔ, ΑΤ, Οὕτω δέ. Παραπλησία γὰρ ἡ μετάβασις τῇ κατωτέρω (§ 37, σελ. 83) «Οὕτω δὴ πάντων ἔρημος ἀπολειφθείς.»—στ. 19, Ἐπιλειπόντων.] Ἐκ ΔΓ, ΑΤ, Ὑπολειπόντων.—στ. 21, Ταῖς μεγάλαις.] Ἴσ. γρ. Ἐν ταῖς μεγάλαις, ἤ, ὡς ὑπενόησαν οἱ ΠΡ, Τοῖς ἐν ταῖς μεγάλαις.—στ. 24, Περιπεσεῖν, φοβερὸν δὲ καὶ μὴ περιπεσεῖν, δι' ἔνδειαν.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Περιπεσεῖν, δι' ἔνδειαν.—στ. 25 Βωτῆρσιν.] Συνηθέστερον τὸ διὰ τοῦ ο, Βοτῆρσιν.

ΣΕΛΙΔ. 82, στ. 11, Αὐτόν.] Ἐκ ΔΓ, ΑΤ, Αὐτῷ.—στ. 13, Τοὺς τότε.] Ἐξ ΕΔ, ΑΤ, Τούτους τότε. Ἔστι γράφειν καὶ, Τούς τε τότε.

—στ. 15, Τοῖν δυοῖν.] ΗΔ, ΑΤ, Τῶν δυοῖν.—στ. 17, Ὅς.] Ἐκ ΔΓ, ΑΤ, Ὡς.—Ἐκλέπει.] Ἐξ ΕΔ (ὡς καὶ παρ' Ἀριστοτέλει [Περὶ ζώων ἱστορίας ς', 6] φέρεται αὐτὸ τοῦτο τοῦ Μουσαίου τὸ ἔπος), ΑΤ, Ἐκλεπεῖ.—Ἀλεγίζει.] Ἐξ ΕΔ (ὡς καὶ παρ' Ἀριστοτέλει), ΑΤ, Ἀλυδάζει. Δύναται δὲ τὸ Ἀ λ ε γ ί ζ ε ι, φροντίζει, προνοεῖ.—στ. 26, Ἀντικρύ]. ΔΓ, Ἀντικρύς.—στ. 27, Ἢ Αἰναρία.] ΠΡΔ, ΑΤ, (ἐν μιᾷ λέξει) Ἠναρία.

ΣΕΛΙΔ. 83, στ. 2, Ὅποι] ΔΓ, Ὅπη. — στ. 5, Προήτεσθαι.] Ἐξ ΗΔ (συναδούσης Α.), ΑΤ, Προέσθαι.—στ. 8, Βαλόμενοι.] ΠΡΔ, ΑΤ, Βαλλόμενοι.—στ. 10, Φορά.] Ἀνέμου δηλονότι ἐπιτηδείου τῷ πλῷ. —στ. 17, Ὅν.] Ἐξ ΗΔ. ἡ προσθήκη τῆς μετοχῆς. —στ. 19, Ἀνοδίαις.] Κατ' ἀνοδίας, τουτέστι χαλεπὰς ὁδοὺς, ἢ καὶ τόπους μὴ ἔχοντας ὅλως ὁδούς.—στ. 27, Οὕτω.] ΔΓ, Τοῦτο.—στ. 28, Ἐπέβαλε.] Ἐκ ΔΓ, ΑΤ, Ἐπέβαλλε.—στ. 30, Περιπέσσειν.] Ἐξ ΗΔ, ΑΤ, Περιπεσεῖν. Ἔστι δὲ τὸ Περιπέσσειν, ἢ Περιπέττειν, μεταφορικῶς, περικαλύπτειν· ὅπερ ἐξέφρασε καὶ ὁ Α, διὰ τοῦ Couvrir. Ἐχρήσατο τῇ λέξει ἐπὶ τῆς αὐτῆς ἐννοίας καὶ Κλήμης ὁ Ἀλεξανδρεὺς (Παιδαγωγ. Βιβλ. Γ, κεφ. 3) φήσας, « Χλανίσι διαφανέσι περιπεπεμμένοι »· καθ' ἑτεροίαν δέ τινα τροπὴν καὶ Ἀριστοφάνης (Πλουτ. 159),

Ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

ΣΕΛΙΔ. 84, στ. 5, Ὑποδεξαμένου καὶ κατακρύπτοντος.] ΔΓ, Ὑποδεδεγμένου καὶ κατακρύβοντος.

ΣΕΛΙΔ. 85, στ, 13, Ἐπισκίου.] ΔΓ, Παλισκίου. — στ. 21, Πεπρωμένον.] ΔΓ, Μεμορμένον.

ΣΕΛΙΔ. 86, στ. 3, Τοιαύτη δὲ προθυμία.] ΔΓ, Τοιαύτη προθυμία· ὅπερ ἄμεινον καὶ παραπλήσιον τῷ ἀνωτέρω ( σελ. 85 ) « Ὑπὸ τοιού- » των λογισμῶν εἰσπεσόντες κ. τ. λ. » καὶ τῷ ἐν τοῖς ἑξῆς (σελ. 87) « Ταῦτα τῷ Μαρίῳ πυνθανομένῳ » . Τὸ γὰρ, Ο ὗ τ ο ς, Τ ο ι ο ῦ τ ο ς, Τ ο σ ο ῦ τ ο ς καὶ τὰ ὅμοια, καθ' ἑαυτὰ τὴν μετάβασιν δηλοῦν ἔχουσιν ἐν ἀρχῇ τῆς περιόδου ταττόμενα. — στ. 5, Ἐμβάς.] ΠΡΔ, ΑΤ. Ἐκβάς.—στ. 6, Πνεύματι. ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Πνέοντι. — Φερόμενος.] ΔΓ, Φέροντι χρώμενος. —στ. 18, Σεξτίλιος.] Σέξτιος ὑπὸ τοῦ Ἀππιανοῦ καλεῖται οὗτος.—στ. 23, Μὴ ἐπιβαίνειν.] ΠΡΔ, ἡ προσθήκη τῆς ἀπαγορεύσεως. — στ. 29, Ἐν τοῖς. ] Οἱ ΠΓ ἐκ ΔΓ, ΑΤ, Ἐν τῆς.

ΣΕΛΙΔ. 87, στ. 11, Διεπράττετο. ] Ἐκ ΔΓ, ΑΤ, Ἐπράττετο. — στ. 26, Δύναμιν, ἐπολέμει. ] ΔΓ, Δύναμιν αὖθις διεπολέμει. —

—στ. 30, Μεθ' ὧν.] Διέγραψα τὰς λέξεις· πλὴν εἰ μήτις τρέπειν αὐτὰς εἰς τὸ, Μετ' αὐτῶν, ὥσπερ ἔδοξέ τισι, προαιροῖτο.

ΣΕΛΙΔ. 88, στ. 11, Τἄλλα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τἄλλα τε. Ἑτέρα ΔΓ, Τάλλα τά. — στ. 14, Προήει.] Ἐκ ΔΓ, Α, Προσήει. — στ. 15, Τῷ οἴκτῳ.] Δοκεῖ μοι γραπτέον εἶναι, Τῷ οἰκτρῷ.—Τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τὸ φοβερόν.] ΔΓ, Τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τοῦ φοβεροῦ. Τοιαύτῃ τινὶ γραφῇ ἐντετυχηκέναι ἔοικε καὶ ὁ Α· ὃς καὶ τὸ, Πλέον, ἐπὶ τοῦ, Πλήρες, ἐξεδέξατο. Ἴσ. γρ. Πνέοντος φοβερόν. Ἄμεινον μέντοι κατὰ χώραν ἐᾶν τὴν γραφὴν, ὑποστίζοντας μόνον μετὰ τὸ, Πλέον, ἵν' ᾖ ὁ νοῦς, Τῷ καθ' ὑπόκρισιν οἰκτρῷ καὶ ἐλεεινῷ συμμέμικτο πλέον (τουτέστι, Κατὰ πλείονα μερίδα) τὸ φοβερὸν, ὅπερ ἦν ἀληθῶς καὶ κατὰ φύσιν οἰκεῖον τῆς ὄψεως αὐτοῦ. — στ. 20, Σιτηγά.] Ἐκ ΔΓ, ΑΤ, Σιτία. Τὸ δὲ Σιτηγὰ, κατ' ἔλλειψιν τοῦ Πλοῖα, ὥσπερ ἐχρήσατο καὶ ἀλλαχοῦ (Γαλϐ. § 13).

ΣΕΛΙΔ. 89, στ. 2, Υἱὸς ὢν Μετέλλου.] ΔΓ, Υἱὸς Μετέλλου. — στ. 8, Κελεύσαντος.] ΔΓ, Κελεύοντος.—στ. 10, Χαλδαῖοι.] Οὕτως ὠνόμαζον τοὺς ἀστρολόγους ἅπαντας, διὰ τὸ διαβεβοῆσθαι τοὺς Χαλδαίους ἐπὶ τῷ προλέγειν τὰ μέλλοντα, ἐκ τῆς τῶν ἄστρων θέσεώς τε καὶ κινήσεως. — στ. 11, Σιϐυλλισταί.] Οἱ τὰ τῆς Σιϐύλλης ἐξηγούμενοι βιϐλία καὶ ἐξ αὐτῶν δηλοῦντες τα συμϐησόμενα.—στ. 15, Φυλάξας.] ΔΓ, Διαφυλάξας. — στ. 16, Πλείονα δέ.] Διέγραψα τὸν σύνδεσμον, δόξαν τοῦτο καὶ τοῖς ΠΡ. — στ. 22, Ὀρθῶσαι. ] Ἐκ ΔΓ, ΑΤ, Ῥῶσαι.

ΣΕΛΙΔ. 90, στ. 2, Λέγων.] Προσετέθη ἐκ ΔΓ ὑπὸ τῶν ΠΡ. — στ. 4, Ἐκϐάλλουσαν.] Ἴσ. γρ. Ἐκϐαλοῦσαν. — στ. 9, Βαρδιαίους. ] ΔΓ, Ὀρταίους. Γραπτέον ἴσως, Βαρδαίους· ἢ καὶ κατὰ χώραν ἐάσαντας τὸ, Βαρδιαίους, τοὺς αὐτοὺς εἶναι λεκτέον τοῖς Βαρδαίοις, Ἰλλυρικῷ ἔθνει, οὓς ὁ μὲν Πτολεμαῖος, Ο ὐ α ρ δ α ί ο υ ς, καλεῖ, Στράϐων δὲ καὶ, Ἀ ρ δ ι α ί ο υ ς. Περὶ τούτων ταῦθ' εὕρηται ἐν ἀρχαίῳ Λατινελληνικῷ Λεξικῷ· « Bardæi, Ἰλλυρικοὶ δοῦλοι, οἱ καὶ ἀγωνισάμενοι (ἴσ. γρ. » οἱ δ ι α γ ω ν ι σ ά μ ε ν ο ι) ὑπὲρ τῆς Ἰταλίας, κατὰ (γρ. μετὰ) » Κίννου καὶ Μαρίου στρατευσάμενοι, καὶ ἐκ τούτου τυραννῆσαι (γρ. » τ υ ρ α ν ν ή σ α ν τ ε ς) κατὰ τῶν δεσποτῶν. Τούτους Σερτώριος δόλῳ περικυκλεύσας ἀναιρεῖ ». — Προσηγόρευεν.] ΔΓ, Προσηγόρευσεν.—στ. 13, Τῶν ἄλλων.] Ἐξ ΕΔ, ΑΤ, Τοὺς ἄλλους.

ΣΕΛΙΔ. 91, στ. 8, Τοῦ νέου . . . καὶ δημοτικοῦ. ] ΗΔ, ΑΤ, Τὸν νέον. . . καὶ δημοτικόν.—στ. 9, Πολυτελοῦς.] Ἴσως, φασὶν οὐκ ἀπι-

θάνως οἱ ΠΡ, ἐγέγραπτο, Πολυετοῦς.—στ. 12, Συνέτεινε.] Μετὰ σπουδῆς ἔδραμε.

ΣΕΛΙΔ. 92, στ. 3, Ἐκζωπυρήσας.] ΗΔ (συνᾴδοντος καὶ τοῦ φίλου Σνεϊδέρου ἐν τῷ Λεξικῷ), ΑΤ, Ἐκζωπυρίσας.—στ. 11, Κατηκόντισαν ἅπαντας.] Τετρακισχιλίους ὄντας τὸν ἀριθμὸν, ὡς ἐρεῖ Πλούταρχος ἀλλαχοῦ (Σερτωρ. § 5).—στ. 12, ὥσπερ τροπαίας τινὸς ἀμειβούσης.] Λέγεται καὶ Τροπὴ καὶ Τροπαία ὁ ἀπὸ θαλάσσης πρὸς τὴν γῆν πνέων ἄνεμος. Ἔςι γὰρ, ὥς φησιν Ἀριστοτέλης (Προβλ. κϛ΄, 5) ἡ « τροπαία οἷον ἀναστροφὴ ἀπογείας· ἡ δὲ ἀπογεία, τὸ ἐκ τῆς γῆς » πρὸς τὴν θάλατταν πνεῦμα γινόμενον· ἡ δὲ τροπαία, ἡ τούτου πα- » λίῤῥοια».—στ. 13, Ἀγγελίαι.] ΔΓ, Ἄγγελοι.—στ. 18, Προελθών.] ΠΡΔ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Προσελθών.—στ. 19, Λουκῖνον.] ΔΓ, Λικίνιον.—στ. 25, Μερουλᾶν.] ΔΓ, Μερούλλαν.—στ. 28, Θραυόμενος.] Ἴσ. γρ. Θραττόμενος, τουτέστι, ταραττόμενος. Θράττειν γὰρ τὸ Ταράττειν ἔλεγον οἱ Ἀττικοὶ, κατὰ τροπὴν καὶ συγκοπήν. Πολλὴ δὲ ἡ λέξις παρὰ τῷ Πλάτωνι.

ΣΕΛΙΔ. 93, στ. 10, Ποσειδώνιος.] Φιλόσοφος Στωϊκὸς, πολιτευσάμενος ἐν Ῥόδῳ, καὶ δὴ καὶ σχολαρχήσας μετὰ Παναίτιον, ὅπου καὶ Κικέρων ἤκουσεν αὐτοῦ (Πλουτάρχ. Κικέρ. § 4). Ἦν δὲ οὐ μόνον πολυμαθέστατος, ὥς φησι Στράβων (σελ. 753), ἀλλὰ καὶ εὐφυέςατος. Οὗτός ἐςιν ὁ Πομπηΐῳ τῷ μεγάλῳ, ἀπιόντι ἐκ Ῥόδου, καὶ ἐρωτῶντι, εἴ τι προστάττει, τὸ Ὁμηρικὸν (Ἰλιάδ. Ξ, 208) ἀποκρινάμενος,

Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

—στ. 12, Ἱςορικός.] ΔΓ, Τιμητικός.— στ. 14, Περὶ τῶν ἑαυτοῦ.] ΔΓ, Περὶ τῶν καθ' ἑαυτόν.—στ. 20, Παρακοπήν.] ΔΓ, Παρατροπήν. Ἔςι δὲ ἡ Παρακοπὴ ἰατρικὴ λέξις, σημαίνουσα τὴν Παράνοιαν, ἢ μᾶλλον εἶδός τι παρανοίας Καὶ εἰκὸς τὸ πάλαι τὸ Κόπτειν τροπικῶς καὶ ἐπὶ τῶν ἐνεργειῶν τοῦ νοῦ, τουτέστιν ἐπὶ τοῦ ἐνδιαθέτου λόγου, τετάχθαι, ὥσπερ καὶ ἐπὶ τοῦ προφορικοῦ τεταγμένον ἀλλαχοῦ (Ἡλιοδώρ. Μέρ. Β, σελ. 298) σεσημείωται. Τεκμηριοῦται δὲ τοῦτο πάλιν ἡ παρ' ἡμῖν συνήθεια, ἐπὶ τοῦ, Συλλογίζεσθαι, Στοχάζεσθαι, Εἰκάζειν, χρωμένη τῇ λέξει· οἷον ἐν τῷ, Κόπτει ὁ νοῦς μου, Τί κόπτει ὁ νοῦς σου; καὶ τοῖς ὁμοίοις. Ἔστιν οὖν τὸ Παρακόπτειν, ἐπὶ μὲν τοῦ ἐνδιαθέτου λόγου, τὸ Παρὰ τὸ ὀρθὸν κόπτειν, τουτέςι, συλλογίζεσθαι, καθὰ καὶ τὸ Παρανοεῖν, τὸ Παρὰ τὸ ὀρθὸν νοεῖν·

ἐπὶ δὲ τοῦ προφορικοῦ, τὸ ἡμέτερον Παραλαλεῖν, ὅπερ Ἀλλοφάσσειν ἔλεγον οἱ ἀρχαῖοι τῶν ἰατρῶν.

ΣΕΛΙΔ. 94, στ. 1, Ἄνθρωπος, εἶτα Ἕλλην, οὐ βάρβαρος, οὐδ' ἄλογον τῇ φύσει θηρίον γένοιτο.] Ὑπὸ τῆς Α μεταφράσεως (homme raisonnable et non pas beste brute, et puis Grec, non pas barbare) πλανηθείς, οὐκ ἐῤῥῶσθαι τὸ χωρίον ὑπέλαβέ τις τῶν ΠΡ. Διὸ παρῄνει γράφειν, « Ἄνθρωπος, οὐκ ἄλογον τῇ φύσει θηρίον, εἶτα Ἕλλην, οὐ » βάρβαρος γένοιτο » οὐκ ἐννοήσας ὅτι Πλούταρχος μὲν τῷ συνήθει τοῖς Ἕλλησι Χιαστῷ λεγομένῳ σχήματι ἐχρήσατο (Ἴδ. Ἰσοκράτ. Μέρ. Α, σελ. 442), ὁ δὲ Ἀμιότος, τῇ τὰ τοιαῦτα ἀποστρεφομένῃ σχήματα πατρίῳ φωνῇ χρώμενος, οὐκ εἶχεν ἄλλως ἐκφράσαι.—στ. 7, Φίλου χρηστοῦ.] ΗΔ, ΑΤ, Φιλοχρήστου. Ἔχοι δ' ἄν τις καὶ, Φίλον χρηστὸν, γράφειν, ὥσπερ εἴκασαν οἱ ΠΡ. Ὁ μὲν Ἀμιότος παρέλιπεν ὅλως τὸ, Φίλου χρηστοῦ· ὁ δὲ Ἰταλὸς μεταφραστὴς τὸ, Φίλου μόνον ἐξέφρασε, dall' amica fortuna.—στ. 13, Τὸ μέν.] Τὸ μέλλον.—Τὸ δ'.] Τὸ παρὸν, οὗ τις ἐν τῷ παρόντι ἀγαθοῦ ἀπολαύει, ἢ καὶ ἀπολελαυκὼς ἡδέως ἂν μνημονεύοι.—στ. 24, Δόξας δὲ καί.] Διαγραπτέος μοι ἔδοξεν εἶναι ὁ δεύτερος τῶν συνδέσμων.

## ΛΥΣΑΝΔΡΟΣ.

ΣΕΛΙΔ. 95, στ. 4, Εἰκονικός.] Κακῶς τῶν ΠΡ τις εἰς τὸ, Εἰκονέτκος τρεπτέον εἶναι εἴκασεν. Ἀνδριὰς εἰκονικὸς λέγεται ὁ πανόμοιος τῷ εἰκονιζομένῳ, ὁ καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν ἑκάστου τῶν μελῶν τοῦ σώματος ἀκριβῶς παριστάς· ᾧ ῥήματι καὶ Ῥωμαῖοι ἐχρῶντο Iconicas statuas (Πλίν. λδ', 4) τοὺς τοιούτους ἀνδριάντας καλοῦντες. Ἐντεῦθεν καὶ, Εἰκονικὸν ἀντίγραφον φαίη τις ἂν τὸ τοῖς Γάλλοις καλούμενον διὰ ταυτοσήμου λέξεως copie figurée, τουτέστιν ἐν ᾧ ἡ τοῦ πρωτοτύπου μίμησις τοιαύτη ἐστὶν, ὥστε καὶ τὰ διαγεγραμμένα, εἴ τι που ἐν ἐκείνῳ, διὰ τὸ μὴ ὀρθῶς γεγράφθαι, διαγέγραπται, εἰκονίζειν.—στ. 5, Ἔθει τῷ παλαιῷ.] Ἐκ ΔΓ, ΑΤ, Ἐπὶ τῷ παλαιῷ.—στ. 7, Αὐτοῖς.] Ἐξ ΕΔ, ΑΤ, Αὐτοί.—στ. 14, Ἀριστόκλειτος.] Παυσανίας δὲ καὶ ἕτεροι Ἀριστόκριτον τοῦτον ὀνομάζουσι.—στ. 26, Αἰτιᾶσθαι.] Αἰτίαν εἶναι λέγειν.

ΣΕΛΙΔ. 96, στ. 4, Ἀριστοτέλης.] Ἐν τοῖς Προβλήμασι (λ', 1) διὰ μακρῶν· ὅπου τῶν μὲν πάνυ παλαιῶν Βελλεροφόντην καὶ Ἡρακλέα, τῶν ὑστέρων δὲ, Ἐμπεδοκλέα, Σωκράτην, Πλάτωνα, καὶ Λύσανδρον

τουτονὶ μελαγχολικοὺς γενέσθαι φησί.—στ. 6, Τῇ μελαγχολίᾳ περιπεσεῖν.] Οὐδὲν, ὡς εἰπεῖν, ἐνταῦθα διενήνοχεν ἡ παρ' ἡμῖν συνήθεια τῆς ἀρχαίας, Ἔπεσεν εἰς μελαγχολίαν, λέγουσα. — στ. 12, Ὑπολειπόμενον.] Ἐκ ΔΓ, ΑΤ, Ἀπολειπόμενον. Ἴσως δ' ἄμεινον κατ' ἀόριστον γράφειν Ὑπολιπόμενον· ἀλλὰ τηνικαῦτα καὶ τὸ μικρὸν ἀνωτέρω, Εἰσάγοντα, τρεπτέον εἰς τὸ, Εἰσαγαγόντα.—στ. 25, Δείσαντες οὖν οἱ Λακεδαιμόνιοι.] Περιττὸς ὁ, Οὖν· τὸ γὰρ Δείσαντες κ. τ. λ. ἀπόδοσίς ἐστι τῆς προτάσεως, Ἐπεὶ δὲ τοῦ Πελοποννησιακοῦ κ. τ. λ.

ΣΕΛΙΔ, 97, στ. 2, Περικεχυμένης.] Ἐξ ΕΔ, ΑΤ, Παρακεχυμένης. Ἡ δὲ λέξις μετενήνεκται ἀπὸ τῶν περιῤῥεόντων καὶ περικλυζόντων, ἐπὶ τὰ ὁπωσοῦν περικυκλοῦντα.—στ. 4, Φορτηγά.] ΠΡΔ, ΑΤ, Φορτικά. —στ. 5. Ταῖς μὲν ἐμπορίαις.] ΠΡΔ, ΑΤ, Τοῖς μὲν ἐμπόροις. —στ. 6, Ἐργασίαις.] Τέχναις, ἀντιδιεσταλμένως πρὸς τὸ, Ἐμπορίαις. —στ. 12, Ἔχων πρόσταγμα.] Ἀντὶ τοῦ, Προστεταγμένος ὑπὸ τοῦ βασιλέως· ὥσπερ καὶ ἡ συνήθεια, Ἔχων προσταγὴν, λέγει οὐδὲν ἧττον ἑλληνικῶς.—στ. 27, Λαμπρυνάμενος]. Εὐδοκιμήσας παρὰ τοῖς ναύταις.

ΣΕΛΙΔ. 98, στ. 16, Στρατιωτῶν.] Ἴσ. γρ. Στρατηγῶν. — στ. 24, Ἑταιρικά.] Ἐλλειπτικῶς τοῦ Συστήματα, ἐξηγήσαντο οἱ ΠΡ· ἅπερ οἱ Γάλλοι Partis, ἢ Factions, καλοῦσι.

ΣΕΛΙΔ. 99, στ. 4, Καὶ πεῖραν.] Διέγραψαν τὸν σύνδεσμον οἱ ΠΡ. Ἴσως μέντοι ἐξεῤῥύη ὄνομά τι ἕτερον τοῦ χωρίου, ὃ συνέδει ὁ Καί.— στ. 14, Θρέψει.] ΗΔ, ΑΤ, Θρέψῃ. —στ. 27, Πᾶσαν ὑφ' Ἑλλήνων ἧτταν Ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι τοῦ κολακεύειν καὶ φοιτᾶν ἐπὶ θύρας βαρβάρων, πολὺ χρυσίον, ἄλλο δ' οὐδὲν καλὸν ἐχόντων.] Σημειοῦ νέε καὶ τοῦ λεκτικοῦ καὶ τοῦ πραγματικοῦ τοῦ χωρίου τοῦδε τὸ κάλλος· καὶ προαιροῦ ἐν ταῖς τῆς πατρίδος ταραχαῖς τὸ ὑπὸ τῶν ὁμογενῶν ἡττᾶσθαι μᾶλλον τοῦ προστάταις καὶ συμμάχοις τοῖς ἀλλογενέσιν ἐπὶ τοὺς ὁμογενεῖς χρώμενος παραιρεῖσθαι τῆς ἐνεγκαμένης τὸ κράτος· τοῦτο γάρ ἐστι τὸ διωλέσαν τοὺς ἡμετέρους προγόνους μάλιστα. Πρῶτον μὲν γὰρ Πέρσας τοῖς Ἑλληνικοῖς ἐγκατέμιξαν πράγμασι, καὶ τὸ πάντων σχετλιώτατον, Ἑλλήνων Ἕλληνες αἷμα ξίφεσι βαρβάρων ἐξέχεαν· εἶτα Μακεδόνας ἄρχειν Ἑλλήνων ἐποίησαν· καὶ τὸ τελευταῖον, ὑποχείριοι Ῥωμαίοις γενόμενοι, οὐδ' ἧς αὐτοῖς Ῥωμαῖοι κατέλιπον ἀμυδρᾶς αὐτονομίας ἀπολαύειν οἷοί τ' ἐγένοντο. Καὶ ὅραμοι πάλιν ἅπερ ἐν ἄλλοις ( Πολιτικ. παραγγέλμ. § 19 ) εἴρηκε περὶ τούτου, τὴν Ἑλλήνων ἀποδυρόμενος ἄνοιαν, ὁ νουνεχέστατος Πλούταρχος·

« Ποιοῦντα μέντοι καὶ παρέχοντα τοῖς κρατοῦσιν εὐπειθῆ τὴν πα-
» τρίδα, δεῖ μὴ προσεκταπεινοῦν, μηδὲ, τοῦ σκέλους δεδεμένου,
» προσυποβάλλειν καὶ τὸν τράχηλον, ὥσπερ ἔνιοι, καὶ μικρὰ καὶ
» μείζω φέροντες ἐπὶ τοὺς ἡγεμόνας, ἐξονειδίζουσι τὴν δουλείαν,
» μᾶλλον δὲ ὅλως τὴν Πολιτείαν ἀναιροῦσι, καταπλῆγα καὶ περιδεῆ,
» καὶ πάντων ἄκυρον ποιοῦντες. Ὥσπερ γὰρ οἱ χωρὶς ἰατροῦ μήτε
» δειπνεῖν μήτε λούεσθαι συνεθισθέντες, οὐδ' ὅσον ἡ φύσις δίδωσι,
» χρῶνται τῷ ὑγιαίνειν· οὕτως οἱ παντὶ δόγματι καὶ συνεδρίῳ καὶ
» χάριτι καὶ διοικήσει προσάγοντες ἡγεμονικὴν κρίσιν, ἀναγκάζουσιν
» ἑαυτῶν μᾶλλον ἢ βούλονται δεσπότας εἶναι τοὺς ἡγουμένους. Αἰτία
» δὲ τούτου μάλιστα πλεονεξία καὶ φιλονεικία τῶν πρώτων· ἢ γὰρ ἐν
» οἷς βλάπτουσι τοὺς ἐλάττονας ἐκβιάζονται φεύγειν τὴν πόλιν, ἢ περὶ
» ὧν διαφέρονται πρὸς ἀλλήλους οὐκ ἀξιοῦντες ἐν τοῖς πολίταις ἔχειν
» ἔλαττον, ἐπάγονται τοὺς κρείττονας· ἐκ τούτου δὲ καὶ βουλὴ καὶ
» δῆμος καὶ δικαστήρια καὶ ἀρχὴ πᾶσα τὴν ἐξουσίαν ἀπόλλυσι. Δεῖ
» δὲ τοὺς μὲν ἰδιώτας ἰσότητι, τοὺς δὲ δυνατοὺς ἀνθυπείξει πραΰνον-
» τα, κατέχειν ἐν τῇ Πολιτείᾳ καὶ διαλύειν τὰ πράγματα, πολιτικήν
» τινα ποιούμενον αὐτῶν, ὥσπερ νοσημάτων ἀποῤῥήτων, ἰατρείαν,
» αὐτόν τε μᾶλλον ἡττᾶσθαι βουλόμενον ἐν τοῖς πολίταις, ἢ νικᾷν
» ὕβρει καὶ καταλύσει τῶν οἴκοι δικαίων, τῶν τε ἄλλων ἑκάστου δεό-
» μενον καὶ διδάσκοντα τὴν φιλονεικίαν ὅσον ἐστὶ κακόν. Νῦν δὲ, ὅπως
» μὴ πολίταις καὶ φυλέταις οἴκοι καὶ γείτοσι καὶ συνάρχουσιν ἀνθυ-
» πείξωσι μετὰ τιμῆς καὶ χάριτος, ἐπὶ ῥητόρων θύρας καὶ πραγμα-
» τικῶν χεῖρας ἐκφέρουσι σὺν πολλῇ βλάβῃ καὶ αἰσχύνῃ τὰς διαφο-
» ράς ». Καὶ ταῦτα μὲν ἐκ τοῦ Πλουτάρχου, τοῦ δέοντος μὲν ἴσως μακρότερα, ἀναγκαῖά γε μὴν τοῖς παροῦσι πράγμασι, παραθέσθαι δεῖν ἔγνων, ἵνα καὶ οἱ εὖ φρονοῦντες τῶν Ἑλλήνων ἐπιῤῥωσθῶσι, καὶ οἱ ἑτέρως ἔχοντες, οἷον ἐπῳδῆς τινος, τῆς φιλοσόφου φωνῆς ἀκούσαντες, ὑγιασθῶσι· μεταβῶμεν δὲ ἐπὶ τὰ ἑξῆς.

ΣΕΛΙΔ. 10?, στ. 7, Καὶ καταγελασθείς.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, ἀσυνδέτου, Καταγελασθείς.—στ. 12, Διαλυθῆναι.] Ἴσον τῷ Διαλλαχθῆναι. —στ. 25, Ἐπιστολέα.] Οὐ τὸν γραμματοφόρον ἐνθάδε (ἐφ' ἧς σημασίας εὕρηται ἐν τῷ παρακμάζοντι ἑλληνισμῷ), ἀλλ', ὡς ἐξηγεῖται Πολυδεύκης, τὸν ἐπὶ τοῦ στόλου διάδοχον τοῦ ναυάρχου, ὃν οἱ Γάλλοι Vice-Amiral καλοῦσιν. Ὁ Ἰταλὸς μεταφραστὴς ἐξέφρασε διὰ τοῦ Vicecomandante· ὁ δ' Ἀμιότος οὐκ ὀρθῶς, διὰ τοῦ, Superintendant de la marine.

ΣΕΛΙΔ. 101, στ. 2, Ἀπάταις τὰ πολλὰ διαποικίλλων ΤΟΥ ΠΟΛΕΜΟΥ.] Ἴσ. γρ. Τὸν ΠΟΛΕΜΟΝ, πρὸς τὸ, Διαποικίλλων, ἐπιῤῥηματικῶς ἐκλαμβάνοντας τὸ, Τὰ πολλά.—στ. 3, Τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι κ. τ. λ.] Ὁ νοῦς, τὸ δίκαιον ἀσπαζόμενος τότε μόνον ἡνίκα καὶ συμφέρον ἦν ἅμα, εἰ δὲ κεχώριστο τοῦ συμφέροντος, προαιρούμενος τὸ συμφέρον ὡς κάλλιον τοῦ δικαίου. — στ. 17, Προσῆγε.] Οἱ ΠΡ, Προῆγε γραπτέον εἶναι εἴκασαν, ἣ γραφῇ ἐντυχεῖν ἔοικε καὶ ὁ Ἰταλὸς μεταφραστὴς, s' avanzava ἑρμηνεύσας· ὁ δὲ Λατῖνος μεταφραστὴς οὕτως ἐξέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Προσηγόρευε, τουτέστιν ἐξ ὀνόματος ἐκάλει.—στ. 24, Ὥς φησι.] Ἐξ ΕΔ, ΑΤ, Ὥς φασι.

ΣΕΛΙΔ. 102, στ. 5, Μηδίαν.] ΗΔ, ΑΤ, Μήδειαν.—στ. 14, Ἐπεδείξατο πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέω, ἣ βούλοιτο, κρατῶν της θαλάττης.] ΠΡΔ, ΑΤ, Ἐπιδεῖξαι τῷ πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέον ἢ βούλοιτο κρατῶν τῆς θαλάττης. Ὁ νοῦς· Ἄγιδι, παρόντι πεζῷ, τουτέστι μετὰ τοῦ πεζικοῦ ςρατεύματος, ἐπεδείξατο Λύσανδρος τὴν ῥώμην τοῦ ναυτικοῦ, ὡς πλέων ὅποι βούλοιτο, διὰ τὸ κύριος εἶναι τῆς θαλάττης.—στ. 16, Αἰσθόμενος.] Ἐκ ΔΓ, προσέθηκαν οἱ ΠΡ τὴν λέξιν.—στ. 17, Ἄλλῳ δρόμῳ.] Ὡς καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, Ἄλλον δρόμον, ἀντὶ τοῦ ἀρχαιοτέρου Ἄλλην ὁδόν.—στ. 26, Ἀντιπέρας.] Λέγεται καὶ Ἀντιπέραν, καὶ Ἀντιπέρα· ὅπερ ἡ συνήθεια προπαροξυτόνως Ἀντίπερα λέγει.

ΣΕΛΙΔ. 103, στ. 12, Οὐ πρότερον . . . εἰ μὴ δύο καὶ τρεῖς τριήρεις.] Τὸ, Εἰ μὴ, διὰ τὸ, Πρότερον, οἱ μὲν εἰς τὸν διαζευκτικὸν, Ἢ, οἱ δὲ εἰς τὸ, Πρὶν ἢ, τρέπειν παρῄνεσαν. Οὐδετέρας ὅμως τῶν διορθώσεων χρῄζει τὸ χωρίον· σεσημείωται γὰρ καὶ ἐν ἄλλοις (Πολυαίν. Στρατηγημ. Πίνακ. λέξ. Εἰ μή), ὡς οἰκεῖον τῷ παρακμάζοντι ἑλληνισμῷ τὸ, Εἰ μὴ, ἐπιταττόμενον τῷ, Πρότερον. Ἑτέρως γε μὴν διορθοῦν τὸ χωρίον οὐκ ἂν ὀκνήσαιμι γράφων, Οὐ πρότερον . . . εἰ μὴ δύο τριήρεις. Τῷ γὰρ, Τρεῖς, ἡμαρτημένως παρεισαχθέντι, διὰ τὴν πρὸς τὸ Τριήρεις ὁμοιότητα, ἐπελθὼν ἕτερος ἀντιγραφεὺς προσέθηκε τὸν ἀναγκαῖον αὐτῷ δόξαντα συμπλεκτικόν.—στ. 14, Ἰδόντας.] Πρὸς τὸ σημαινόμενον· τουτέστιν οὐ πρὸς τὸ θηλυκὸν, Τριήρεις, ἀλλὰ πρὸς τοὺς ἐν ταῖς τριήρεσι. — στ. 15, Ταῦτά.] ΠΡΔ, ΑΤ, Τοσαῦτα.

ΣΕΛΙΔ. 104, στ. 9, Ὅταν δὲ σημανθῇ.] Ἀπροσώπως τὸ Σημανθῇ. Ἀπρόσωπα δὲ λέγεται, οὐχ ὡς οὐκ ἔχοντα πρόσωπον, τουτέστιν Ὑποκείμενον, πρὸς ὃ φέροιτο τὸ Κατηγορούμενον, ἀλλ' ὡς ὑπ' αὐτῷ τῷ κατηγο-

ρουμένῳ ῥήματι λανθάνοντος τοῦ προσώπου· οἷον αὐτὸ τοῦτο τὸ Σημανθῇ ἀναλύεται εἰς τὸ, Σημεῖον ἀρθῇ, ὥσπερ καὶ τὸ Χρὴ, εἰς τὸ Χρεία ἐστί.—στ. 15, Πρῶτος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πρῶτον.—στ. 19, Οὐδὲν ἔργον.] Οὐδὲν ὄφελος· ὥσπερ καὶ ἀνωτέρω (σελ. 351).—στ. 24, Ὀκτὼ ναυσίν.] Ὅσας καὶ Ξενοφῶν (Ἑλληνικ. Β, ά) λέγει· Λυσίας δὲ (Ἀπολογ. Δωροδοκ. § 4), Διόδωρος ὁ Σικελιώτης (ΙΓ, 106), καὶ Παυσανίας (Γ, ιά), δέκα φασί.

ΣΕΛΙΔ. 105, στ. 1, Τὸ Ναύσταθμον.] Τὸν ναυτικὸν στόλον (Ἴδ. Πλουτάρχ. Μέρ. Β, σελ. 368 καὶ 404).—στ. 4, Πόνῳ.] Οἱ ΠΡ ἐκ ΔΓ, ΑΤ, Φόνῳ.—στ. 5, Ὥρᾳ μιᾷ χρόνου. . . πόλεμον.] ΗΔ, ΑΤ, Ὥρα μιᾶ χρόνον. . . πολέμων. Ὁ νοῦς, Καὶ συντελέσας ἐν μιᾷ χρόνου ὥρᾳ, τουτέστιν ἐν βραχεῖ χρόνου μορίῳ πόλεμον μήκιστον καὶ ποικιλώτατον, καὶ διὰ τὰ συμβάντα πάθη καὶ τύχας ἀπιστότατον, τῶν πρὸ αὐτοῦ.—στ. 11, Ἦσαν δέ τινες οἱ. . . ἑκατέρωθεν [εἶδον], ὅτε. . . [ὡς] ἄστρα κ. τ λ.] Ἐξ ΕΔ προτέθηκα τὰς δύο λέξεις καὶ ἔτρεψα τὸ, Οἵ, εἰς τὸ, Οἱ.—στ. 16, Εἰς Αἰγός.] ΗΔ, ΑΤ, Ὡς Αἰγός.—Ἔτι καὶ νῦν.] ΗΔ, ἡ τοῦ συνδέσμου προσθήκη. —στ. 18, Ἐνδεδεμένων.] Ἴσ. γρ. Ἐνδινουμένων.—στ. 21, Πέφυκε.] Ἐκ ΔΓ. ΑΤ, Πέφηνε. Ἴσως δ' ἦν ἂν ἄμεινον ἐᾶν κατὰ χώραν τὸ, Πέφηνε, ὅ ἐστι, φαίνεται.—στ. 22, Σφιγγόμενα.] Ἐκ ΔΓ, ΑΤ, Σφιγγόμενον.—στ. 26, Ῥύσις.] Ἐξ ΕΔ, ΑΤ, Ῥύσεις.—στ. 27, Ἐπινέμησις.] Ἕτεροι δὲ τοῦτο παρήνεσαν τρέπειν εἰς τὸ, Ἐπινεμήσεις.—στ. 28, Χυθέντος.] ΗΔ (συνᾴδουσα Α), ΑΤ, Λυθέντος.—στ. 30, Ἐνδόσει τινὶ τόνου καὶ περιτρόπου κινήσεως.] ΗΔ τὸ Περιτρόπου κινήσεως, ΑΤ, Παρατρόπου κινήσεως· ἀνθ' οὗ ὁ Α ἐξέφρασε, Παρατροπῇ κινήσεως. Τὸ μέντοι ἡμέτερον, Περιτρόπου, (ὅ ἐστι, Κυκλοφορικῆς) ἔοικεν ἐκφράσαι καὶ ὁ Λατῖνος μεταφραστὴς διὰ τοῦ motus circularis· καὶ ὁ Ἰταλὸς διὰ τοῦ moto vertiginoso. Ἐπιθι τὸν Ἡσύχιον (λέξ. Περιτρόπου, καὶ Περιτρέπεται).

ΣΕΛΙΔ. 106, στ. 1, Ἐκπάλων.] ΗΔ, ΑΤ, Ἐκ παλμῶν. Ἔχοις δ' ἂν γράφειν καὶ περισπωμένως, Ἐκπαλῶν· Ἔκπαλος γὰρ καὶ Ἐκπαλὴς ἡ εὐθεῖα. Ἔστι δὲ ὁ σφοδρῶς ἐκσεισθεὶς ἢ ἐκσαλευθεὶς οὗ κατεῖχε τόπου, καθὰ δῆλον ἐκ τῆς παρ' Ἱπποκράτει χρήσεως, ἐπὶ τῆς βιαίου τῶν ὀστῶν ἐξαρθρήσεως τάξαντι τὴν λέξιν. Ἐρωτιανὸς, « Ἐκπαλήσαν» τος, ἐκπάλου γενομένου » (ἢ ὡς γραπτέον ὑπέλαβεν ὁ Φοέσιος, Ἐκπαλήσαντες, ἔκπαλοι γενόμενοι)· καὶ αὖθις, «Ἀποπαλήσει, σα» λεύσει καὶ σφοδρᾷ κινήσει »· καὶ Ἡσύχιος, « Ἐκπαλὲς, ἔξαρθρον » καὶ « Ἐκπάλη [ἀναχυξήτως ἀντὶ τοῦ Ἐξεπάλη], ἐχωρίσθη, ἀπέστη, » ἐξέπεσεν »·

« ἐξέπεσεν ». — Οὐκ ἀεὶ πρός.] Ἐκ ΔΓ, ΑΤ, Οὐ πρός. — στ. 3, Δαΐμαχος.] Ἐξ ΕΔ, ΑΤ, Δάμαχος. Μνημονεύει καὶ ἀλλαχοῦ Πλούταρχος τοῦ Δαϊμάχου. — στ. 7, Πολυπλόκους.] ΔΓ, Πολύπλους (ἐξ ἀμείνονος δηλονότι γραφῆς τῆς, Πολλαπλοῦς.) — στ. 8, Ὥστε ὑπό.] Ἐξ ΕΔ, ΑΤ, Ὡς τὰ ὑπό. — στ. 12, Τοσούτου.] Ἐξ ΕΔ, ΑΤ, Τοσοῦτον.—στ. 16, Ἀποκοπεῖσαν.] Ἐξ ΕΔ, ΑΤ, Ἀποκοπείσης.—στ. 17, Ὑποληφθεῖσαν.] Ἐξ ΗΔ. (παρὰ τὸ, Ὑπολαμβάνομαι) ΑΤ, Ὑπολειφθεῖσαν (παρὰ τὸ, Ὑπολείπομαι).—Ὥσπερ οἱ στρόβιλοι.] Ἢ τρέπε, εἰς τὸ, Ὡς ὑπὸ στροβίλου, ἢ ἐξηγοῦ, Ὅσπερ συμβαίνει ἐν τοῖς ςροβίλοις, ἢ ἐν τοῖς ὑπὸ ςροβίλων φερομένοις. Ἔσωσεν ἡ συνήθεια τὴν λέξιν ἐν τῷ συνθέτῳ, Ἀνεμοςρόβιλος.—στ. 25, Στρατηγὸν, ἠρώτησεν αὐτόν.] ΔΓ, Στρατηγὸν αὐτῶν, ἠρώτησεν αὐτόν. Γράφε ὁποτέρως βούλοιο, ἢ δίχα τῆς τελευταίας ἀντωνυμίας, Στρατηγὸν αὐτῶν, ἠρώτησε, ἢ καὶ τὴν πρώτην προσδιαγράφων, Στρατηγὸν, ἠρώτησε.—στ. 26, Τοιαῦτα.] Οἷον ἦν ἡ περὶ τῆς ἀποκοπῆς τοῦ δεξιοῦ ἀντίχειρος (ἀνωτέρ. § 9, σελ. 102) συμβουλή.—στ. 30, Πρῶτος ἐπὶ τὴν σφαγὴν κ. τ. λ.] Γενναῖα ταῦτα τοῦ Φιλοκλέους· κἂν ἦσαν, ἀδίκως ὀλλυμένου, ἀξιάγαστα, εἰ μὴ διὰ τὴν ἄδικον συμβουλήν.

ΣΕΛΙΔ. 107, στ. 13, Οὔτε γὰρ ἀριστίνδην, οὔτε πλουτίνδην.] Οὔτε κατ' ἀριστεῖαν οὔτε κατὰ πλοῦτον. Σημείωσαι δὲ καὶ τὸν σπάνιον τύπον τῶν εἰς ινδην ἐπιῤῥημάτων τούτων, οἷς προστίθει καὶ τὸ Ἀγχιςίνδην, καὶ τὸ Φαρυγίνδην, ἢ Φαρυγγίνδην, καὶ τὸ ἐκ τοῦ Σουίδα μήπω καταχωρισθὲν ἐν τοῖς Λεξικοῖς Φαλαγγίνδην. —στ. 18. Κωμικός.] Ἱςορικὸς, γράφειν οὐ πιθανῶς τινὲς παρῄνεσαν, ἵν' ἔχῃ νοεῖσθαι Θεόπομπος ὁ Χῖος ὁ Ἰσοκράτους μαθητής. — στ. 20, Γεύσαντες.] Σημείωσαι τὴν μεταβατικὴν χρῆσιν τοῦ, Γεύω τινὰ, ἀντὶ τοῦ Γεύεσθαι ποιῶ· ἣν ἔσωσε καὶ ἡ συνήθεια, ἐπὶ τῆς σημασίας τοῦ Ἑστιᾶν· οἷον Τὸν ἔγευσα σήμερον.

ΣΕΛΙΔ. 108, στ. 17, Ἑαλώκειν.] ΔΓ (ἡ ἐξήγησις), Ἑαλωκέναι. —στ. 19, Τὰ τέλη.] Αἱ ἀρχαί· ὅθεν καὶ Οἱ ἐν τέλει, οἱ ἄρχοντες. — Καββαλόντες.] Καταβαλόντες. — στ. 21, Ταῦτά κα δρῶντες τὰν εἰράναν ἔχοιτε.] Ταῦτα ποιοῦντες, ἔχοιτε ἂν τὴν εἰρήνην. ΗΔ, ΑΤ, Ταῦτα καὶ δρῶντες κ. τ. λ. Ταὐτὸ γὰρ σημαίνει παρὰ Δωριεῦσιν ὁ Καὶ τῷ παρὰ τοῖς Ἴωσι Κὲ (ἢ Κὲν) καὶ παρὰ τοῖς Ἀττικοῖς Ἂν συνδέσμῳ, ὡς καὶ, Γὰ, φασὶ τὸν, Γέ. — στ. 22, Δόντες.] Ἐξ ΕΔ, ΑΤ, Δοῖτε. — Περὶ δὲ τᾶν ναῶν τῶ πλήθεος.] Περὶ δὲ τοῦ πλήθους τῶν νεῶν. Ἐξ ΕΔ, ἡ προσθήκη τοῦ συνδέσμου· ὤφειλον δὲ καὶ, Πλάθεος.

γράψαι δωριςί.—στ. 23, Ὁκοιόν τι κα τήνοις δοκέη.] Ὁποῖόν τι ἂν ἐκείνοις δοκῇ· τοῖς ἡμετέροις στρατηγοῖς δηλονότι. Τὸ μὲν Ὁκοῖόν τε, ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Οἰκεῖόν τι, τὸ δὲ, Κα τήνοις δοκέη, ἐξ ΗΔ, ΑΤ, Κατῆνι δοκέοι, ἢ (ὡς ἑτέρα ΔΓ) Κατῆνον δοκέοι.—στ. 24, Ἄγνωνος.] Οἱ ΠΡ ἐξ ΕΔ, ΑΤ, Ἄγκωνος.—στ. 26, Ἐρωτώμενον.] Οἱ ΠΡ ἐξ ΕΔ, ΑΤ, Ἐρωτωμένου.

ΣΕΛΙΔ. 109, στ. 2, Πασῶν ἔδει.] Ἴσ. γρ. Πασῶν ἂν ἔδει.—στ. 13, Τὸν Θηβαῖον 'Ερίανθον.] Εὔανθον τοῦτον ἕτεροι ὠνόμασαν (Ἴδ. Ἰσοκράτ. Μέρ. Β, σελ. 135).—στ. 16, Καὶ παρὰ πότον τινός.] 'Εξ ΕΔ, ΑΤ, Παρὰ πότον καί τινος.—στ. 18, Ἀγαμέμνονος ὦ κόρα κ.τ.λ.] 'Εκ τῆς Εὐριπίδου Ἠλέκτρας (ςίχ. 167), ὅπου καὶ Ἀ γ ρ ο τ έ ρ α ν φέρεται ἀντὶ τοῦ Ἀ γ ρ ό τ ε ι ρ α ν.—στ. 21, Τοιούτους ἄνδρας.] Οἷος ἦν Εὐριπίδης. Καὶ σημειοῦ ὅτι δὶς δι Εὐριπίδην ἐλέου ἔτυχον Ἀθηναῖοι, ἔν τε τῷ παρόντι πολέμῳ, καὶ τῷ πρότερον ἐν Σικελίᾳ (Πλουτάρχ. Νικ. § 29, σελ. 295), καὶ συλλογίζου ἐντεῦθεν, ὦ νέε, ἡλίκην ἡ παιδεία φέρει τὴν ὄνησιν καὶ τοῖς ἔχουσι, καὶ τοῖς τῶν ἐχόντων οὐ μόνον πολίταις καὶ συγγόνοις, ἀλλ' ὃ καὶ μᾶλλον ἄν τις θαυμάσειε, καὶ αὐτοῖς τοῖς ἀπογόνοις. Καὶ ἡμεῖς γὰρ οἱ ἐπὶ ξένης ἀλώμενοι τὰ νῦν Ἕλληνες, εἴ τις οἶκτος καὶ κηδεμονία παρὰ τῶν ἀλλογενῶν ἐπικουφίζει τὰς ἡμετέρας ἀτυχίας, τοῖς προγόνοις εἰδέναι χάριν ὀφείλομεν.

ΣΕΛΙΔ. 110, στ. 3, Συναράμενος.] Ἴσ. γρ. Ἀράμενος, ἀπροθέτως. —στ. 4, Συνηγανάκτησεν.] Σὺν τῷ ἀνατραπέντι Καλλιβίῳ.—Συνεπετίμησε.] Ἐνταῦθα δὲ, σὺν τίνι; διὸ καὶ, Ἐπετίμησε, γράφειν ἀπροθέτως τινὲς παρῄνεσαν.—στ. 17, Τὸν κέραμον.] Τ ὰ κ ε ρ α μ ί δ ι α, φαίη ἂν ἡ συνήθεια οὐδετέρως καὶ πληθυντικῶς· Τὸ δὲ ἀρσενικὸν ἐν μόνῃ ταύτῃ τῇ παροιμίᾳ ἔσωσεν,

Ὁ πηλὸς, ἂν δὲν δαρθῇ, κέραμος δὲν γίνεται.

ἣ κατακεχώρισται καὶ ἐν ταῖς τοῦ Ἀποστολίου παροιμίαις.

ΣΕΛΙΔ. 111, στ. 1, Θεόπομπος.] Τὸν Χῖον ἱςορικὸν ἐνθάδε λέγει, τὸν Ἰσοκράτους μαθητήν.— Ἔφορος.] Ἕτερος οὗτος Ἰσοκράτους μαθητὴς, ἱςορίαν καὶ αὐτὸς συγγράψας.—στ. 6, Γινοιτο.] 'Εξ ΗΔ, ΑΤ, Γένοιτο.—στ. 12. Τοσούτων.] 'Εκ ΔΓ, ΑΤ, Τοσοῦτον.—στ. 17, Οὐκ ἀφῄρει.] ΔΓ, Οὐχ οὕτως ἀφῄρει.—στ. 18, Εἰσεποιεῖτο.] Ἄμεινον ἂν εἶπεν ἐνεργητικῶς, Εἰσεποίει.—στ. 27, 'Ενστάσεις.] 'Αντιστάσεις. Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐντάσεις.—στ. 29, Ὅπως οὐ πάρεισιν.] Ὅπως οὐκ εἰσελεύσεται.

ΣΕΛΙΔ. 112, στ. 10, Ἀλεξανδρίδης.] ΔΓ. Ἀναξανδρίδης.—στ. 14, Ὁμολογουμένοις.] Ἴσ. γρ. Λεγομένοις.—στ. 16, Πρώτῳ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Πρῶτον. — στ. 17, Ἐκείνῳ.] Ἐκ ΔΓ, ἡ προσθήκη τῆς λέξεως.—στ. 22, Ἡραῖα.] Τὴν εἰς τιμὴν τῆς Ἥρας ἀγομένην ἑορτήν. — στ. 23, Ποιητῶν.] Ἐκ ΔΓ, ΑΤ, Πολιτῶν. — στ. 26, Ἀντιμάχου.] Οὗτός ἐστιν ὁ ποιήσας τὴν μηκέτι σωζομένην Θηβαΐδα.

ΣΕΛΙΔ. 113, στ. 5, « Ἦ δοῦλον;» εἶπεν.] Τὸ μὲν, Εἶπεν, ἐκ ΔΓ, ΑΤ, Εἰπεῖν· τὸ δὲ, Ἦ, ἐρωτηματικὸν ἀντὶ τοῦ, Ἢ, διαζευκτικοῦ, ἐξ ΗΔ. Οὐδεὶς τῶν πρὸ ἡμῶν συνῆκε τὸ δριμὺ τοῦ λακωνικοῦ σκώμματος τοῦδε. Ὁ μὲν τῶν κολάκων ἀναιδέστατος Ἀριστόνους ἐπηγγέλλετο Λυσάνδρῳ, ἂν ἑβδόμην νίκην νικήσῃ, κηρύξειν ἑαυτὸν Λυσάνδρῳ προσήκειν· τοῦτο γάρ ἐστι τὸ Λυσάνδρου εἶναι. Ὁ δὲ φιλελεύθερος Λύσανδρος, δυσχεράνας τοῦ κιθαρῳδοῦ τὴν ἀναίδειαν, ὑπολαβὼν, ἠρώτησεν, Ἦ δ ο ῦ λ ο ν ἐ μ ο ῦ κ η ρ ύ ξ ε ι ς ε ἶ ν α ι σ ε α υ τ ὸ ν, Ἀ ρ ι ς ό ν ο ε; — στ. 7, Ἐπαχθής.] Ἐκ ΔΓ, ΑΤ, Ἐπαχθές.—στ. 12, Οὐδὲ γάρ.] Ἐξ ΕΔ, ΑΤ, Οὔτε γάρ.—στ. 16, Συναμφοτέρους.] Τούς τε κεκρυμμένους τῶν δημοκρατικῶν, καὶ τοὺς ἐν τῷ φανερῷ ἀναςρεφομένους.—στ. 23, Ἀρχέστρατον.] Ἐξ ΕΔ, ΑΤ, Ἀρχίστρατον.

ΣΕΛΙΔ. 114, στ. 3, Ἐπισώσαντες.] Ἄμεινον ἂν γράφοις, Ἀπισώσαντες, ὥσπερ ἔδοξε καὶ τοῖς ΠΡ.—στ. 11, Ἐστί.] Ἐξ ΕΔ, ΑΤ, Ἐπί. — στ. 19, Ὡς τῷ μετροῦντι τὸ μετρούμενον.] Ὡς χοίνικα σίτου φαμὲν, οὐ τὸ μετροῦν ἀγγεῖον τὸν χοίνικα δηλοῦντες, ἀλλὰ σῖτον ὅσον χοίνιξ χωρῆσαι δύναται.—στ. 22, Ὡς λύσων τὴν διαφορὰν συνελθεῖν.] Ἐξ ΗΔ, ΑΤ, Ὡς λύσων συνελθεῖν τὴν διαφοράν.

ΣΕΛΙΔ. 115, στ. 8, Οὐκ ἄρ' Ὀδυσσεὺς κ. τ. λ.] Ἐκ τοῦ Εὐριπίδου Παλαμήδους, δράματος οὐκέτι σωζομένου, εἰλῆφθαι τὸν ςίχον ὑπειλήφασί τινες.—στ. 12, Αὐτῷ.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτόν.—στ. 13, Ἀφυταίων.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀφυγαίων. —στ. 29, Πρώτων.] Ἐξ ΗΔ, ΑΤ, Πρῶτον.

ΣΕΛΙΔ. 116, στ. 9, Τοὺς Ἀθηναίους.] Ἐκ ΔΓ, οἱ ΠΡ, Τοῖς Ἀθηναίοις. — στ. 13, Θρασύνασθαι.] Ἐξ ΗΔ. ΑΤ, Θρασύνεσθαι. — στ. 15, Αὐθεκάστως.] Ἁπλῶς.—στ. 24, Ἀφεστώτων.] Ἐκ ΔΓ, ΑΤ, Ἐφεστώτων.—Παρερχομένους.] ΠΡΔ, ΑΤ, Παρερχόμενος.—στ. 30, Λεωτυχίδαν] Ἐξ ΗΔ (διὰ τὸ δώριον τῆς φωνῆς), ΑΤ, Λεωτυχίδην. Καὶ μικρὸν κατωτέρω γὰρ Λεωτυχίδας, καὶ Λεωτυχίδαν, γέγραπται.

ΣΕΛΙΔ. 117, στ. 6, Ὡς οὐ κυήσειεν.] Ἡ Τιμαία. — στ. 9, Τοῦ νεανίσκου.] Ἐξ ΕΔ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον. — στ. 13, Λεω-

τυχίδα.] Ἐξ ΗΔ, ΑΤ, Λεωτυχίδη.—στ. 15, Προσφέρων] Ἴσ. γρ. Προφέρων.—στ. 17, Φράζεο.] Μνημονεύει τοῦ χρησμοῦ τοῦδε καὶ ἀλλαχοῦ (Ἀγησιλ. § 3) ὁ Πλούταρχος, καὶ ὁ Παυσανίας (Γ, 8). — στ. 18, Μή σέθεν ἀρτίποδος.] Οὕτως καὶ ἐν τῷ Πλουτάρχου Ἀγησιλάῳ, καὶ παρὰ τῷ Παυσανίᾳ σολοίκως· ὤφειλε γὰρ εἶναι, Μή σε ἀρτίποδα, ἵνα συνάπτηται πρὸς τὸ Βλάψῃ. Ἀλλὰ τοιοῦτος ὡς ἐπὶ τὸ πολὺ τῶν χρησμῶν ὁ χαρακτὴρ τοῦ λόγου· πλὴν εἰ μήτις τοῦ Βλάψῃ τὴν ἐν Ἀγησιλάῳ διάφορον γραφὴν, Βλάστῃ, προέλοιτο, ἵν' ᾖ, Ἐκ σοῦ, ἀρτίποδος οὔσης, βλαστῇ χωλὴ βασιλεία. —στ. 19, Μόχθοι.] Ἐν Ἀγησιλάῳ γράφεται, Νοῦσοι.—στ. 20, Φθερσίβροτον.] Ἐκ τοῦ Παυσανίου παρείληφα τὴν γραφὴν, ἀντὶ τοῦ, Φθισίβροτον.—Κυλινδόμενον.] Παρὰ τῷ Παυσανίᾳ γράφεται, Κυκωομένου.—στ. 22, Λεωτυχίδαν.] Ἐξ ΗΔ, ΑΤ, Λεωτυχίδην.—στ. 23, Ὑπολαμβάνειν.] Συνωνύμως τῷ Ἐκλαμβάνειν· τοῦτο δὲ ἀντὶ τοῦ νοεῖν. —στ. 28, Αὐτόν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτός.

ΣΕΛΙΔ. 118, στ. 3, Δεομένους.] Ἴσ. γρ. Δεητομένους. — στ. 16, Ἐπικείμενον.] Ἴσ. γρ. Περικείμενον.—στ. 20, Ὑπελείπετο.] Ἐξ ΗΔ, ΑΤ, Ἀπελείπετο.—στ. 21, Ἐπαφήν.] Ἐπαφὴ κυρίως μὲν ἡ ψηλάφησις· ἐνταῦθα δὲ τὴν ἐπίσχεσιν καὶ κώλυσιν τῆς ἐπὶ τὰ πρόσω χωρήσεως.

ΣΕΛΙΔ. 119, στ. 2, Καὶ τοῖς δυναμένοις κ. τ. λ.] Ὁ νοῦς, ὡς ἡρμήνευσαν οἱ μεταφρασταί· Καὶ διαλέγεσθαι τοῖς μᾶλλον [ἢ αὐτὸς ὁ Λύσανδρος] δυναμένοις ἐν τῷ παρόντι ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς, τουτέστιν, ὠφελεῖν τοὺς ὑφ' ὧν τιμῶνται. —στ. 7, Ὑπὸ φθόνου.] Ἐξ ΗΔ. ΑΤ, Ἀπὸ φθόνου. — στ. 8, Τοῖς πολλοῖς.] Διαγραπτέον τὸ ἄρθρον. — στ. 16, Σοὶ λέλεκται ΜΑΛΛΟΝ, ἢ ἐμοὶ πέπρακται.] Ὁ νοῦς, ὡς ἐξέφρασεν ὁ Ἰταλὸς μεταφραστὴς, τοιοῦτος ἂν εἴη, Εἴρηται πρὸς σὲ παρὰ τῶν διαβαλλόντων με πλείω τῶν ἐμοὶ πεπραγμένων ti è stato riferito più che da me non si è fatto. Ἕτεροι δὲ ἑτέρως ἡρμήνευσαν. Ἡμῖν δὲ δοκεῖ, ἢ γραπτέον εἶναι, Σοὶ λέλεκται μᾶλλον εἰκότα, ἢ ἐμοὶ πέπρακται, ἵνα ἔχῃ πως συνᾴδειν τῷ Ξενοφῶντι (Ἑλληνικ. Γ, δ' 9) λέγοντι, « Ἴσως σὺ καὶ μᾶλλον εἰκότα ποιεῖς, ἢ ἐγὼ ἔπραττον » · ἤ, ὃ μᾶλλον ἀρέσκει με, Σοὶ λέλεκται ΚΑΛΛΙΟΝ, ἢ ἐμοὶ πέπρακται, ἵν' αὐτὸς αὐτῷ γε συμφάσκῃ ὁ Πλούταρχος, εἰρηκὼς ἀλλαχοῦ (Ἀγησιλ. § 8) « Ταῦτά σοι λέλεκται βέλτιον, » ἢ ἐμοὶ πέπρακται».—στ. 22, Σπιθριδάτην.] Ἐξ ΗΔ, συνᾳδούσης Ξενοφῶντι (Γ, δ' § 10) καὶ αὐτῷ Πλουτάρχῳ (Ἀγησιλ. § 8), ΑΤ, Μι-

θριδάτην.—στ. 23, Στρατιάν.] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Στρατείαν.—στ. 27, Ὅλην.] Ἐκ ΔΓ (συνᾳδούσης τῷ Α), ΑΤ, Ἄλλην.

ΣΕΛΙΔ 120, στ. 3, Εὐρυτιωντίδαι.] Γραπτέον, Εὐρυπωντίδαι, καθὰ φέρεται καὶ ἔν τισι τῶν ἀρχαίων ἐκδόσεων. Περὶ τῆς ἡμαρτημένης πολλαχοῦ ταύτης γραφῆς, ἔπιθι καὶ τὰ ἐν ἄλλοις (Πλουτάρχ. Μέρ. Α, σελ. 380, καὶ Πολυαίν. Στρατηγημ. σελ. 323) σημειωθέντα.—στ. 10, Οὐδενὶ βέλτιον κ. τ. λ.] Μεταμέλει μοι μὴ τρέψαντι εἰς τὸ, Οὐδὲν βέλτιον. Ὁ νοῦς, Κατ' οὐδὲν εὐγενεστέρων αὐτοῦ.—στ. 13, Ἵνα μὴ ᾖ τῶν.] ΠΡΔ, ΑΤ, Ἵνα μὴ τῶν. — στ. 23, Κατεσκεύαζεν.] Ἐξ ΗΔ, ΑΤ, Κατεσκεύασεν.—στ. 27, Φερεκλέους.] Ὁ δὲ Σικελιώτης Διόδωρος (ΙΔ, 13) Φερεκράτη τοῦτον ὀνομάζει.—στ. 28, Τοῖς προφήταις.] Ἐξ ΗΔ (συνᾳδόντων καὶ τοῦ Ἀμιότου, καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ), ΑΤ, Τοῖς πολίταις.—στ. 29, Δυσχεραίνοντας.] Ἴσ. γρ. Δυσχεράναντας.

ΣΕΛΙΔ. 121, στ. 1, Λίβυας.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Λίβας.—στ. 4, Σκευωρίαν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Σκαιωρίαν.—στ. 16, Συνύφαινεν.] Ἐξ ΕΔ οἱ ΠΡ (συνᾳδόντων καὶ τῶν μεταφραστῶν), ΑΤ, Συνέφαινεν. Καὶ ἡ μὲν διόρθωσις τῶν πάνυ πιθανῶν· ἡ δὲ μεταφορὰ, καθ' ἑαυτὴν μὲν κομψοτάτη, συνημμένη δὲ τῇ πρὸ αὐτῆς ἑτέρᾳ μεταφορᾷ (χρηστῇ κἀκείνῃ), Προσετεκταίνετο, οὐ παντάπασιν ἀνεπίληπτος. Οὐ γὰρ ἅμα τεκταίνεταί τι καὶ ὑφαίνεται· ἕτερον γὰρ τέκτονος καὶ ὑφάντου ἔργον.—στ. 17, Προαγωνισταῖς.] ΠΡΔ, ΑΤ, Προσαγωνισταῖς. — στ. 18. Προῆγον.] ΠΡΔ, ΑΤ, Προσῆγον.—στ. 21, Τούτους.] Ἐξ ΕΔ, ΑΤ, Τούτοις.—στ. 30, Ἧς ἕνεκα τἄλλα πέπλαςαι.] Ἐξ ΗΔ, ΑΤ, Ἧς ἕνεκα πλάσαι. Ἕτεροι δὲ διώρθουν, Ἧς ἕνεκα πᾶσαι, ἢ, Ἧς ἕνεκα πάντα τἄλλα πέπλασται, ἢ, Ἧς ἕνεκα τὰς ἄλλας ἔπλασαν.

ΣΕΛΙΔ. 122, στ, 12, Ἀνδροκλείδην καὶ Ἀμφίθεον.] Ὁ μὲν Ξενοφῶν (Ἑλληνικ. Γ, έ, § 1) Ἀνδροκλείδην Ἰσμηνίαν καὶ Γαλαξίδωρον τρεῖς ὀνομάζει, Παυσανίας δὲ (Γ, θ' § 4) Ἀνδροκλείδην Ἰσμηνίαν καὶ Ἀμφίθεμιν.—στ. 21, Ἀγωγίμους.] Ἔπιθι Πλουτάρχου Μέρ. Α, σελ. 313 καὶ 315.—στ. 30, Τοῖς γράμμασιν.] Τοῖς ψηφίσμασιν. — Ὁμοίας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὁμοίως.

ΣΕΛΙΔ. 123, στ. 7, Αὐτούς.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Αὐτόν. — στ. 9, Ἀπέστειλαν.] Ἐκ ΔΓ οἱ ΠΡ. ΑΤ, Ἀπέστειλεν. — Περιελθών.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Παρελθών.—στ. 27, Κισσοῦσαν.] Τιλφοῦσαν, γράφειν παραινοῦσί τινες, Στράβωνι καὶ Παυσανίᾳ μάρτυσι χρώμενοι.

—στ. 30, Οἱ δὲ Κρήσσιοι σύρακες.] «Στύραξ (φησὶν Ἀρποκρατίων) » καλεῖται τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν » γῆν εἰώθασιν· ὡς Θουκυδίδης που φησὶ, Στυρακίῳ ἀκοντίου » ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν». Καλεῖται δὲ Στύραξ καὶ αὐτὸ τὸ δόρυ, ἢ ἡ λόγχη, ἀπὸ μέρους τὸ ὅλον, παρ' ὃ καὶ ῥῆμα, Στυρακίζειν, ὅπερ ἐστὶ, Κεντρίζειν, καθ' Ἡσύχιον. Παρ' ἡμῖν δὲ νῦν Στυράκιον μὲν καὶ Μάγγανον συνωνύμως καλεῖται τὸ Πιεστήριον, Στυρακίζεν δὲ τὸ Πιέζειν.

ΣΕΛΙΔ. 124, στ. 30, Ἐπέπεμψε.] Ἴσ. γρ. Ἔπεμψε.

ΣΕΛΙΔ. 125, στ. 8, Θαυμάσαντος.] Ἴσ. γρ. Θαυμάσαντα, πρὸς τὸ, Σπαρτιάτην.—στ. 11, Ημῶν.] Εἰς τὸ, Ὑμῶν, ἔτρεψαν τοῦτο οἱ ΠΡ, οὐκ οἶδ' εἰ καλῶς· σκοτεινὸν γὰρ ὅλον τοῦτο τὸ χωρίον, διὰ τὸ ἀδιάκριτον καὶ ἀδιόριστον τῶν διαλεγομένων.—στ. 23, 'Εν Ἰσμηνίῳ.] 'Εν τῷ ἱερῷ τοῦ Ἰσμηνίου 'Απόλλωνος. Ἴσ. γρ. 'Εν Ἰσμηνιείῳ, ἤ, ὡς οἱ ΠΡ ὑπέλαβον, 'Εν Ἰσμηνίου.—στ. 26, Λύκους.] 'Εκ ΔΓ καὶ Α, ΑΤ, Λύκου.—Καμάκεσσι.] Κάμαξιν, ἐν πεζῷ λόγῳ, παρὰ τὸ Κάμαξ, οὗ τὸν ὑποκοριστικὸν τύπον, Καμάκιον, ἐπὶ τῆς αὐτῆς ἐννοίας ἔσωσεν ἡ συνήθεια.—στ. 27, Ὀρχαλίδην.] 'Αρχελίδην, Πλούταρχος ἀλλαχοῦ (Περὶ τοῦ χρᾶν ἔμμετρ. κ. τ. λ. § 27) καλεῖ τὸν τόπον. —στ. 29, Σύνορος.] Ὥσπερ καὶ ἡ συνήθεια· παρ' ᾗ καὶ, Σύνορα, οὐδετέρως καὶ πληθυντικῶς (κατ' ἔλλειψιν τοῦ Μέρη, ἢ χωρία) οἱ Ὅροι καλοῦνται, καὶ ῥῆμα, Συνορεύω, ἐπὶ τῆς σημασίας τοῦ παρὰ τοῖς ἀρχαίοις, Ὁμορέω.

ΣΕΛΙΔ. 126, στ. 3, Προγράψαι.] ΠΡΔ, ΑΤ, Προσγράψαι.—στ. 7, Καὶ βασιλείας τοιαύτης.] Τῆς τῶν Περσῶν, ὡς ἐξεδέξατό τις τῶν ΠΡ.—στ. 9, Ψέγει γὰρ ἥδιον, ἢ ἐπαινεῖ.] 'Εξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Ψέγειν γὰρ ἥδιον, ἢ ἐπαινεῖν. Ἄμεινόν γε μὴν ἴσως ἦν, ὡς ἔδοξε καὶ τῶν ΠΡ τῷ τελευταίῳ, κατὰ χώραν ἐᾶν τὴν γραφήν.—στ. 12, Κατέσχεν.] Ἴσ. γρ. Κατεῖχεν.—στ. 14, Εὐρυτιωντίδων.] Κἀνταῦθα, Εὐρυπωντίδων, γραπτέον.—στ. 22, Τάς τ' ἄλλας.] ΠΡΔ, ΑΤ, Τάς γε ἄλλας.

## ΣΥΛΛΑΣ.

ΣΕΛΙΔ. 127, στ. 4, 'Αργυρίου κοίλου.] Ἴσως ἀντὶ τοῦ 'Αργυρίου γραπτέον 'Αργύρου· Ἄργυρον δὲ κοῖλον λέγει τὸν τορευτὸν, ὃν οἱ Ῥωμαῖοι Argentum cælatum, οἱ δὲ Γάλλοι, Vaisselle d' argent

καλοῦσι.—στ. 13, Καταλιπόντος.] ΠΡΔ, ΑΤ, Ἐγκαταλιπόντος.—Καίτοι γὰρ οὐκ ἔτι τῶν βίων.] Ἐξ ΗΔ, ΑΤ, Καὶ γὰρ οὐκ ἔςι τῶν, βίον· ἀνθ' οὗ οἱ ΠΡ προείλοντο γράφειν, Καὶ γὰρ οὐκ ἔτι τῶν βίων. Τὸ δὲ ἡμέτερον Καίτοι, ἐξέφρασαν καὶ ὁ Λατῖνος καὶ ὁ Γάλλος, καὶ ὁ Ἰταλὸς μεταφραστὴς, μαρτυρούμενον ἄλλως καὶ ὑπὸ τοῦ ἐχομένου, Ὅμως, καὶ ὑπὸ τοῦ γράφειν παραινέσαντος, Καίπερ.—στ. 16, Ἐτίθεντο.] ΠΡΔ (συνᾴδουσαι τοῖς μεταφρασταῖς), ΑΤ, Ἐτίθετο.—στ. 21, Συνδιῃτῶντο.] ΔΓ, Διῃτῶντο.—Φέροντες.] Διδόντες.—στ. 22, Νούμμους.] Ὁ παρὰ Ῥωμαίοις Nummus τῶν ἐν Σικελίᾳ Ἑλλήνων λέξις ἐςί· Νοῦμμον γὰρ ἐκάλουν ἐκεῖνοι εἶδός τι νομίσματος, καθὰ δηλοῖ ὁ Πολυδεύκης ἐκ τοῦ Ἐπιχάρμου παρέθετο μαρτύριον. Τὸ δὲ ἔτυμον παρὰ τὸν Νόμον, παρὸν καὶ τὸ Νόμισμα. « Οἷον γὰρ ὑπάλ-» λαγμα τῆς χρείας τὸ νόμισμα γέγονε κατὰ συνθήκην, καὶ διὰ τοῦτο » τοὔνομα ἔχει Νόμισμα, ὅτι οὐ φύσει, ἀλλὰ νόμῳ ἐςὶ », ὥς φησιν Ἀριστοτέλης (Ἠθικ. Νικομαχ. Ε, έ).

ΣΕΛΙΔ. 128, στ. 4, Πρὸς ὃ καὶ τοὔνομα κ.τ.λ.] Ἄλλοι ἄλλως ἀποδεδώκασι τὸ ἔτυμον τῆς προσηγορίας τοῦ Σύλλα, οὐδενὸς ἀποδείξαντος τὸ πιςὸν τῆς παραγωγῆς. — στ. 5, Γεφυριςῶν. ] « Γεφυριςαί, » οἱ σκῶπται (φησὶν Ἡσύχιος)· ἐπεὶ ἐν Ἐλευσῖνι ἐπὶ τῆς γεφύρας, » τοῖς μυςηρίοις, καθεζόμενοι ἔσκωπτον τοὺς παριόντας. » Καὶ αὖθις » Γεφυρὶς, πόρνη τις ἐπὶ γεφύρας, ὡς Ἡρακλέων. Ἄλλοι δὲ, οὐ γυ-» ναῖκα, ἀλλὰ ἄνδρα, ἐκεῖ καθεζόμενον, [ἐπὶ] τῶν ἐν Ἐλευσῖνι μυςη-» ρίων, συγκαλυπτόμενον, σκώμματα λέγειν εἰς τοὺς ἐνδόξους πολίτας» Ἀμμώνιος δὲ (λέξ. Σκῶμμα) τοὺς Γεφυριςὰς καὶ τοὺς γεφυρισμοὺς, τουτέςτι τὰ ὑπὸ τῶν Γεφυριςῶν λεγόμενα σκώμματα, ἀπὸ τοῦ ἐπὶ τῶν γεφυρῶν ἐπιγράφειν ἐμμέτρους, ἢ καὶ δίχα μέτρων, διασυρμούς τινων, εἰρῆσθαί φησι. Ὅπως δ' ἂν ποτ' ἔχῃ τὰ τῆς παραγωγῆς, δῆλον ὅτι ἀπὸ τῶν Ἀθήνῃσι Γεφυριςῶν τούτων, ὁμωνύμως καὶ τροπικῶς, καὶ οἱ ἄλλως ὁπωσοῦν σκώπτοντες βωμολόχοι Γεφυριςαὶ ἐκλήθησαν. Γέφυραν δὲ Ἡσύχιος λέγει τὴν ἐπὶ τοῦ Κηφισσοῦ, ἣν ἐχρῆν διαβῆναι τοὺς εἰς Ἐλευσῖνα πορευομένους.—στ. 12, Συνάγοντα.] Ἐξ ΗΔ, ΑΤ Συναγαγόντα.—στ. 14, Καὶ πρὸς τῷ καταισχύνειν τὸ ἀξίωμα.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καὶ πρὸς τὸ ἀξίωμα.—στ. 16, Πρὸς σπουδαῖον.] Προσέθηκαν οἱ ΠΡ τὴν πρόθεσιν. — στ. 23, Μητροβίου δέ.] Ἄμεινον, οἶμαι, ὁ Α, Μητροβίου γάρ. — στ. 24, Συνήνθησεν.] Ἐκ ΔΓ, καὶ Α, ΑΤ, Συνήντησεν. Καὶ εἰ αὕτη ἐστὶν ἡ ὀρθὴ γραφὴ, διορθωτέον τὰ λοιπὰ τοῦ χωρίου γράφοντας οὑτωσὶ,

« Μητροβίου [τε] γὰρ τῶν ἀπὸ σκηνῆς τινος ἐρῶν διετέλεσεν,
» [οὐκ] ἔτι νέος ὢν, καὶ συνήντησεν αὐτῷ τι τοιοῦτον· ἀρξάμενος
» γὰρ κ.τ.λ. ».

ΣΕΛΙΔ. 129, στ. 2, Πολεμήσων Ἰουγούρθαν.] ΔΓ, Ἰογόρθα· ἐξ ἧς τινες ὁρμηθέντες παρῄνεσαν γράφειν Ἰουγούρθᾳ, διὰ τὴν πρὸς δοτικὴν σύνταξιν τοῦ Πολεμῶ. Ἀλλ' ἐατέον κἀμοὶ, ὡς καὶ τοῖς ΠΡ, ἔδοξεν εἶναι κατὰ χώραν τὴν γραφὴν, διὰ τὸ καὶ ἀλλαχοῦ τὸν Πλούταρχον αἰτιατικῇ συνάπτειν τὸ ῥῆμα· ἧς συντάξεως τοῦ παρακμάζοντος ἑλληνισμοῦ οὐκ ὀλίγα καὶ παρ' ἄλλοις, τοῖς Ἑβδομήκοντα μάλιστα, ἐστὶν εὑρεῖν παραδείγματα.—στ. 5, Τὸν Νομάδων.] Ἐξ ΗΔ, ΑΤ, Τῶν Νομάδων.—στ. 6, Φιλοφρονηθεὶς δώροις.] Ἐξ ΗΔ, ΑΤ, Φιλοφρονηθεὶς, δῶρα. Σημειοῦ δὲ καὶ τοὺς δευτέρους ἀορίστους κατὰ μέσην διάθεσιν, ὡς σπανιωτέρους τῶν κατ' αὐτὴν πρώτων καὶ μᾶλλον τῇ παρ' ἡμῖν συνηθείᾳ προσήκοντας (Ἐσυλλογίσθην, Ἐπεριποιήθην, ἀντὶ τοῦ, Συνελογισάμην, Περιεποιησάμην, φιλούσῃ λέγειν)· πολλῷ γὰρ ἦν ἀκριβέστερον τὸ Φιλοφρονησάμενος.—στ. 16, Ἀμφοτέρων.] Ἐκ ΔΓ, ΑΤ, Ὑπ' ἀμφοτέρων.—στ. 28, Ἐλάττονα τοῦ φθονεῖσθαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἔλαττον αὐτοῦ φθονεῖσθαι. Ὁ νοῦς, Οὐ τοιοῦτον, οἷον ἄξιον εἶναι φθόνου.

ΣΕΛΙΔ. 130, στ. 9, Αἱρεῖ.] ΠΡΔ, ΑΤ, Αἴρει.—στ. 13, Αὐτός.] Ἐξ ΕΔ, ΑΤ, Αὐτόν. Τουτέστιν, Αὐτὸς ὁ Σύλλας ἱστορεῖ ἀνιάσαι ἰσχυρῶς τὸν Μάριον.—στ. 17, Τὸν Εὐριπίδην.] Τὰ ἐκ τῶν Φοινισσῶν (στίχ. 534-535.) Εὐριπίδου ἔπη αἰνίττεται, οἷς καὶ ἡμεῖς ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Α, Αὐτοσχ. στοχ. σελ. ρά) ἐχρησάμεθα.—στ. 22, Ἐπὶ τὴν τοῦ δήμου πρᾶξιν.] Ἐπὶ τὸ πράττειν τὰ τοῦ δήμου, ἐπὶ τὸ δημαγωγεῖν. Καὶ ἔχει τινὰ πανουργίας ἔμφασιν καὶ πολυπραγμοσύνης ἐπὶ τῶν τοιούτων ἡ Πρᾶξις, καθὰ δηλοῖ καὶ τὸ σύνθετον Πραξικοπεῖν.—στ. 25, Ἀγορανομήσει.] ΔΓ, Ἀγορανομοίη.

ΣΕΛΙΔ. 131, στ. 5, Τὸν μὲν ἐμφανῆ λόγον.] Ἴσον τῷ, Πρόφασιν. Παρὰ γὰρ τὸ Φαίνω, καὶ ὁ Ἐμφανὴς, καὶ ἡ Πρόφασις. Ὁμολογεῖ δὲ τούτοις καὶ ἡ συνήθεια, οὕτως ἂν ἐκφράσασα τὸ χωρίον, Εἰς μὲν τὸ φαινόμενον.—στ. 16, Τὸ πρώτῳ.] ΠΡΔ, ΑΤ. Τῷ πρώτῳ·—στ. 23, Χαλδαῖος.] Ἐξ ΗΔ (συνᾴδοντος καὶ τοῦ Α), ΑΤ, Χαλκιδεύς. Ἴσον δὲ δύναται τῷ Μάντις, ἢ Μάγος, διὰ τὸ τοὺς Χαλδαίους διαβεβοῆσθαι τὰ περὶ τὴν ἀστρολογίαν, καθὰ σεσημείωται ἐν τοῖς πρόσθεν (σελ. 362). Καὶ ἐν τοῖς ἑξῆς δὲ (§ 37, σελ. 171), Χαλδαίους φήσει προειπεῖν τῷ Σύλλᾳ τὴν τελευτήν. Καὶ ἐνταῦθα μὲν ὁ

Χαλκιδεὺς εἰς τοῦ Χαλδαίου τὴν χώραν ὑπὸ τῶν ἀντιγραφέων εἰσώσθη· ἀλλαχοῦ δὲ τοὐναντίον οὗτος ἐξετόπισε τὸν Χαλκιδέα (Ἴδ. Μαιττερ. περὶ διαλέκτ. σελ. 226). — στ. 25, Τοῦ σώματος.] Οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον. — στ. 29, Συνειλοχότι.] Ἐξ ΗΔ, ΑΤ, Συνειληχότι. Τοῦτο μὲν γὰρ παρὰ τὸ, Συλλαγχάνω· ἐκεῖνο δὲ παρὰ τὸ, Συλλέγω.

ΣΕΛΙΔ. 132, στ. 5, Καπιτωλίῳ.] Ἐκ ΔΓ, ΑΤ, Καπιτωλίου.—Παῤ αὐτάς.] Ἐκ ΔΓ, ΑΤ, Παῤ αὐταῖς.—στ. 7, Βαρυθυμουμένου.] Βαρέως φέροντος καὶ ὀργιζομένου.—στ. 20, Ἀγροικιζόμενος.] Ἴσον τῷ Ἀγριαινόμενος ἐξεδέξατο ὁ φίλος Σνεϊδέρος ἐν τῷ Ἑλληνογερμανικῷ Λεξικῷ, τοῦτο παρατιθέμενος τοῦ Πλουτάρχου τὸ χωρίον. Μήποτε δὲ ἁπλούςερον ἐκδεκτέον ἐπὶ τοῦ, Δίκην ἀγροίκου προσφερόμενος, ἢ καὶ ἐπὶ τοῦ, Ἀλαζονευόμενος· σημαίνειν γὰρ καὶ τοῦτο τὴν λέξιν ἐξ ὧν ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 75) ἐσημειωσάμεθα, συμπεραίνεται.—στ. 22, Εὖ κεχωρηκέναι δοκούσης· « Ἀλλὰ ταύτης γε τῆς ςρατείας.] Ἐκ ΔΓ, προσέθηκα τὰς ὀκτὼ ταύτας λέξεις.—στ. 25, Ἀντιμειρακιεύεσθαι.] Ἴσ. γρ. Ἀντιμειρακιεύσασθαι.

ΣΕΛΙΔ. 133, στ. 4, Ἔπιπτον εἰς ἄμεινον.] Ἀπὸ μεταφορᾶς τῶν κύβων· ὅθεν καὶ ἡ παροιμία,

Οὐκ εὖ ἀεὶ πίπτουσιν οἱ Διὸς κύβοι.

—στ. 11, Ἀνατέθεικε.] Ἐκ ΔΓ, ΑΤ, Ἀνέθηκε.—στ. 15, Στηρίξαι.] Ἐξ ΔΓ οἱ ΠΡ, ΑΤ, Στηρίσαι.—στ. 16, Τοὺς μάντεις. ΠΡΔ, ΑΤ, Καὶ τοὺς μάντεις.—στ. 21, Περὶ τῆς θειότητος.] Ἐφ᾽ ἧς καὶ Ἰσοκράτης τέταχε σημασίας τὴν λέξιν (Ἰσοκράτ. Β, σελ. 173).—στ. 23, Τιμῆσαι παραλόγως, παραλόγως ἐφυβρίσαι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τιμῆσαι παραλόγως, ἐφυβρίσαι.—στ. 27, Ἀποτυμπανίζοντος.] Ἀποκεφαλίζοντος· παρὰ τὸ Τύμπανον, ὃ πρὸς τοῖς ἄλλοις καίτι κολαστήριον ὄργανον ἐσήμαινεν, ἐφ᾽ οὗ τὰς κεφαλὰς ἀπέτεμνον.

ΣΕΛΙΔ. 134, στ. 6, Διεδίδου λόγον, ὡς προθυμοτέροις κ.τ.λ.] Ὁ νοῦς, Διεδίδου λόγον, ὅτι τούτου χάριν οὐκ ἐκόλασε τοὺς ςρατιώτας διὰ τὸν ἄδικον φόνον, ἵνα προθυμοτέροις αὐτοῖς ἔχῃ χρῆσθαι πρὸς τὸν πόλεμον.—στ. 8, Ἰωμένοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἰώμενος.—στ. 19, Ἰλίαν.] ΔΓ, Ἰουλίαν.—Τὴν καὶ θυγάτριον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τὴν θυγάτριον.—στ. 21, Ἐντίμως δὲ καί.] Οὕτως οἱ ΠΡ καὶ ὁ Α, ΑΤ, Ἐντίμως καί.—στ. 28, Γεφυρίζοντες.] Ἴδε τὰ μικρὸν ἀνωτέρω (σελ. 375) σεσημειωμένα.

ΣΕΛΙΔ. 135, στ. 1, Ἐπτόητο τὴν γνώμην πρὸς κ.τ.λ.] Ἐπιθυμητικῶς ἄγαν καὶ ἐρωτικῶς εἶχε τοῦ πρὸς τὸν Μιθριδάτην πολέμου.—στ. 7, Πόλεμοι.] Ἐξ ΗΔ, ΑΤ, Πολέμιοι. Καὶ ὁ Λατῖνος δὲ μεταφραστὴς καὶ ὁ Ἰταλὸς τὸ, Πόλεμοι, ἐξέφρασαν· ἀντιδιέςαλται γὰρ πρὸς τὸ Στάσιν.—στ. 9, Αὐτοῖς.] Οὐ προσεκτέον τῇ ΔΓ, Εὐθύς· ἀναφέρεται γὰρ πρὸς τὸ, Ῥωμαίοις, δυνάμει περιεχόμενον ἐν τῷ, Ῥώμην, ὥσπερ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 245) σεσημείωται περὶ τῶν τοιούτων.—στ. 9, Ἐκ τῶν τὰ κ. τ. λ.] Τὸ ἑξῆς, Ἐκ τῶν δοράτων τῶν ὑποφερόντων τὰ σημεῖα.—στ. 11, Προαγαγόντες εἰς τὴν ὁδὸν κατέφαγον.] Ἐξ Α καὶ ΔΓ, ΑΤ, Προσαγαγόντες κατέφαγον.—στ. 18, Οἱ λόγιοι.] ΔΓ, Οἱ φρονιμώτατοι. Τὸ δὲ, Λόγιοι, ἴσον ὧδε δύναται τῷ Μάντεις. Οὗτοι γὰρ ὡς ἐπὶ τὸ πολὺ περὶ λόγους καὶ φιλοσοφίαν σπουδάζειν ἐπηγγέλλοντο· καὶ Ἀπόλλων ὁ τῆς μαντικῆς δοτὴρ αὐτός ἐστι καὶ τῶν λόγων προστάτης.—στ. 20, Εἶναι μὲν γὰρ ὀκτώ.] Ἐξ ΗΔ, ΑΤ, Εἶναι μὲν γὰρ αὐτῷ ὀκτώ. Τοῖς μὲν ΠΡ ἔδοξε τὸ, Αὐτῷ, εἰς τὸ, Ἀνθρώπων, μεταποιῆσαι, ἡμῖν δ' ὅλος ἐξῶσαι τοῦ χωρίου, ὡς ἀποτεχθὲν ἐκ τοῦ Ὀκτώ.—στ. 21, Δι' ἀλλήλων.] Διέγραψα τὴν πρόθεσιν ὡς γραφικὸν πλημμέλημα.—στ. 30, Προαγορεύσεσι.] ΠΡΔ, ΑΤ, Προσαγορεύσεσι.

ΣΕΛΙΔ. 136, στ. 8, Αὐτοῦ.] Ἐν τῷ ναῷ τῆς Ἐννοῦς. —στ. 9, Τῶν κτηματικῶν.] Ἐξαιρέτως ἐπὶ τῶν γῆν φυτεύεσθαι καὶ σπείρεσθαι δυναμένην κεκτημένων, καὶ διαιτωμένων ἐν αὐτῇ.—στ. 10, Τὸν ἀςικὸν ὄχλον καὶ ἀγοραῖον.] Τὸν ἐν ἄστει διατρίβοντα, καὶ τοῦ ἄςεως ἐν τῇ ἀγορᾷ ὁσημέραι καλινδούμενον, ἀντιδιεσταλμένως πρὸς τοὺς Κτηματικούς. —στ. 11, Τοῦτον.] Τὸν ἀστικὸν ὄχλον, οὐδὲν ἄλλο πλὴν τοῦ φωνεῖν εἰδότας, ὥσπερ οἱ τέττιγες· οἷς εἴκαζε καὶ τὸν φιλόδικον τῶν Ἀθηναίων δῆμον ὁ χαριέστατος Ἀριςοφάνης (Ὄρν. 39.41),

Οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν' ἢ δύο
Ἐπὶ τῶν κραδῶν ᾄδουσιν· Ἀθηναῖοι δ' ἀεὶ
Ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.

—Τοὺς δὲ χωρίτας, ἀρουραίους.] Ἐκ ΔΓ (συνᾳδόντων καὶ τοῦ Α, καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ), ΑΤ, Τοὺς δὲ χωρίτας, ἀγοραίους. Ἕτεροι δὲ τὸ δυσξύνετον τοῦ χωρίου θεραπεύοντες, οὕτω γράφειν παρῄνουν, «Φωνάεντα γὰρ τοῦτον εἶναι, καθάπερ στρουθὸν, τοὺς δὲ » χωρίτας ἀρουραίους, καθάπερ τέττιγας ». Ὁ νοῦς ἧς προειλόμεθα γραφῆς ἐςὶ τοιοῦτος, Τὸν μὲν ἀστικὸν ὄχλον πολύφωνον καὶ ἀείφωνον

εἶναι, ὥσπερ τέττιγα· τοὺς δὲ χωρίτας, (τουτέστι τοὺς Κτηματικοὺς) ἐν ταῖς αὐτῶν ἀρούραις διατρίβειν, καθάπερ καὶ τοὺς ϛρουθούς· ὡς ἐπὶ τὸ πολὺ γὰρ ταῖς ἀρούραις, τουτέϛι τοῖς σπειρομένοις πεδίοις ἐμφιλοχωρεῖ ὁ ϛρουθὸς, κἀκεῖ ὡς ἐπίπαν φαίνεται.—στ. 12, Δημαρχοῦντα.] Ἐκ ΔΓ (συνᾳδόντων τοῦ τε Α καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ) προσέθηκα τὴν λέξιν.—στ. 17, Ἐξελευθερικοῖς.] Τὸ αὐτὸ καὶ, Ἀπελευθέροις.—Ἀναφανδὸν, ἠρίθμει ] Ἄμεινον τὸ προτιθέναι τοῦ Ἀναφανδὸν τὴν ὑποστιγμήν· ἵνα συνάπτηται τῷ, Ἠρίθμει.—στ. 23, Οὗτος.] Οἱ ΠΡ ἐξ ΕΔ, ΑΤ, Οὕτως.—στ. 24, Συνταράξας.] Ἐξ ΕΔ (συνᾳδοντος καὶ τοῦ Α) οἱ ΠΡ,ΑΤ, Συντάξας.

ΣΕΛΙΔ. 137, στ. 2, Ἐπάρχοντα παύσας.] Ἐκ ΔΓ,ΑΤ, Ἐπάρχοντα ποιήσας.—στ. 25, Ἑαυτῷ.] Ἐκ ΔΓ,ΑΤ, Ἑαυτοῦ.—στ. 29, Καλῶς συντελεσθείη.] ΔΓ, Καλῶς αὐτῷ συντελεσθείη.

ΣΕΛΙΔ. 138, στ. 7, Πικτάς.] Ἐξ ΕΔ,ΑΤ, Πικίνας· τοῦτο μὲν γὰρ οὐκ ἔγνωσται τοὔνομα, Πικταὶ δὲ, ὧν καὶ Στράβων (Ε, σελ. 237 μνημονεύει, χωρίον οὕτω καλούμενον ἦν, εἴκοσι καὶ πέντε ϛαδίους ἀπέχον τῆς Ῥώμης.—στ. 17, Τεγῶν.] ΠΡΔ (συνᾴδουσα τῷ Α), ΑΤ, Τειχῶν.—στ. 23, Ὅς γε.] Ἐκ ΔΓ οἱ ΠΡ,ΑΤ, Ὥς γε.—στ. 26, Γενομένων.] Ἐξ ΗΔ,ΑΤ, Γινομένων.—στ. 28, Τὸ οἰκετικόν.] Ἐλλειπτικῶς τοῦ Πλῆθος, ὡς ἂν εἰ ἔλεγε, Τοὺς οἰκέτας, τουτέστι τοὺς δούλους.

ΣΕΛΙΔ. 139, στ. 29, Δαιμόνια.] Ἐπιθετικῶς καὶ ἐλλειπτικῶς τοῦ Σημεῖα, ἤ τινος ἑτέρου τοιούτου.

ΣΕΛΙΔ. 140, στ. 2, Ἐκπεσόντα.] Ἐκ ΔΓ οἱ ΠΡ,ΑΤ, Πεσόντα. — στ. 3, Διαθρυπτόμενον.] ΔΓ, Διακλώμενον.—στ. 10, Ἀοικήτων.] Ἐκ ΔΓ καὶ τοῦ Α οἱ ΠΡ,ΑΤ, Ἀοίκητον.—στ. 11, Ἐπήει στρατῷ.] ΠΡΔ, ΑΤ, Ἐπὶ στρατῷ.—στ. 18, Βρέττιος.] Βρύτιον τοῦτον Ἀππιανὸς καλεῖ.

ΣΕΛΙΔ. 141, στ. 2, Ἄθρους.] Ἴσον ἐνταῦθα δύναται τῷ Ἐξαίφνης ἐπιῤῥήματι· ὅπερ οὐ συνῆκαν οἱ ἑρμηνευταί. « Ἀθρόως, αἰφνιδίως » φησὶν Ἡσύχιος. Ἡ δὲ σημασία τοῦ παρακμάζοντος ἑλληνισμοῦ.—στ. 6, Εἰς τὸν ἔσχατον καιρόν.] Εἰς τὸν ἔσχατον κίνδυνον. Ὅτι δὲ καὶ τοῦτο σημαίνει, ὁ Καιρὸς, μαρτυρεῖ τὸ Καίριον τραῦμα, καὶ ἡ Καιρία πληγή.—στ. 12, Ἐπιλιπούσης.] Ἐξ ΗΔ,ΑΤ, Ἐπιλειπούσης.—Διά τὸ κόπτεσθαι.] ΠΡΔ, ΑΤ, Διακόπτεσθαι. Ἄμεινον δ' ἂν ἐγράφετο, ὡς καὶ αὐτοὶ ὑπενόησαν, Τῷ διακόπτεσθαι.—στ. 15, Τῶν προαστείων.] Ἐξ ΗΔ ἡ τοῦ ἄρθρου προσθήκη.—στ. 20, Εἴη.] Ἐξ ΕΔ οἱ ΠΡ,ΑΤ, Εἶναι.—στ. 25, Λιπαρούντων.] ΠΡΔ,ΑΤ, Παρόντων. Ἔστι δὲ καὶ τὸ Παρόντων σώζειν, ὑποϛίζοντα μετὰ τὸ, Πολλά.

ΣΕΛΙΔ. 142, στ. 2, Τούς γε.] ΠΡΔ, ΑΤ, Τούς τε.—στ. 3, Τῶν βασιλικῶν.] Τῶν ὑπὸ βασιλέων ἀνατεθειμένων δώρων.—στ. 6, Μὲν Τίτον Φλαμινῖνον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μέντοι τὸν Φλαμινῖνον.—στ. 16, Οὐκ ἀρετῇ.] Ἐξ ΕΔ, ΑΤ, Καὶ ἀρετῇ.—στ. 17, Ἢ ἐπὶ τοὺς πολεμίους.] Ἐξ ΕΔ, ΑΤ, Ἢ τοὺς πολεμίους. ΔΓ, Καὶ τοὺς πολεμίους.—στ. 24, Ἐνέδωκε τὰς ἀρχάς.] Ἐξ ΗΔ, ΑΤ, Ἀνέδωκεν εἰς ἀρχάς. Ἕτεραι ΔΓ, ἢ διορθώσεις, Ἐνέδωκεν εἰς ἀρχάς: Ἔδωκεν ἀρχάς.

ΣΕΛΙΔ. 143, στ. 4, Γεφυρίζων.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 375), σεσημειωμένα περὶ τῆς λέξεως.—στ. 7, Τῇ πόλει. . . διαπεφευγυίᾳ.] Ἐξ ΕΔ, ΑΤ, Τὴν πόλιν... διαπεφευγυῖαν.—στ. 10, Ὃς, χιλίων.] ΠΡΔ, ἡ προσθήκη τοῦ, Ὅς.—στ. 11, Καὶ τῶν ἀνθρώπων.] Ἐξ ΗΔ, ἡ προσθήκη τοῦ συνδέσμου.—στ. 24, Φιλομαθήσων.] ΠΡΔ (συνᾳδουσα τῷ Α) ΑΤ, Φιλομαθὴς ὤν.—στ. 30, Τοῖς πολεμίοις.] Ἐξ ΕΔ, ΑΤ, Τοὺς πολεμίους.

ΣΕΛΙΔ. 144, στ. 4, Τήϊον.] Μήποτε γραπτέον, Ἀτήϊον, εἴκασάν τινες τῶν ΠΡ· οὗ καὶ ἐν τῷ Κράσσου βίῳ (§ 16), Πλούταρχος ἐμνημόνευσε.—στ. 8, Πειραϊκῆς.] Τῆς εἰς τὸν Πειραιᾶ ἀνεῳγμένης, δι' ἧς ἦν ἐλθεῖν εἰς τὸν Πειραιᾶ.—στ. 12, Τῶν ςενωπῶν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.— στ. 14, Τοῦ ῥυέντος.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον.—Ἔτι καὶ νῦν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ συνδέσμου.—στ. 17, Διά τῶν πυλῶν.) Ἐξ ΗΔ (ἣν ὑπετόπασαν καὶ οἱ ΠΡ) ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 19, Διαφθείραντες.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Διαφθείροντες.—στ. 20, Τοῦτο γὰρ ἀπογνῶναι καὶ φοϐηθῆναι τὴν σωτηρίαν κ. τ. λ.] Ἔχει τι ὑποδύσκολον ἡ φράσις καὶ συνάρτησις τοῦ χωρίου, πράγματα καὶ τοῖς ΠΡ παρασχοῦσα· τὸν δὲ νοῦν οὐ κακῶς, οἶμαι, ἐξέφρασεν ὁ Α, Τοῦτο [τὸ ἀναιρεθήσεσθαι δηλονότι τὴν πατρίδα ὑπολαϐεῖν] ἐποίησε τοὺς βελτίστους ἀπογνῶναι, καὶ φοϐηθῆναι τὴν σωτηρίαν [τουτέστι τὸ ἑαυτοὺς ἐν τοῖς ζῶσι μεῖναι] οὐδεμίαν φιλανθρωπίαν οὐδὲ μετριότητα πρὸς τοῦ Σύλλα ἐλπίσαντας.—στ. 26, Ἐπειπών.] ΔΓ, Ὑπειπών.—στ. 30, Πολλά.] Ἐκ ΔΓ, ΑΤ, Πολλῶν.

ΣΕΛΙΔ. 145, στ. 11, Ἡ Φίλωνος ὁπλοθήκη.] Ἧς μνημονεύουσι καὶ Κικέρων, καὶ Πλίνιος, καὶ Στράϐων, καὶ ἄλλοι.—στ. 23, Καὶ ἀναπεπταμέναις.] Ἐσημειωσάμην μὲν ὡς περιττὸν τὸν σύνδεσμον· τοῦ δὲ μὴ ὅλως περιελεῖν αἴτιον, ὅτι ἐνδέχεταί τι ὄνομα ἢ μετοχὴν ἑτέραν, ἣ συνεδέδετο τῷ, Ἀναπεπταμέναις, ἐξεῤῥυηκέναι τοῦ χωρίου· οἷον, Πεδιάσιν ὑπτίαις καὶ ἀναπεπταμέναις, ἤ τι τοιοῦτον ἕτερον.—στ. 29,

Κάφις, ἡμέτερος ὤν.] Πρὸς τίνα τὸ, Ἡμέτερος; Πρὸς μὲν δὴ τὸν Πλούταρχον, οὔμοι δοκεῖ· Φωκεὺς γὰρ ἀνωτέρω (§ 12) γεγονέναι καὶ τοῦ Σύλλα φίλος ὁ Κάφις εἴρηται. Πλούταρχος δ᾽ ἦν τῆς ἐν Βοιωτίᾳ Χαιρωνείας. Ἀλλὰ φήσειεν ἄν τις τὸν Πλούταρχον, Ἡμέτερος ὤν, φάσκοντα περὶ Κάφιος, ταὐτὸν φάσκειν ὥσπερ ἂν εἰ καὶ ἔλεγεν, Ἕλλην ὤν. Ἔςι γε μὴν οὐδὲ τοῦτο εἰκὸς, καὶ διὰ τὸ προεγνῶσθαι Ἕλληνα γεγονέναι τὸν Κάφιν, καὶ διὰ τὸ δῆλον ἄλλως εἶναι πολλοὺς Ἑλλήνων ὑπουργεῖν καὶ συναίρεσθαι Ῥωμαίοις ἐν τοῖς κατὰ τὴν Ἑλλάδα πολέμοις· ὧν ἑκάςῳ τὸ, Ἡμέτερος ὤν, ἐπιλέγειν πρὸς τῷ δυσανοίςῳ ἦν ἂν καὶ ἀπειρόκαλον. Λείπεται τοίνυν ὑπονοεῖν ἐξεῤῥυηκέναι τι τοῦ χωρίου, δι᾽ οὗ τὸ, Ἡμέτερος ὤν, εἰς αὐτὸν ἀνεφέρετο τὸν Σύλλαν λέγοντα πρωτοπροσώπως, Ἐκ τῶν τὰ ἡμέτερα φρονούντων Ἑλλήνων, καὶ φίλος ἡμῖν ὢν ὁ Κάφις· ἢ Πλούταρχον ἀναλεγόμενον ἐκ τῶν τοῦ Σύλλα ὑπομνημάτων τὰ τῇ οἰκείᾳ προθέσει πρόσφορα, ῥεμβασμῷ τινι διανοίας, καὶ τὸ ὑπὸ τοῦ Σύλλα λεγόμενον ἐν αὐτοῖς περὶ Κάφιος, εἰς τὸ ἑαυτοῦ μετενεγκεῖν πρόσωπον.

ΣΕΛΙΔ. 146, στ. 1, Τιθορέαν.] Ἐξ ΗΔ, ΑΤ, Τιθόραν· καίπερ καὶ ἀλλαχοῦ (Ἐρωτικ. § 2) Τιθόραν Πλουτάρχου καλέσαντος, ἣν ὡς εἰπεῖν ἅπαντες οἱ λοιποὶ Τιθορέαν ὀνομάζουσιν. Ἐνδέχεται μέντοι ἐπὶ Πλουτάρχου τῆς Τιθορέας τοὔνομα κατὰ συγκοπὴν εἰς τὸ, Τιθόραν, μεταβληθῆναι· καθὰ καὶ τὰς ἐν Πελοποννήσῳ Θυρέας, Θύρας, ὑπό τινων λελέχθαι, ἐσημειώσατο ὁ Βυζάντιος Στέφανος.—στ. 6, Ἐπὶ Πατρωνίδα ταῖς δυσχωρίαις καταβάς.] Οὐκ ἐῤῥῶσθαίμοι δοκεῖ τὸ χωρίον. Πατρωνὶς γὰρ, πόλις ἢ χώρα οὕτω καλουμένη τῆς Φωκίδος ἢ τῆς ὁμόρου Βοιωτίας, παρ᾽ οὐδενὶ ἑτέρῳ εὕρηται.—στ. 30, Ἐτράποντο.] Ἐξ ΗΔ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Ἐτρέποντο.

ΣΕΛΙΔ. 147, στ. 1, Ὡς ὀλίγοι μὲν ἐν.] Προσέθηκα τὴν πρώτην λέξιν, θεραπεύων τὸ τοῦ λόγου ἀσυνάρτητον· ὃ κατιδόντες καὶ οἱ ΠΡ, παρῄνουν γράφειν, Ὀλίγοι μὲν γὰρ ἐν.—στ. 4, Ἐκκόψαι.] Πορθῆσαι, ὡς ἐξηγεῖται Ἡσύχιος.—στ. 16, Τὸν λόγον.] Ἐκ ΔΓ, ΑΤ, Τὸν πόλεμον —στ. 22, Ἐνςρατοπεδεῦσαι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἐκστρατοπεδεῦσαι.

ΣΕΛΙΔ. 148. στ. 7, Τίτιος.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τίτος.—στ. 8, Πραγματευομένων.] Ἐφ᾽ ἧς καὶ ἐν τῇ παρ᾽ ἡμῖν συνηθείᾳ σημασίας τὸ Πραγματεύομαι ἐνθάδε, ὡς καὶ τῷ παρὰ τοῦτο Πραγματευτὴς, ἐν ἄλλοις (Ἡλιοδώρ. Β, σελ. 210), ἐδείξαμεν κεχρημένον τὸν Πλούταρχον — στ. 12, Οἷον τέλος.] Ἐκ ΔΓ, ΑΤ, Τέλος οἷον. —

στ. 13, Περὶ τῆς Ὀμφῆς.] Περὶ τῆς θείας φωνῆς. Ἴδε τὰ σημειωθέντα εἰς τὸν Ἡλιόδωρον (Β, σελ. 93). Εἰσὶν οἱ γράφειν παρήνεσαν, Περὶ τῆς μορφῆς, διὰ τὰ ἑπόμενα. — στ. 20, Διαλιπών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Διαλείπων. — στ. 22, Παραταττομένοις.] ΠΡΔ, ΑΤ, Ταραττομένοις.—Ἀπέλιπεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἀπέλειπεν.— στ 23, Τῶν ἱρεῶν γενομένων.] Καλῶν, ἢ δεξιῶν δηλονότι. — στ. 24, Στρατιάν. ] Ἐξ ΗΔ, ΑΤ, Στρατείαν. — στ. 26, Στροβιλῶδες ὄρος.] Κωνικὸν τῷ σχήματι, παρὰ τὸν καρπὸν τῆς πίτυος τὸν καλούμενον Στρόβιλον τοιοῦτον ἔχοντα τὸ σχῆμα· διὸ καὶ Κοκκωνάριον, ἡ συνήθεια ὀνομάζει, ὡς καὶ τὸ φέρον δένδρον, Κοκκωναρίαν (Πρόδρ. Ἑλλην. Βιβλιοθ. σελ. 313), οὐ χθὲς καὶ πρώην τοῦ ὀνόματος εἰς τὴν Ἑλλήνων φωνὴν εἰσφρήσαντος, ἀλλ' αὐτοῦ τοῦ τῶν Ἀθηναίων νομοθέτου, Σόλωνος, χρησαμένου τῇ λέξει, Κόκκων, ὥς φησι Φρύνιχος ( σελ. 176). Εἰσὶν οἱ γράφειν οὐκ ἀλόγως παρηνέκασι, Στροβιλώδης ὄρους· πρὸς τὸ, Κορυφή.—στ. 27. Μωρίου.] Ἢ ὧδε, ἢ κατωτέρω ( § 19, σελ. 151 ), ἡμάρτηται ἡ γραφὴ τοῦ ὀνόματος, Μωρίου, ἢ Μόλου.

ΣΕΛΙΔ. 149, στ.2, Θὼρ γὰρ οἱ Φοίνικες τὴν βοῦν καλοῦσι.] Ἢ μᾶλλον Τὼρ תור (ὅθεν φασὶ καὶ τὸ παρ' Ἕλλησι, Ταῦρος, παρῆχθαι). Ἔστι δὲ καὶ τῆς Χαλδαίων φωνῆς· παρὰ δὲ τοῖς Ἑβραίοις, Σὼρ שור καλεῖται. — στ. 10, Πετρώχου.] Πετραχὸν ὀξυτόνως καὶ διὰ τοῦ α καλεῖ τοῦτον Παυσανίας (Θ, 41). — στ. 13, Τοῦ δὲ Γαβινίου.] Ἐκ ΔΓ, οἱ ΠΡ, προσέθηκαν τὸν σύνδεσμον.—στ. 16, Τὸ μὲν δεξιόν.] Ἐξ ΕΔ, ΑΤ, Τὸ δεξιόν. — στ. 17, Ἀποδούς.] Ἴσ. γρ. Ἐπιδούς.— Γάλβας.] Ἐκ ΔΓ, συνᾳδούσης τῷ Α, ΑΤ, Γάλλος. Καὶ Ἀππιανὸς δὲ Γάλβαν τοῦτον ὀνομάζει.—στ. 18, Παρενέβαλον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Παρενέλαβον.—στ. 21, Εὐκαμπές.] Ἐξ Α οἱ ΠΡ, ΑΤ, Ἀκαμπές. — στ. 23, Τῶν Χαιρωνέων τὸν Ἐρίκιον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Τὸν τῶν Χαιρωνέων Ἐρίκιον. Ἀντὶ δὲ τοῦ Ἐρίκιον, ὧδέ τε καὶ ἀνωτέρω (§ 16, σελ. 148), οἱ μὲν Ἔρκιον, οἱ δὲ, Ἴρτιον, γράφειν δεῖν ἡγήσαντο.

ΣΕΛΙΔ. 150, στ. 8, Ῥύμην τῇ διεξελάσει. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ῥώμην διεξελάσει. — στ. 10, Τάσιν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τάσεις. — στ. 21, Πόλεων. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πολεμίων. — στ. 26, Αἵτε βελοσφενδόναι καὶ οἱ γρόσφοι.] Τῷ μὲν, Γρόσφος, ὅπερ ἐστὶν ἀκοντίου εἶδος, πρῶτος ἐχρήσατο Πολύβιος· ἡ δὲ Βελοσφενδόνη (ἡ τοῖς Ῥωμαίοις καλουμένη Falarica), λόγχης εἶδος ἦν, εἰς μακρὸν ληγούσης σιδήριον, ἣν συμπείοις πίσσῃ καὶ θείῳ περιειλημένην καὶ πεπυρακτωμένην εἰς τοὺς πολεμίους ἀπετόξευον. Χειροβαλίστραν, ἢ

Χειροβολίστραν ταύτην ὠνόμαζον οἱ βυζαντινοὶ συγγραφεῖς.— στ. 30, Ἐμβαλῶν.] Ἐξ ΗΔ, ΑΤ, Ἐμβαλών.

ΣΕΛΙΔ. 151, στ. 8, Ὥρμησεν, ὅθεν ὁ Σύλλας, πρὸς τὸ δεξιὸν, ὡς.] Ἐξ ΗΔ,ΑΤ, Ἐπιςρέψας, ὅθεν ὥρμησεν ὁ Σύλλας, πρὸς τὸ δεξιὸν, ὡς. Οἱ δὲ ΠΡ, κατιδόντες καὶ αὐτοὶ τὸ ἀσυνάρτητον τοῦ χωρίου, διωρθώκασιν οὕτως. « Ἐπιςρέψας, ὅθεν ὥρμησεν ὁ Σύλλας, πρὸς τὸ » δεξιὸν ἘΠΉΕΙ, ὡς » προσθήκη ῥήματος ἑτέρου· οὗπερ ἡμῖν οὐκ ἐδέησε μετατοπίσασιν οὕτως τὸ Ὥρμησεν, ὥςε καὶ πρὸς τὸν Ἀρχέλαον, καὶ πρὸς τὸν Σύλλαν, ἀπὸ κοινοῦ φέρεσθαι. Ἀρχέλαος ὥρμησε πρὸς τὸ δεξιὸν, ἀφ' οὗ πρότερον ὡρμήκει Σύλλας, ὡς αἱρήσων ἔρημον ὂν ἄρχοντος, τοῦ ἀφωρμηκότος δηλονότι Σύλλα.—στ. 16, Συνεςηκός.] Μαχόμενον.—στ. 29, Ἐνέκλιναν.] ΠΡΔ, ΑΤ, Ἀνέκλιναν.

ΣΕΛΙΔ. 152, στ. 15, Στρατιᾷ.] ΠΡΔ, ΑΤ, Στρατείᾳ.—στ. 18, Στρατιᾶς.] ΠΡΔ, ΑΤ, Στρατείας.—στ. 21, Διαδιδούς.] Ἐξ ΗΔ, ΑΤ, Διαδούς.—στ. 25, Ἐμπεσόντα.] Ἴσ. γρ. Συμπεσόντα, ὡς καὶ οἱ ΠΡ, ὑπενόησαν.

ΣΕΛΙΔ. 153, στ. 1, Μόνον ἀναπέπταται καὶ ἄδενδρον.] Περιττὸς ὁ Καὶ· δι' ὃν καὶ οἱ ΠΡ εἴκασαν μήποτε εἰς τὸ, Ὁμαλὸν, ἢ Ψιλὸν, μετατρεπτέον τὸ Μόνον.—στ. 5, Ὥσπερ Νεῖλος.] Ἄμεινον ἂν ὧδε γράφοιτο μετὰ τοῦ ἄρθρου, Ὥσπερ ὁ Νεῖλος. Τῷ δὲ χωρίῳ τούτῳ προσεσημειώσατο ὁ τῆς Αὐρίγκης Ἱεράρχης Ὑέτιος, ὅτι καὶ Μέλας τὸ παλαιὸν ὁ Νεῖλος ἐκέκλητο ὁμωνύμως τῷ Βοιωτικῷ ποταμῷ.—Φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ.] Τοὺς Αἰγυπτίους μάλιςα φοίνικας αἰνίττεται, οὓς καὶ ἀλλαχοῦ (Συμποσιακ. Η, 4,) εἴρηκεν, ὡς οὐ φέρουσιν ἐν τῇ Ἑλλάδι καρπὸν ἐδώδιμον, ἀλλ' ἀτελῆ καὶ ἄπεπτον. Μαρτυρεῖ δὲ τούτοις καὶ ὁ Θεόφραστος (Περὶ φυτ. Β, 3).—στ. 18, Φευγόντων.] Ἐξ Α,ΑΤ, Φονευόντων.—στ. 19, Ἐμοὶ μὲν ἐνταῦθά που κ.τ.λ.] Μνημονεύει τούτων καὶ ὁ μικρῷ Πλουτάρχου νεώτερος Πολύαινος (Στρατηγημάτ. Η, θ', 2).

ΣΕΛΙΔ. 154, στ. 5, Αἱρεῖ.] Ἐξ ΗΔ,ΑΤ, Αἵρει.—στ. 9, Μάχης.] ΔΓ, Μάχης ἐκείνης.

ΣΕΛΙΔ. 155, στ. 4, Ἐπὶ τηλικούτοις ἀγαθοῖς.] Ὥςε τηλικαῦτα κερδᾶναι ἀγαθὰ, τουτέςιν, ὥςε βασιλεῦσαι.—στ. 7, Ὀλιγοςός.] Μετ' ὀλίγων στρατιωτῶν.—Κρυβεὶς.] Ἐξ ΗΔ, ΑΤ, Κρυφεὶς.—στ. 13, Καὶ Καππαδοκίας.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ Συνδέσμου.—στ. 23, Ὡς οὐχὶ καθαρῶς.] Προσέθηκα τὸ, Ὡς, ἐκ τοῦ Α.

ΣΕΛΙΔ. 156, στ. 14, Μαιδικήν.] Ἐξ ΗΔ, ΑΤ, Μηδικήν. Μηδικὴ μὲν

γὰρ ἡ τῶν Μήδων χώρα λέγοιτ' ἄν· Μαιδικὴ δὲ ἡ τῶν Μαιδῶν, ἔθνους Θρακικοῦ, Μακεδόσιν ὅμορος χώρα καλεῖται.

ΣΕΛΙΔ. 157, στ. 6, Ἠπόρηκεν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ. Ἠπόρηκας. —στ. 28, Πολιορκίᾳ.] Τροπικῶς κεχρῆσθαι Πλούταρχον ὧδε τῇ λέξει, ἐπὶ τῆς σφοδρᾶς ὀχλήσεως, ὡς καὶ Ξενοφῶν τῷ Πολιορκεῖν, ἐσημειώσατό τις τῶν ΠΡ.

ΣΕΛΙΔ. 158, στ. 2, Οἰκουρῶν. . . προερχόμενος.] Ὤφειλεν εἰπεῖν, Οἰκουροῦντα. . . προερχόμενον· ὡς ἐσημειώσαντο οἱ ΠΡ. Οὐ χρὴ μέντοι μετακινεῖν τὴν γραφήν.—στ. 5, Ἀπελλίκωνος.] Τοῦτον Στράβων (ΙΓ, σελ. 609), Ἀπελλίκοντα καλεῖ, Ἀθήναιος δὲ (Ε, σελ. 214), Ἀπελλικῶντα.—στ. 9, Ἐνσκευάσασθαι.] Διττῶς ἠκορολόγηται ἡ λέξις, καὶ διὰ τὴν πρόθεσιν, καὶ διὰ τὸν μέσον τύπον τοῦ ῥήματος. Ὤφειλε γὰρ εἶναι Διασκευάσαι, ὅ ἐστι διορθῶσαι, προστιθέντα, ἢ ἀφαιροῦντα, ἢ ὁπωσοῦν μεταποιοῦντα.—στ. 14, Ἀκριβῶς.] Ἴσ. γρ. Ἀκριβέσιν, τουτέστιν ἀκριβῶς καὶ ἀναμαρτήτως γεγραμμένοις.—στ. 15, Διὰ τὸ τὸν Νηλέως τοῦ Σκηψίου κλῆρον.] ΠΡΔ (συνᾴδουσα τῷ Α), ΑΤ, Διὰ τὸν Νηλέως τοῦ Σκηψίου κληρονόμον.—στ. 19. Ποδάγρας ψελλισμόν.] Τουτέστι Ποδάγραν ἀρχομένην καὶ νέαν ἔτι, καὶ ὡς ἄν τις ὑποκοριζόμενος φαίη, Ποδαγρίσκην. Εἰκὸς δὲ τοῦτο Στράβωνα ἐν τῇ μηκέτι σωζομένῃ αὐτοῦ ἱστορίᾳ εἰπεῖν· ἐν γὰρ τοῖς Γεωγραφουμένοις οὐχ εὕρηται.—Αἴδηψον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἄδιψον.—στ. 21, Πρὸς τῇ θαλάττῃ.] ΠΡΔ, ΑΤ, Πρὸς τὴν θάλατταν.—στ. 23, Ἁλαιῶν.] Ἐξ ΗΔ, ΑΤ (ψιλουμένου), Ἀλαιῶν. Ἄμεινον δ' ἂν ἦν δισσυλλάβως, Ἁλῶν.—στ. 24, Ἁλαίων.] Ἐξ ΗΔ, ΑΤ, Ἀλαιῶν. Ἁλαὶ μὲν γὰρ, ἡ πόλις· Ἁλαῖος δὲ (ἢ ὥς φησιν ὁ Βυζάντιος Στέφανος, Ἁλεύς), ὁ πολίτης.—στ. 26, Ἁλαίας.] Ἐξ ΗΔ, ΑΤ (ψιλουμένου), Ἀλαίας. Γράφοις δ' ἂν ἄμεινον καὶ ὀξυτόνως, Ἁλαιᾶς, ἢ μᾶλλον, Ἁλάς.—στ. 29, Παραιτητῶν.] Ἐξ ΕΔ, ΑΤ, Ἀπαραιτήτων. Δύναται δὲ ὁ Παραιτητὴς ἴσον τῷ, Μεσίτης, ἢ ἱκετεύων ὑπὲρ ἑτέρου.—Ἁλαῖοι.] Ἐξ ΗΔ, ΑΤ, Ἀλαιοί.

ΣΕΛΙΔ. 159, στ. 21, Ὁ λοβός.] Τοῦ ἥπατος, καὶ συνεκδοχικῶς, αὐτὸ τὸ Ἧπαρ.—στ. 22, Κατηρτημένων.] Ἐκκρεμαμένων τοῦ στεφάνου.—στ. 23, Ἥφαιον.] Τίφατον τινὲς γράφειν παρήνεσαν.

ΣΕΛΙΔ. 160, στ. 4, Φησί.] ΔΓ, Φασί.—στ. 5, Συμμεῖναι. Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Συμβῆναι.—στ. 8, Ἐμπεπρήσεσθαι.] ΠΡΔ, ΑΤ, Ἐμπεπρῆσθαι.—στ. 10, Κυϊντιλίων.] Ἐξ ΗΔ, ΑΤ, Κιντιλίων (Ἴδ. Πλούταρχ. Καμιλλ. § 30).)—στ. 20, Συνέβαλον.] Ἐξ ΗΔ, ΑΤ, Συνέβαλλον.—στ. 26, Ἥπτετο δυνάμει καὶ δι' ἀπάτης.] Διορθοῦν ἐπεχείρησάν τινες τὸ χωρίον, γράφειν

παραινοῦντες,

παραινοῦντες, Ἥττητο δυνάμει, καὶ δὶ ἀπάτης. Οἱ δὲ ΠΡ ἔγραψαν, Ἥπτετο πρὸς τῇ δυνάμει καὶ δὴ ἀπάτης. Τούτων δὲ τῶν διορθώσεων οὐκ ἂν ὀκνήσαιμι βάρβαρον φάναι τὴν συνάρτησιν. Ὁ νοῦς, καίπερ οὐκ ἀκριβῶς ἐκπεφρασμένος, Ἥπτετο τῶν πολεμίων διὰ δυνάμεως καὶ δὶ ἀπάτης, ἢ Δυνάμει καὶ ἀπάτῃ, κατὰ τὸ Ὁμηρικὸν (Ὀδυσσ. I, 406),

Δόλῳ ἠὲ βίηφι.

ΣΕΛΙΔ. 161, στ. 5, Οἱ μὲν ἠσπάσαντο τοὺς τοῦ Σκιπίωνος, οἱ δ', ἀντασπασάμενοι προσεχώρησαν.] Ἐκ ΔΓ (συνᾴδοντος καὶ τοῦ Α, καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ) οἱ ΠΡ, ΑΤ, Οἱ μὲν ἀσπασάμενοι προσεχώρησαν.—στ. 7, Ληφθείς.] Κρατηθείς· παρὰ τὸ Λαμβάνω. Ἐνδέχεται μέντοι, Λειφθεὶς, γεγράφθαι, ὑπὸ τῶν οἰκείων δηλαδὴ ςρατιωτῶν· παρὰ τὸ Λείπω. Ὁ γὰρ Α, καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἀμφότερα ἐξέφρασαν.—στ. 8, Ὥσπερ ἠθάσιν ὄρνισι . . . παλεύσας.] Τουτέςιν, ὑπαγαγόμενος, ἀπατήσας, ἀπὸ τοῦ συμβαίνοντος ἐν ταῖς θήραις· ἡμέροις γὰρ ὄρνισι χρῶνται πολλάκις οἱ ὀρνιθοθῆραι εἰς κατάληψιν τῶν ἀγρίων. « Παλεύσας (φησὶν Ἡσύχιος), θηρεύσας, ἀγρεύσας, καὶ ὑπα-» γαγόμενος ... μετῆκται δὲ ἀπὸ τῶν περιστερῶν. Λέγονται γὰρ Πα-» λεύτριαι αὗται, αἱ ἐξαπατῶσι καὶ ὑπάγουσαι πρὸς ἑαυτὰς, ἤγουν » ἐνεδρεύουσαι » . Καὶ αὖθις « Παλευταὶ, οἱ τὰ λίνα ἱστῶντες, οἷς τὰ » θηρία παλεύεται» . Καὶ Φώτιος δὲ ἐν τῷ Λεξικῷ, « Παλευτὰ (φησὶ), » τὰ λίνα, οἷς τὰ θηρία ἁλίσκεται· ὡς καὶ Παλευτρίδες, αἱ περιστε-» ραί » . Ὅτι δὲ τὸ, Παλεύειν, συγγενές ἐστιν ὄνομα τῇ Πάλῃ καὶ τῷ Παλαίειν, δηλοῖ μὲν καὶ Φώτιος, λέγων, « Παλεῦσαι, ὑπαγαγέσθαι, » ἀπὸ τῆς Πάλης, ἢ τοῦ Παλαίειν » δηλοῖ δὲ καὶ ἡ παρ' ἡμῖν συνήθεια, Π α λ ε ύ ω λέγουσα τὸ Π α λ α ί ω. — στ. 25, Κεκλιμένους. ] ΔΓ, Κεκλιμένοις· πρὸς τὸ Θυρεοῖς.

ΣΕΛΙΔ. 162, στ. 19, Ἔφεδρος.] Ἔπιθι τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 144), σημειωθέντα περὶ τῆς λέξεως. — Ἀθλητῇ.] ΠΡΔ, ΑΤ, Ἀθλητὶς.—στ. 29, Ἐπηυλίσατο τῇ πόλει.] Λείπουσιν αἱ τρεῖς αὗται λέξεις ἐκ τοῦ Α.

ΣΕΛΙΔ. 163, στ. 13, Τὰ πολεμιώτατα.] Περιττὸν ἔδοξέ μοι τὸ ἄρθρον. Ἴσως δὲ καὶ, Πολεμικώτατα, γραπτέον, ὥσπερ ἐξέφρασαν ὅ,τε Α, καὶ ὁ Ἰταλὸς μεταφραστής.—στ. 30, Φασί.] Ἐξ ΕΔ, οἱ ΠΡ, ΑΤ, Φησί.

ΣΕΛΙΔ. 164, στ. 13, Μετιόντες.] Λαβεῖν αἰτοῦντες. — στ. 23, Ἐνήρχετο.] Ἐξ ΗΔ, ΑΤ, Ἀνήρχετο.

ΣΕΛΙΔ. 165, στ. 18, Πεπαύσεσθαι.] ΠΡΔ, ΑΤ, Πεπαῦσθαι. — στ. 30, Προέγραφε.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Προέγραψε.

ΣΕΛΙΔ. 166, στ. 23, Τῷ ξένῳ.] Παρ' ᾧ κατέλυε.—στ. 29, Προεγράφη.] Ἐξ ΕΔ, ΑΤ, Προσεγράφη.

ΣΕΛΙΔ. 167, στ. 12, Εἶναι, γυναιξίν.] Ἐξ ΗΔ, ΑΤ, Εἶναι, καὶ γυναιξίν. Λείπει δὲ καὶ παρὰ τῷ Α ὁ σύνδεσμος.— στ. 18, Μανέου.] Ἐξ ΕΔ. ΑΤ, Μάγνου.—Γλαβρίωνος.] ΔΓ, Λαβρίωνος.—στ. 23, Ἑκατοντάρχων.] Παρὰ τὸ, Ἑκατόνταρχος· καίπερ προϊὼν, Ἑκατοντάρχην ἐρεῖ.

ΣΕΛΙΔ. 168, στ. 5, Συνηρημένων.] Τετελεσμένων.— στ. 8,] Φῆλιξ.] Ῥωμαϊκοῖς γράμμασι, Felix.—στ. 14, Φαῦστον.] Ῥωμαϊκοῖς γράμμασι, Faustus.—στ. 26, Ἐμπληκτικώτατον.] Ἴσ γρ. Ἐμπληκτότατον· ὁ γὰρ Ἔμπληκτος μᾶλλον ἐν χρήσει ἢ ὁ Ἐμπληκτικὸς, ὅτε σημαίνει τὸν μαινόμενον.

ΣΕΛΙΔ. 169, στ.3, Περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας.] Σημείωσαι τὴν συγκριτικὴν τοῦ Περιττὴ πρὸς τὸ Χρείας σύνταξιν (ἀντὶ τοῦ Περιττοτέρα)· ἧς χρῆσις καὶ παρὰ τῷ Ξενοφῶντι. Γέγονε δὲ τοῦτο διὰ τὴν ἀφ' ἧς τὸ Περιττὸς παρῆκται, Περὶ πρόθεσιν, καὶ καθ' ἑαυτὴν ἔσθ' ὅτε συνωνύμως τῇ Ὑπὲρ ἐκλαμβανομένην, κατὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Α, 287),

—— Περὶ πάντων ἔμμεναι ἄλλων,

ἀντὶ τοῦ, Ὑπὲρ πάντας εἶναι τοὺς ἄλλους.—στ. 12, Παρεισεννηνοχώς.] Ἴσ. γρ. Προεισεννηνοχώς.—στ. 29, Ἐπ' ἀλλήλους.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑπ' ἀλλήλους.

ΣΕΛΙΔ. 170, στ. 4, Παραβληθείς.] Παραβαλὼν καὶ ῥίψας ἑαυτόν. Ὁ δὲ Α, διὰ τοῦ espris ἑρμηνεύσας, ἔοικε Περιβληθεὶς, ἀναγνῶναι, ἢ ἀναγνωστέον εἶναι ὑπειληφέναι.—στ. 8, Ἀφ' ἡμέρας.] Τοῦτο, τεθέντος ὅτι ἐλατίνισεν ὁ Πλούταρχος, ἢ τὸ ἕωθεν σημαίνει, τουτέστιν ἀπ' ἀρχομένης τῆς ἡμέρας, ἢ τὸ Μεθ' ἡμέραν, τουτέστιν ἐν ὄψει πάντων καὶ δημοσίᾳ, ὥσπερ καὶ τὸ παρὰ Ῥωμαίοις De die (ὅπερ ἐστὶν αὐτὸ κατὰ λέξιν τὸ Ἀφ' ἡμέρας) τὴν διπλῆν ταύτην εἴληχε σημασίαν. — στ. 10, Ὁ Λυσιῳδός.] Προσέθηκα τὸ ἄρθρον ἐκ ΔΓ. Λυσιῳδὸς δέ ἐστιν ὁ ἐν ἀνδρείᾳ στολῇ γυναῖκας μιμούμενος ὑποκριτής. Ὁ δὲ Α, διὰ τοῦ Chanteur ἑρμηνεύσας, ἔοικεν ἀναγνῶναι, Λυρῳδὸς, ὥσπερ καὶ ἀνωτέρω (§ λγ', σελ. 167,) τοὺς Λυρῳδοὺς, (τουτέστι τοὺς πρὸς λύραν ᾄδοντας) τοῖς Μίμοις συνῆψεν ὁ Πλούταρχος.—στ. 22, Ἄκαστον . . .

τὸν Πελίου.] Ἕνα τῶν Ἀργοναυτῶν γεγονότα.—στ. 13, Ἀλκμᾶνα.] Ὅν πολυβορώτατον γεγονέναι Αἰλιανὸς (Ποικίλ. ἱστορ. Α, κζ΄), ἱστόρηκε. —στ. 24, Φερεκύδην.] Ἴδε Πρόδρομ. Ἑλληνικ. Βιβλιοθ. σελ. 77 καὶ 211.—Καλλισθένη.] Τὸν Ἀριστοτέλους οἰκεῖον, οὗ μνημονεύει Πλούταρχος καὶ ἀλλαχοῦ (Ἀλέξανδρ. § 55).—στ. 25, Μούκιον τὸν νομικόν.] Τὸν παρὰ Ῥωμαίοις ἐπίσημον γεγονότα. Οἱ δὲ ΠΡ ἐσημειώσαντο ἐξεῤῥυηκέναι τοῦ ἀριθμοῦ τῶν φθειριάσει περιπεσόντων Σπεύσιππον τὸν ἀνεψιὸν Πλάτωνος· καὶ γὰρ Διογένης ὁ Λαέρτιος (Δ, 4) καὶ τοῦτον φησὶ φθειριάσαι, Πλούταρχον ἐπαγόμενος μάρτυρα.

ΣΕΛΙΔ. 171, στ. 11, Δικαιαρχείᾳ.] Ἐξ ΗΔ, ΑΤ, Δικαιαρχίᾳ. Ἔστι δὲ πόλις ἰταλικὴ Σαμίων ἄποικος, ἡ νῦν καλουμένη Pozzuolo, ἐν δὲ ταῖς Πράξεσι τῶν Ἀποστόλων (κή, 13), Ποτίολοι παρὰ τὸ Ῥωμαϊκὸν τῆς πόλεως ὄνομα Puteoli.—στ. 15, Εἰς τὸ δωμάτιον.] Εἰς τὸν κοιτῶνα, ἐν ᾧ κατέκειτο νοσῶν.—στ. 17, Ῥήξας.] Ἐξ ΕΔ, ΑΤ, Ῥίψας. Καὶ ἔοικεν ἡ τῶν ἀντιγραφέων πλημμέλεια ἐκ τῆς ἐν τῇ συνηθείᾳ συγχύσεως τῶν λέξεων γεγενῆσθαι. Τὸ γὰρ παρ' ἡμῖν, Ῥήκτω, ἢ Ῥήχνω, ἐπεὶ ὡς ἐπὶ τὸ πολὺ ἐπὶ τοῦ Ῥίπτω, τέτακται, εἰσὶν οἱ αὐτοῦ τούτου τοῦ Ῥίπτω βάρβαρον ἀλλοίωσιν κακῶς ὑπειλήφασιν εἶναι. Ἔστι μὲν οὖν αὐτὸ τὸ ἀρχαῖον Ῥήσσω, Ῥηγνύω, ἢ Ῥήγνυμι, μεταποιηθὲν εἰς τὸ Ῥήκτω, ἢ Ῥήχνω (λέγεται γὰρ καὶ τοῦτο), ὥσπερ καὶ παρὰ τὸ Δεικνύω ἢ Δείκνυμι, τὸ Δείκτω καὶ Δείχνω. —στ. 21, Ποσούμαν.] Τουτέστι Μεταγενῆ, καὶ συνηθέστερον, Ὀψίγονον, ὡς ἐν ἄλλοις (Μέρ. Α, σελ. 194 καὶ 432) Πλούταρχος εἴρηκε.

ΣΕΛΙΔ. 172, στ. 5, Ἔφθη τὸ σῶμα συγκομισθὲν, ΟΣΟΝ ΗΔΗ... ἐκχυθῆναι πολὺν ὄμβρον.] Ἐξ ΗΔ, ΑΤ, ΟΣΟΝ Δ' ΗΔΗ. Ὁ μὲν νοῦς, Τοσοῦτον ἔφθη τὰ ὀστᾶ συγκομισθέντα, ὅσον ἐκχυθῆναι πολὺν ὄμβρον ἤδη μαραινομένης τῆς πυρᾶς· ἡ δὲ φράσις παραπλησία τῇ ἀνωτέρω (§ κθ΄, σελ. 163), « Ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον .. τὰς αἰχμὰς » συμπεσούσας εἰς τὴν γῆν παγῆναι ».—στ. 10 Ἐπιγραψάμενον.] Ἐξ ΗΔ, ΑΤ, Ὑπογραψάμενον.

ΣΕΛΙΔ. 173, στ. 7, Ἔλλαχε.] Κατωτέρω δὲ, ἐν τῷ Νικίου βίῳ (§ ιά, σελ. 274), γράφεται, Ἔμμορε.—στ. 15, Τοιούτοις.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοσούτοις.

ΣΕΛΙΔ. 174, στ. 4, Πρότερον δὲ καί.] Προσέθηκα ἐκ τοῦ Α τὸν πρῶτον τῶν συνδέσμων.—στ. 7, Βασιλέων· ὃ καί.] Ἐκ ΔΓ καὶ τοῦ Α, ΑΤ, Βασιλέων. Καί.—στ, 14, Εἰ δὲ κακία.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἡ δὲ κακία.—στ. 20, Πομπηίου περιέκοψε τὸ στρατιωτικόν.] Ἐκ ΔΓ προσέθηκα τὸ ῥῆμα.—στ. 28, Εἰ δή τις ἄλλος.] Ἐκ ΔΓ οἱ ΠΡ,

ΑΤ, Εἴ γε τις ἄλλος.—στ. 29, Τὸ περίακτον.] Τὸ περιφερόμενον, καὶ παρὰ πᾶσι θρυλλούμενον.—στ. 30, Οἴκοι λέοντες, ἐν ὑπαίθρῳ δ' ἀλώπεκες.] Τοῦτο ὁ Ἀριστοφάνης (Εἰρ. 1189) οὕτως ἐξήνεγκεν,

Ὄντες οἴκοι μὲν λέοντες,
Ἐν μάχῃ δ' Ἀλώπεκες·

ὅπερ ὁ σχολιαστὴς παρῳδῆσθαί φησιν ἐκ παροιμίας, παρὰ τοὺς ἐν Ἀσίᾳ Λάκωνας ἀτυχήσαντας εἰρημένης, «Οἴκοι λέοντες, ἐν Ἐφέσῳ » δὲ Λάκωνες ».

ΣΕΛΙΔ. 175, στ. 5. Ὥς φησι Σαλούστιος.] Λέγει μέν τινα ὁ Σαλούστιος, ἢ Σαλλούστιος, ἐν τῇ τοῦ Ἰουγουρθικοῦ πολέμου ἱστορίᾳ (Iugurth. § 100) περὶ τῆς Σύλλα φιληδονίας, οὐ μὴν διαῤῥήδην ἅπερ ἐνθάδε Πλούταρχος φησί.—στ. 25, Ἐνέπλησε.] Ἴσ. γρ. Ἀνέπλησε· κατὰ τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 123) σημειωθέντα.—στ. 29, Προσδεῖσθαι.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Προδεῖσθαι.

ΣΕΛΙΔ. 176, στ. 3, Καὶ τὴν Ἀθηνῶν.] Ἐξ Α οἱ ΠΡ προσέθηκαν τὸν σύνδεσμον.—στ. 7, Βασιλέως.] Τοῦ Παυσανίου, ὡς δῆλον ἐκ τῶν πρόσθεν (Λυσάνδρ. § 28, σελ. 123).—στ. 8, Ἀνθρώπους.] Ἐκ ΔΓ, ΑΤ, Ἀνθρώπων. Καὶ μετ' ὀλίγα γάρ, «Οὐχ ὑπ' ἀνδρὸς τοῦ τυχόντος» ἐρεῖ.—στ. 27, Ἄδοξον κ.τ.λ.] Ἔκ τινος τῶν μηκέτι σωζομένων δραμάτων Εὐριπίδου ἔοικεν ὁ στίχος παρειλῆφθαι.

ΣΕΛΙΔ. 177, στ. 9, Αὐτός.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτόν.—στ. 13, Ἐνέδωκεν.] ΠΡΔ, ΑΤ, Ἀνέδωκεν.—στ. 16, Ἐξίσταται Βιθυνίας.] Ἐξ ΗΔ, ΑΤ, Ἐξίσταται καὶ Βιθυνίας.—στ. 26, Παρανομωτάτους.] Ἐξ ΕΔ, ΑΤ, Παρανόμους. Ὑπερθετικῶς δὲ καὶ ὁ Α.—στ. 27, Ὥρα δὴ σκοπεῖν μὴ σὺ πολὺ τἀληθοῦς διαμαρτάνωμεν.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς ἀρνήσεως. Ὅμοιον γὰρ καὶ δ' ὁμοίας συντάξεως ἐκφραστέον τῷ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 358) εἰρημένῳ, »ΣΚΟΠΕΙ, ΜΗ τῷ μὲν Ἕλληνι... ἀποδιδόντες, ΟΥ φαύλως διαιτᾶν » δόξωμεν ».

## ΚΙΜΩΝ.

ΣΕΛΙΔ. 179, στ. 18, Λανθάνειν.] ΔΓ, Λαθεῖν.—στ. 19, Αἰθάλῳ] Αἴθαλος καὶ Αἰθάλη, καθὰ καὶ τὸ συνώνυμον Ἄσβολος καὶ Ἀσβόλη. Καὶ ἔστιν ὁ ἀρσενικὸς τύπος, εἰ χρὴ πιστεύειν Φρυνίχῳ (σελ. 44), τῶν Ἀττικῶν.—στ. 20, Ἐκπιόντες.] ΔΓ, Ἐμπιόντες.

ΣΕΛΙΔ. 180, στ. 9, Φιλανθρώποις.] Ἐκ ΔΓ, ΑΤ, Πολυτρόποις.—στ. 10, Πυριατηρίῳ.] Παρὰ τὸ Πυριᾷν, ὡς παρὰ τὸ Θυμιᾷν, τὸ Θυμιατήριον. Οὕτω δ' ἐκαλοῦντο οἱ τόποι, ἐν οἷς εἰσήρχοντο μόνου τοῦ ἱδροῦν ἕνεκα· τοῦτο δ' ἐγίνετο διὰ τῆς ἀνερχομένης ἐκ διαπύρων κοχλάκων, ἢ σιδήρου σκωριῶν ἀναθυμιάσεως, ὥς φησι Γαληνὸς ἐν τῇ τῶν παρ' Ἱπποκράτει λέξεων ἐξηγήσει.—στ. 13, Ἐνῳκοδόμησαν.] Ἐξ ΗΔ, ΑΤ, Ἀνῳκοδόμησαν. Ἔστι δὲ, Ἐνέφραξαν. (Ἴδε Πολυαίνου Πίνακα, λέξ. Ἐνοικοδομέω).—στ. 16, Ἀσβολωμένους.] Ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ ἀναυξήτως φαμὲν Ἀσβολωμένος, ἀντὶ τοῦ, Ἠσβολωμένος, οὐ μόνον ἐπὶ τῆς αὐτῆς σημασίας τοῦ, Ἀσβόλῳ κεχρισμένος, ἀλλὰ καὶ Ἀπασβολωμένος, ἢ Ἀποσβολωμένος (προθετικῶς) ἐπὶ τοῦ, Δι' αἰσχύνην ἠπορημένος.—στ. 17, Χρισάμενον.] ΠΡΔ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Χρησάμενον.—στ. 20, Ὥσπερ ἑνὸς ἀνθρώπου, τὸ τῆς πόλεως ὄνομα κατενεγκὼν ἐδίωκε φόνου κ.τ.λ.] Ὁ μὲν νοῦς πρόδηλος, Τὸ τῆς πόλεως ὄνομα, τουτέστι τὴν πόλιν ὅλην, ὡς ἄνθρωπον ἕνα γραψάμενος, ἐδίωκεν ἕνεκα τῶν ὑπὸ τοῦ Δάμωνος φονευθέντων· τῷ γὰρ Κατενεγκὼν, προσυπακουστέον τὸ, Κατηγορίαν, Γραφὴν (ὅπερ οἱ ἀρχαῖοι ἐντελῶς, Ἀπενεγκεῖν γραφὴν ἔλεγον) ἢ ἕτερόν τι τοιοῦτον, ἢ δῆλον ἐξ ὧν εἴρηκεν ἀλλαχοῦ (Πῶς ἄν τις διακρ. τὸν κόλ. τοῦ φίλ. § 26) « Καταφέρειν αὐτοῦ πολλὰ τοιαῦτα». Ἔστι δὲ τοῦ προκειμένου χωρίου ἡ ἔκφρασις τοῦ παρακμάζοντος ἑλληνισμοῦ, καὶ μικρὸν διενήνοχε τοῦ παρὰ τοῖς Ἑβδομήκοντα (Γενέσ. λζ', 1) « Κατήνεγκαν δὲ » κατὰ Ἰωσὴφ ψόγον πονηρόν» καὶ τοῦ (Δευτερονομ. κβ', 14), Ἐάν... » κατενέγκῃ αὐτῆς ὄνομα πονηρόν ».—στ. 27, Κινδυνεύουσα.] Ἄμεινον ἂν εἶπε, Κινδυνεύσασα.

ΣΕΛΙΔ. 181, στ. 11, Ἐπεὶ χαλεπόν ἐστι...ἀποδίδωσιν.] Ὅλην ταύτην τὴν χρυσῆν περικοπὴν ἀποστηθίζειν χρὴ τοὺς νέους τῆς Ἑλληνικῆς γλώσσης σπουδαστὰς, ὡς φιλανθρωπίας δεῖγμα καὶ δίδαγμα τοῦ καλοῦ κἀγαθοῦ Πλουτάρχου.

ΣΕΛΙΔ. 182, στ. 13, Καὶ ΤᾺ χρυσεῖα περὶ τὴν Θρᾴκην.] Ἢ περιαιρετέον τὸ ἄρθρον, ὃ περιεῖλε καὶ ὁ Α, ἢ διπλασιαστέον, Καὶ ΤᾺ χρυσεῖα ΤᾺ περὶ τὴν Θρᾴκην.—στ. 15, Μνῆμα δ' αὐτοῦ... ἐν τοῖς Κιμωνείοις δείκνυται.] Μνῆμα δηλαδὴ τοῦ Θουκυδίδου ἐν οἷς καὶ Κίμων ἐτάφη μνήμασι. Καὶ κρινέσθω κατὰ πάροδον ὁ τὸν βίον Θουκυδίδου συγγράψας Μαρκελλῖνος, «Πρὸς γὰρ ταῖς Μελιτίσι πύ» λαις καλουμέναις ἐστὶν ἐν Κοίλῃ τὰ καλούμενα Κιμώνια μνήματα, » ἔνθα δείκνυται ΗΡΟΔΟΤΟΥ καὶ Θουκυδίδου τάφος. Εὑρίσκεται δη-

» λονότι τοῦ Μιλτιάδου γένους ὌΝΤΩΣ· ΞΈΝΟΣ γὰρ οὐδεὶς ἐκεῖ » ΘΆΠΤΕΤΑΙ ». Πῶς γὰρ εἰκὸς Ἡρόδοτον, μήτ' Ἀθηναίοις, μήτε τῷ Μιλτιάδου γένει προσήκοντα, ἐν τοῖς Κιμωνείοις ταφῆναι μνήμασιν, ἄλλως τε καὶ εἰς Θούριον ἀποικῆσαι τῆς Ἰταλίας, κἀκεῖ τὸν βίον τελευτῆσαι καὶ τεθάφθαι κοινῇ πιςευόμενον (Σουΐδ. λέξ. Ἡρόδοτος). Μήποτε οὖν γραπτέον...« ἔνθα δείκνυται ἩΡΏΔΟΥ καὶ Θουκυδίδου τά» φος . . . Μιλτιάδου γένους ὯΝ· ΤΩ͂Ν ΞΈΝΩΝ γὰρ οὐδεὶς ἐκεῖ » ἘΘΆΠΤΕΤΟ ». Τοσούτῳ γὰρ μᾶλλον εἰκὸς περὶ Ἡρώδου τὸν λόγον εἶναι, ὅσῳ καὶ Ἀθηναῖος ἐξ Ἀθηναίων ὁ ἀνὴρ, καὶ διὰ τὰς μὴ μόνον εἰς Ἀθηναίους, ἀλλὰ καὶ πάντας, ὡς εἰπεῖν, τοὺς Ἕλληνας εὐεργεσίας ἐπίσημος ἦν ἐν τοῖς μάλιςα, καὶ εἰς Μιλτιάδην καὶ Κίμωνα τὸ γένος ἀνέφερε (Φιλοςράτ. ἐν Βίοις σοφις. Β, σελ. 546)· δι' ὃ καὶ θυγάτριον εἶχε τῆς Κίμωνος ἀδελφῆς Ἐλπινίκης ἐπώνυμον (Αὐτ. σελ. 558), καὶ τὸν Μαραθῶνα μάλιςα τῶν Ἀττικῶν δήμων ἐφίλει, κἀκεῖ διῃτᾶτο, κἀκεῖ θάπτειν αὐτὸν ἀποθνήσκων ἐπέσκηψε (Αὐτ. σελ. 565), διὰ τὰ Μιλτιάδου δηλονότι τρόπαια. Εἰ δ' ἄλλως ἀπέβη τὰ τῆς ταφῆς, Ἀθηναίων ἐφήβων τὸν νεκρὸν ἁρπασάντων, εἴς τε τὸ ἄςυ ἐνεγκόντων, καὶ ἐν τῷ ὑπ' ἐκείνου κατασκευασθέντι Παναθηναϊκῷ θαψάντων, ὥς φησι Φιλόστρατος, ἑτέρας ἂν εἴη τοῦτο διαίτης τῆς ὁριούσης, ποτέρῳ χρὴ μᾶλλον πιςεῦσαι, Μαρκελλίνῳ ἢ Φιλοςράτῳ· οὓς ἄλλως ἐνδέχεται καὶ ἀμφοτέρους ἀληθεύειν. Οὐδὲ γὰρ ἀπεικὸς, ἐν ἄςει ταφέντος, μετακομισθῆναι ὕςερον τὰ λείψανα εἰς τὰ Κιμώνεια μνήματα, ἢ καὶ τοὺς Μαραθωνίους, ἐςερημένους τοῦ νεκροῦ, φιλοτιμηθῆναι κενοτάφιον ἐν τοῖς Κιμωνείοις αὐτοῦ κατασκευάσαι.—στ. 20, Πρὸς τὴν ἔκτισιν εἰρχθεὶς ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ.] Ἐπὶ τοσοῦτον γὰρ ὀργῆς ἦλθον οἱ Ἀθηναῖοι, ὥςε καὶ ἀναγκάσαι τὸν ἀειμνήςῳ δόξῃ τὴν πόλιν αὐτῶν περιβαλόντα Μιλτιάδην, ἐπὶ κλίνης κείμενον πρὸ τῶν δικαστῶν κρίνεσθαι, ὥς φησιν Ἡρόδοτος (ϛ', 136), « Αὐτὸς μὲν παρεὼν οὐκ » ἀπελογεῖτο· ἦν γὰρ ἀδύνατος, ὥστε σηπομένου τοῦ μηροῦ· ΠΡΟ» ΚΕΙΜΈΝΟΥ δὲ αὐτοῦ ἐν κλίνῃ, ὑπεραπελογέοντο οἱ φίλοι ». Τὸ γὰρ ΠΡΟΚΕΙΜΈΝΟΥ, Πρὸ τῶν δικαςῶν κειμένου, σημαίνει, ὅπερ οὐ συνεὶς ὁ Λατῖνος μεταφραστὴς, διὰ τοῦ jaceret ἡρμήνευσε, δέον διὰ τοῦ præjaceret.—ςτ. 25, Κοάλεμον.] Ἠλίθιον, ἀνόητον, ὡς ἐξηγεῖται Ἡσύχιος· Φώτιος δὲ, καὶ Φλύαρον. Καὶ ἡ μὲν λέξις τῶν Κωμικῶν· τὸ δὲ ἔτυμον, ὥς φασι, παρὰ τὸ Κοεῖν (ὅ ἐςι, Νοεῖν) ἠλέματα, τουτέςιν ἠλεὰ καὶ μάταια· ἢ, ὡς ἕτεροι, παρὰ τὸ Κοεῖν καὶ Ἀλᾶσθαι, τὸν ἐν τῷ νοεῖν πλανώμενον δηλοῦν βουληθέντων τῶν θεμένων τοῦ-

νημα.—στ. 27, Οὔτε μουσικήν.] Ἔϛι καὶ ἐπὶ τῆς ἰδίως Μουσικῆς, καὶ ἐπὶ τῆς κατὰ πλατυτέραν σημασίαν τὴν ἐγκύκλιον δηλούσης παιδείαν, ἐκλαβεῖν τὴν λέξιν. Τὴν γὰρ Μουσικὴν, Ποιητικὴν, Ῥητορικὴν καὶ ἁπλῶς τὰς λογικὰς τέχνας, ἑνὶ ὀνόματι τῆς Μουσικῆς ἐδήλουν οἱ παλαιοὶ, παρὰ τὰς Μούσας δηλονότι· καὶ Κ ο α λ έ μ ο υ ς συνήθως ἴσως ὠνόμαζον τοὺς ἐστερημένους τῆς τοιαύτης μουσικῆς, ὥσπερ ἂν εἰ καὶ μηδὲν ὅλως διέφερεν ὁ ἀπαίδευτος τοῦ ἠλιθίου. Σ υ ν ή θ ω ς δὲ, λέγω, τὰ παρὰ τῷ Κωμικῷ παραβάλλων· Κ ο ά λ ε μ ο ν γὰρ ἐκεῖνος τὸν τοῦ ἀμαθοῦς καὶ βδελυροῦ Κλέωνος τὴν δημαγωγίαν ἀφαιρούμενον ἀμαθέϛερον καὶ βδελυρώτερον ἀλλαντοπώλην ὀνομάζει (Ἀριϛοφάν. Ἱππ. 198), καὶ παράγει λέγοντα περὶ ἑαυτοῦ (Αὐτ. 188),

Ἀλλ', ὦ 'γάθ, οὐδὲ ΜΟΥΣΙΚΗΝ ἐπίσταμαι,
Πλὴν γραμμάτων· καὶ ταῦτα μέντοι κακὰ κακῶς.

ΣΕΛΙΔ. 183, στ. 1, Σχῆμα.] 'Εξ ΕΔ (συνᾴδοντος καὶ τοῦ Α), ΑΤ, χρῆμα.—στ. 2, Φαῦλον.] Ἐξηγησάμεθα τὴν λέξιν ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 438). Προςίθητι δὲ τοῖς ἐκεῖ λελεγμένοις καὶ ὅτι ἐκ τοῦ Λικυμνίου Εὐριπίδου ὁ στίχος, ὥς φασιν ὅ, τε μνημονευθεὶς Διογένης ὁ Λαέρτιος, καὶ οἱ Λεξικογράφοι Φώτιος καὶ Σουΐδας (λέξ. Φαῦλον).—στ. 7, Πλησιανακτίῳ.] Πεισιανάκτειον ταύτην τὴν ϛοὰν ὀνομάζουσι Διεγένης ὁ Λαέρτιος (Ζ, 5), καὶ ὁ Σουΐδας.—στ. 9, Λαοδίκης.] Τῆς Πριάμου θυγατρὸς, περὶ ἧς Ὅμηρος (Ἰλιάδ. Γ, 124,)

Λαοδίκην Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην

ἔφησε.—στ. 15, Κεκροπίαν κόσμησ' ἡμιθέων ἀρεταῖς.] ΠΡΔ (συνᾴδοντος καὶ τοῦ Α) ΑΤ, Κεκροπίαν κόσμησε καὶ ἡμιθέων ἀγοραῖσιν.

ΣΕΛΙΔ. 184, στ. 26, Ἀνῆγε πρὸς τάς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀνῆγε τάς.—στ. 29, Τὴν εὐφυΐαν.] Περιελεῖν ἔδοξέ μοι τὸ ἄρθρον, ὃ καὶ ὁ Α παρέλιπε.

ΣΕΛΙΔ. 185, στ. 3, Παυσανίᾳ καί.] ΔΓ, Παυσανίᾳ τε καί.—στ. 20, Δωματίου.] Κοιτῶνος.—Καὶ διὰ σκότους.] 'Εξ ΗΔ ἡ τοῦ συνδέσμου προσθήκη.

ΣΕΛΙΔ. 186, στ. 9, Ἐπί.] ΔΓ, Περί : Παρά.—στ. 15, Βούτην.] ΔΓ, Βόντην. Ἡρόδοτος δὲ (Ζ, 107), Β ό γ η ν, Πausανίας δὲ (Η, 8) Β ο ή ν, Πολύαινος δὲ (σελ. 234 ἡμετ. ἐκδ.) Β ό ρ γ η ν.—στ. 23, Ἦν ἄρα κ. τ. λ.] Φέρονται καὶ παρ' Αἰσχίνῃ τῷ Ῥήτορι (κατὰ Κτησιφ. σελ. 73-75) αἱ ἑξῆς ἐπιγραφαὶ τρεῖς, διαφερούσης ἐστιν οὗ τῆς

γραφῆς, ὡς αὐτίκα δηλώσομεν. Σημείωσαι δὲ τὸ Ἦν ἐπὶ τοῦ πληθυντικοῦ Ἦσαν τεταγμένον, κατὰ Δωριέων, ὥς φασι, διάλεκτον.—στ. 25, Κρυερόν.] Παρ' Αἰσχίνῃ, Κρατερόν.—στ. 28, Τάδ' ἔδωκαν.] Παρ' Αἰσχίνῃ, Τάδε δῶκαν.—στ. 29, Μεγάλων ἀγαθῶν.] Παρ' Αἰσχίνῃ, Μεγάλης ἀρετῆς.—στ. 31, Ἀμφὶ περὶ ξυνοῖς πράγματι δῆριν ἔχειν.] Παρ' Αἰσχίνῃ, Ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

ΣΕΛΙΔ. 187, στ. 3, Ἐς πεδίον.] Παρ' Αἰσχίνῃ, Ἀμ πεδίον.—στ. 4, Θωρηκτάων.] Παρ' Αἰσχίνῃ, Χαλκοχιτώνων.—στ. 5, Κοσμητῆρα.] Παρ' Αἰσχίνῃ, Κοσμήτορα.—Ὄντα.] Παρ' Αἰσχίνῃ, Ἄνδρα.—στ. 7, Κοσμηταῖς.] Παρ' Αἰσχίνῃ, Κοσμητάς.—στ. 11, Σωχάρης.] Σωφάνην τοῦτον Ἡρόδοτος (Θ, 73-75) καλεῖ.—στ. 24, Κτήσιον.] Ἐπίνειον ἴσως τῶν Σκυρίων οὕτω καλούμενον. Σημειωτέος ὁ τόπος ὡς παρ' οὐδενὶ, ὅσα γ' ἐμὲ εἰδέναι, τῶν γεωγράφων κείμενος. Ἕτερον γὰρ τὸ Κτήσιον τοῦτο τῆς Κτημένης, Θετταλικῆς πόλεως, καίπερ κἀκείνης ὑπὸ Δολόπων οἰκουμένης.

ΣΕΛΙΔ. 188, στ. 1, Τὸν Αἰγαῖον.] Ἐλλειπτικῶς τοῦ Πόντου. Ἔστι δὲ τὸ κοινότερον Αἰγαῖον πέλαγος καλούμενον.—στ. 10, Εἰς τὴν αὐτοῦ.] Ἢ περιαιρετέον ὅλως τὰς τρεῖς λέξεις ταύτας, ἢ ἀντ' αὐτῶν γραπτέον, Εἰς τὸ ἄστυ, ὡς ἐσημειώσατό τις τῶν ΠΡ.—στ. 11, Ὀκτακοσίων.] Ἐξ ΕΔ, ΑΤ, Τετρακοσίων.—στ. 13, Διδασκαλίαν.] Τραγῳδίαν ὧδε καὶ Διδάσκαλος, ὁ γράψας αὐτήν.—στ. 14, Ἀφεψίων.] Ἐν δὲ τῷ Θησέως βίῳ (§ 36, Πλουτάρχ. Μέρ. Α, σελ. 29) Φαίδωνα ὀνομάζει Πλούταρχος τὸν ἄρχοντα. Ἐπιλύονται δὲ τὴν ἐναντιοφάνειαν, φάσκοντες, ὡς ἐπὶ Φαίδωνος μὲν ἄρχοντος, τῷ πρώτῳ τῆς ἑβδομηκοστῆς τετάρτης Ὀλυμπιάδος ἔτει, ὁ χρησμὸς ἐξεδόθη τοῖς Ἀθηναίοις, ὁ κελεύων τὰ Θησέως ἀναλαβεῖν ὀστᾶ, ἐπὶ δ' Ἀφεψίωνος κατήγαγεν αὐτὰ Κίμων Ἀθήναζε, τῷ τετάρτῳ τῆς αὐτῆς Ὀλυμπιάδος ἔτει.—στ. 20, Τὴν φιλοτιμίαν ὑπερέβαλε.] Ἄμεινον ἂν ἔφρασε, Τῇ φιλοτιμίᾳ ὑπερέβαλε, τουτέστι, Καθ' ὑπερβολὴν ἐφιλοτιμήσαντο οἱ ποιηταὶ ἄξιοι τοῦ ἀγῶνος δειχθῆναι.

ΣΕΛΙΔ. 189, στ. 9, Ἡροφύτου.] Ἴσως καὶ τὸν παρὰ τῷ Πολυαίνῳ (σελ. 234 ἐμ. ἐκδ.), καίπερ οὐδὲν τούτῳ προσήκοντα, Πρόφυτον, εἰς τὸν Ἡρόφυτον μεταποιητέον.—στ. 13, Μανιάκας.] «Μανιάκης, ὁ περιαυχένιος κόσμος» φησὶ Σουΐδας. Ἑλληνικὴν δὲ βούλονται τὴν λέξιν εἶναι οἱ Λεξικογράφοι, ἣν ἴσως πιθανώτερον τῇ Χαλδαίων φωνῇ προσήκειν ἄν τις ὑπονοήσειε (Δανιὴλ, κεφ. ε', 7, 16, 31).—στ. 14,

Κάνδυας.] Περσικοὺς χιτῶνας, ὡς ἐξηγοῦνται Φώτιος καὶ Σουίδας.— στ. 21, Στρατηγίας.]'Εξ ΗΔ. συνᾳδούσης τῷ Λατίνῳ μεταφραστῇ, ΑΤ, Στρατιᾶς.—στ. 22, 'Από.] ΠΡΔ, ΑΤ, Ὑπό.—'Ωφελῆσθαι.] 'Εκ ΔΓ, ΑΤ, 'Ωφελεῖσθαι.—στ. 26. 'Εφ' ὅ.] 'Εξ ΕΔ,ΑΤ, 'Εφ' ᾧ.—στ. 28, 'Ως δ' 'Αριστοτέλης.] 'Εκ ΔΓ οἱ ΠΡ,ΑΤ, 'Ως 'Αριστοτέλης.

ΣΕΛΙΔ. 190, στ. 1, Συνήθως.] 'Εξ ΗΔ, ΑΤ, Συνήθεις.—στ. 6, Ὁ κωμικός.] 'Εκ ΔΓ, οἱ ΠΡ, προσέθηκαν τὸ ἄρθρον.—στ. 10, Πρόμῳ.] 'Εκ ΔΓ,ΑΤ, Πρώτῳ.—στ. 17, Σκοπάδων.] Ἴσως γραπτέον, Σκοπαδῶν. —στ. 19, Λίχαν.] Μνημονεύει τῆς φιλοξενίας τοῦ Λίχα τούτου ὁ Ξενοφῶν ('Απομνημ. Α, β', 61).—στ. 23, Τό τε σπέρμα τῆς τροφῆς κ.τ.λ.] Ἔπιθι Ἰσοκράτην (Πανηγυρικ. § ς', σελ. 42).—στ. 24, Ὑδάτων τε πηγαίων χρῆσιν, καὶ πυρὸς ἔναυσιν ἀνθρώπους ἐδίδαξαν.] 'Εξ ΗΔ,ΑΤ, Ὑδάτων τε πηγαίων καὶ πυρὸς ἔναυσιν χρήζουσιν ἀνθρώποις ἐδίδαξαν. 'Εξέφρασε δὲ καὶ ὁ Α ἣν προστέθεικα λέξιν, ἀνθ' ἧς καί, Ἄρυσιν ἐνδέχεται τὸ πάλαι γεγράφθαι.

ΣΕΛΙΔ. 191, στ. 16, Ὅταν.] ΔΓ, Ὅτε.

ΣΕΛΙΔ. 192, στ. 6, 'Εκ τῆς αὐτῶν ςρατείας.] 'Εξ αὐτοῦ τοῦ ςρατεύεσθαι κτωμένους καὶ τὰ πρὸς τροφὴν ἀναγκαῖα. Οἱ ΠΡ ἔγραψαν, 'Αςρατείας, πρὸς τὸ Συμμάχων, δριμυτέρως μὲν ἐκπεφρασμένον, οὐ μὴν μαρτυρούμενον ὑπὸ τῶν ἀντιγράφων.—στ. 12, Κατεςρέφετο.] ΔΓ, Κατέςρεφε.—στ. 13, Ἰωνίας.] ΠΡΔ, ΑΤ, Ἰονίας.— στ. 19, Περιαγωγήν.] Περιστροφήν.—στ. 21, Ὑπὸ πολλῶν.] 'Εκ ΔΓ, ΑΤ, Ὑπὸ τῶν πολλῶν.

ΣΕΛΙΔ. 193. στ. 2, Φερενδάτην.] Ὁ δὲ Σικελιώτης Διόδωρος Φερεδάτην ὀνομάζει τοῦτον.—στ. 10, Φανόδημος.] 'Εν τῇ ἐπιγραφομένῃ δηλονότι αὐτοῦ βίβλῳ 'Ατθίς.—στ. 11, Ἔφορος.] Ὁ ἱςορικός, ὁ Ἰσοκράτους μαθητής.—Πεντήκοντα καὶ τριακοσίαις.] Παρὰ δὲ τῷ Διοδώρῳ, 'Εξήκοντα καὶ τριακοσίαις.

ΣΕΛΙΔ. 194, στ. 2, Παρεληλυθὼς τρόπαιον, ἐπηγωνίσατο ταῖς νίκαις.] Ὁ νοῦς καὶ ἡ συνάρτησις, Ὥσπερ ἀθλητὴς ἔμπειρος, ὁ Κίμων, ἡμέρᾳ μιᾷ δύο νικήσας ἀγωνίσματα, καὶ παρεληλυθώς, ἤγουν ὑπερβαλόμενος, τὸ μὲν ἐν Σαλαμῖνι ἀγώνισμα καὶ τρόπαιον τῶν πρὸ αὐτοῦ, διὰ τῆς πεζομαχίας (ἐκείνων γὰρ ναυμαχίᾳ μόνῃ νικησάντων, οὗτος καὶ ἐπεζομάχησεν ἐν τῇ αὐτῇ ἡμέρᾳ), τὸ δ' ἐν Πλαταιαῖς διὰ τῆς ναυμαχίας (ἐκείνων γὰρ κατὰ γῆν μόνον μαχεσαμένων, οὗτος καὶ ἐναυμάχησε), ταῖς δύο ταύταις νίκαις, ἐπηγωνίσατο καὶ τὴν ἀπώλειαν τῶν ὀγδοήκοντα Φοινισσῶν τριηρῶν. Εἰσὶν οἱ γράφειν καὶ στίζειν

οὐκ ἀπιθάνως παρῄνεσαν, Παρεληλυθὼς, τρίτον ἐπηγωνίσατο ταῖς νίκαις.—στ. 4, Ὕδρῳ.] Γραπτέον, ἢ Κύπρῳ ἐκ τοῦ Πολυαίνου (σελ. 24, ἐμ. ἐκδ.), ἢ Σύδρῃ, οὕτω καλουμένῃ πόλει παραλίῳ τῆς Κιλικίας, ἧς μνημονεύει καὶ Στράβων (ΙΔ, σελ. 669).—στ. 10, Ἵππου μὲν δρόμον.] Ὅσον ἵππος μιᾶς ἡμέρας συντελέσαι δύναται δρόμον. Ἦν δ' οὗτος, ὡς ἐν τοῖς ἑξῆς (§ 19, σελ. 202) δηλώσει, τετρακοσίων ςαδίων.—στ. 27, Χάλικι.] Παρὰ τὸ Χάλιξ· ὅθεν τὸ τῶν Ῥωμαίων Calx. Ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν λέξιν ἐν τῷ οὐδετέρῳ Χαλίκιον, καὶ ἐν τῷ ἀρσενικῷ Χάλικας, καὶ ἐν τῷ συνθέτῳ, Χαλικολόγος, ὃν οὐκ ὀρθῶς οἱ πολλοὶ διὰ τοῦ ν, Χανικολόγον ἐκφέρουσι.

ΣΕΛΙΔ. 195, στ. 19, Λακεδαιμονίων.] Ἐξ ΕΔ,ΑΤ, Μακεδόνων.—στ. 26, Γραῦς εἶ.] Ἱστόρηκε τοῦτο καὶ ἀλλαχοῦ (Περικλ. § ἰ).

ΣΕΛΙΔ. 196, στ. 5, Τὰ πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον.] Περιαιρεῖν ἔδοξε τοῖς ΠΡ τὰς ἐξ ταύτας λέξεις, ὡς ἐξήγησιν τῶν πέντε, « Τὸν καθεστῶτα τῆς πολιτείας κόσμον ».—στ. 8, Ἤδη καὶ Περικλέους.] Ἐκ ΔΓ,ΑΤ, Ἤδη Περικλέους.—στ. 12, Ἄνω.] Εἰς τὸν Ἄρειον πάγον.—στ. 18, Κἀνίοτ' κ.τ.λ.] Οὐκ ἔῤῥωται ὁ ςίχος· διὸ παρῄνει τις τῶν ΠΡ γράφειν, Κἀνίοτε δ' ἀπεκοιμᾶτ' ἂν κ.τ.λ.

ΣΕΛΙΔ. 197, στ. 10, Οὐκ ἠρέμα προσκείμενον.] Σφόδρα προσέχοντα τοῖς Σπαρτιάταις, ὑπεραγαπῶντα τοὺς Σπαρτιάτας.—στ. 19, Τῶν Ταϋγέτων.] Πληθυντικῶς καὶ οὐδετέρως, Τὰ Ταΰγετα (προσυπακουομένου τοῦ Ὄρη) ὡς καὶ Πολύαινος (σελ. 247 ἐμ. ἐκδ.), κατὰ Ῥωμαίων συνήθειαν. Εὕρηται δὲ καὶ ἑνικῶς, Τὸ Ταΰγετον, καὶ ἀρσενικῶς, Ὁ Ταΰγετος.—στ. 20, Πλὴν οἰκιῶν πέντε.] Τὰ αὐτὰ ἱςόρηκε καὶ Πολύαινος (Στρατηγημ. Α, μά, 3) καὶ Αἰλιανὸς (Ποικ. ἱςορ. ϛ', 7).

ΣΕΛΙΔ. 198, στ. 1, Ἀθροίζωνται.] Ἴσ. γρ. Ἀθροίσωνται.—στ. 2, Εἵλωτες.] Ἐξ ΕΔ,ΑΤ, Ἰδιῶται· ὃ οἱ ΠΡ κακῶς ἔτρεψαν εἰς τὸ Εἱλῶται· Εἰ γὰρ καὶ διττῶς ἐσχημάτισται τὸ ἐθνικὸν κατὰ τὸν Βυζάντιον Στέφανον (λέξ. Ἕλος), Εἵλως καὶ Εἱλώτης, κατὰ πλειονάγε μὴν χρῆσίν ἐςι τὸ πρῶτον. Καὶ αὐτὸς δὲ Πλούταρχος μικρὸν κατωτέρω Εἵλωτας ἐρεῖ οὐχ Εἱλώτας.—στ. 9, Ἀριςοφάνης.] Ἐν Λυσιςράτῃ (ςίχ. 1138-1141).—στ. 13, Κριτίας.] Εἷς τῶν ἔπειτα τυραννησάντων Ἀθήνησι τριάκοντα.—στ. 15, Μετὰ πολλῶν ὁπλιτῶν.] Τετρακισχιλίων, ὥς φησιν ὁ Κωμικὸς Ἀριστοφάνης (Λυσιςρ. 1143).—στ. 22, Κόψαντας.] Ἐξ ΗΔ, ΑΤ, Κόψαντος.—στ. 25, Εἰσεβιάσασθε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Εἰσεβιάζεσθε.—στ. 28, Τοὺς Ἀθηναίους αὖθις ἐκάλουν.] Οὐ συνᾴδει

ταῦτα τοῖς Θουκυδίδου, Διοδώρου τοῦ Σικελιώτου, καὶ Παυσανίου· ἅπαξ γὰρ οὗτοι τοὺς Ἀθηναίους παραγεγονότας τοῖς Σπαρτιάταις ἱστορήκασιν, ὡς ἐσημειώσατο εἰς τὴν Γαλλικὴν Ἀμιότου μετάφρασιν ὁ φίλος Κλαυέριος.

ΣΕΛΙΔ. 199, στ. 3, Τοσοῦτου.] Ἐκ ΑΓ, ΑΤ, Τοσοῦτον. — στ. 4, Ἀπεῖναι.] ΠΡΔ, ΑΤ, Ἅπασι. — στ. 16, Οἱ δὲ, λαβόντες κ. τ. λ.] — στ. 23, Εἰς ὥραν ἔτους.] Τοῦτο ταὐτὸν δύναται τῷ ἐν τῇ συνηθείᾳ, Τὸν ἐρχόμενον χρόνον, ἢ συντομώτερον, Τοῦ χρόνου. Ἔπιθι τα ἐν ἄλλοις ( Πλουτάρχ. Μέρ. Α, σελ. 442 ) περὶ τούτου σημειωθέντα.—Στρατιάν.] Ἴσ. γρ. Στρατείαν, ὡς ἔγραψαν ἐξ ΕΔ οἱ ΠΡ.

ΣΕΛΙΔ. 200, στ. 17, Διαιρῶν.] Κρίνων.—στ. 20, Στρατός.] Ἐκ τοῦ Α καὶ ἑτέρων μεταφραστῶν οἱ ΠΡ, ΑΤ. Στρατηγός. — στ. 29, Πάλιν ἔπλει.] Οὐκ εὐσύνετον τὸ λεγόμενον. Ὁ δὲ Α καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἐξέφρασαν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Περὶ Παμφυλίαν ἔπλει.

ΣΕΛΙΔ. 201, στ. 1, Τὰς ἐν κύκλῳ.] Τὰς ἐν Κύπρῳ, ἔγραψαν οἱ ΠΡ, ἐξ ΕΔ, οἷς μαρτυρεῖν πως ἔοικε καὶ τὰ παρ' ἄλλοις ἱστορούμενα. —στ. 10, Ποιησομένους.] Πευσομένους, γράφειν εἰσὶν οἱ παρῄνεσαν οὐκ ἀπιθάνως.—στ. 26, Φενόδημος.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Φανόδημος. Ἔστι δὲ ὁ αὐτὸς καὶ οὗ ἐν τοῖς πρόσθεν ( σελ. 193 ) Πλούταρχος ἐμνημόνευσε.

ΣΕΛΙΔ. 202. στ. 9, Τετρακοσίων.] Ἔπιθι τὰ ἀνωτέρω (σελ. 394) σημειωθέντα.-στ. 13, Ναυσικράτης ὁ ῥήτωρ.] Πρὸς ἀντιδιαστολὴν Ναυσικράτους τοῦ κωμικοῦ ποιητοῦ.

## ΛΟΥΚΟΥΛΛΟΣ.

ΣΕΛΙΔ. 203, στ. 7, Αὔγουρα.] Ἐξ ΗΛ, ΑΤ, Αὔγουραν· παρὰ γὰρ τὸ, Αὔγουρ, Ῥωμαϊστὶ Augur. Δηλοῖ δὲ καὶ Πλούταρχος ἀλλαχοῦ, Αὔγουρες, τὴν πληθυντικὴν σχηματίσας εὐθεῖαν. — στ. 15, Ἑκατέραν γλῶσσαν. ] Καὶ τὴν Ῥωμαϊκὴν, καὶ τὴν Ἑλληνικήν. — στ. 20, Θύννος βολαῖος κ.τ. λ.] Μνημονεύει καὶ ἀλλαχοῦ (Περὶ τῶν ὑπὸ τοῦ θ. βραδ. τιμωρουμ. § 10) τοῦ στίχου, ἐξ Αἰσχύλου ἢ Σοφοκλέους μηκέτι σωζομένου δράματος παρειληφώς. Ὁ νοῦς, Διετάραττε τὴν ἀγοράν, ὥσπερ θύννος τριαίνῃ βεβλημένος τὴν θάλατταν. — στ. 22, Τεθνηκώς.] ΔΓ. Τεθηπώς. — στ. 24, Ἔτι καὶ μειράκιον ὤν.] Ἴσως περιττὸς ὁ σύνδεσμος.

ΣΕΛΙΔ. 204, στ. 6. Ὁμολογῆσαι.] Ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ, Στοίχημα βάλλω, τὸ Ὁμολογῶ ἐνθάδε.—στ. 7, Ἐντενεῖν.] Ἐξ ΗΔ, ΑΤ, Ἐκτεμεῖν. Οἱ δὲ ΠΡ ἐξ ΕΔ ἔγραψαν, Ἐκτενεῖν· ἕτεροι δὲ, Ἐκτελεῖν. Ὅτι δὲ προέχει τὸ ἡμέτερον Ἐντενεῖν, διδάξει σε τὰ ἀλλαχοῦ (Προδρ. Ἑλλ. Βιβλιοθ. σελ. 368) εἰρημένα.—στ. 13, Ἐπηγάγετο.] Ἐκ ΔΓ, ΑΤ, Ὑπηγάγετο.—στ. 27, Ἑλληνικοῖς μυοπάρωσι.] Ἐξ ΗΔ τὸ Ἑλληνικοῖς, ΑΤ, Ἑλληνικαῖς. Ἀρσενικῶς γὰρ ἐσχημάτισται ὁ Μυοπάρων, ὥσπερ δῆλον καὶ ἐκ τοῦ κατωτέρω (§ 13, σελ. 218) Ληστρικὸν μυοπάρωνα. Οὐκ ὀρθῶς οὖν ὁ Στέφανος (Θησαυρ. Δ. σελ. 1481) θηλυκοῦ γένους ὑπέλαβε τὸν Μυοπάρωνα ἐκ μόνου τούτου τοῦ Πλουταρχείου χωρίου συλλογισάμενος.

ΣΕΛΙΔ. 205, στ. 2. Πλατωνικῆς τινος φωνῆς.] Μνημονεύει καὶ Αἰλιανὸς (Ποικ. Ἱστορ. ΙΒ, 30,) τοῦ Πλάτωνος ἀπαξιώσαντος Κυρηναίοις νομοθετῆσαι.—στ. 4, Ὅπως αὐτοῖς νόμους.] Ἐξ ΗΔ, ΑΤ, Ὅπως τοὺς νόμους. Δηλοῖ δὲ καὶ Πλούταρχος ἐν ἀρχῇ τοῦ ἐπιγραφομένου, Πρὸς ἡγεμόνα ἀπαίδευτον, συντάγματος, οὑτωσὶ φήσας, « Πλάτωνα » Κυρηναῖοι παρεκάλουν νόμους τε γραψάμενον ΑΥΤΟΙΣ ἀπολιπεῖν, » κ. τ. λ. ».—στ. 5, Αὐτῶν.] Ἐξ ΕΔ, ΑΤ. Αὐτόν.—στ. 21, Μήτ' ἄλλο τῶν.] Ἄμεινον ἂν γράφοις, Μήτ' ἄλλο τι τῶν.—στ. 26, Ἀπεῖπε.] Ἐξ ΕΔ, ΑΤ, Ἀπέλιπε.

ΣΕΛΙΔ. 206, στ. 4, Ὅσαι.] Ἐκ ΔΓ, ΑΤ, Ὅσοι.—στ. 8. Ἀναμενῶν.] ΠΡΔ, ΑΤ, Ἀναμένων.—στ. 18, Συνῆγε.] Ἐξ ΗΔ, ΑΤ, Συνήγαγε.—στ. 24, Ἐκφύγοι.] Ἐκ ΔΓ, ΑΤ, Ἐκφύγῃ. — στ. 27, Διαδιδράσκοντος.] Ἐξ ΗΔ, ΑΤ, Διαδράσκοντος. —στ. 27. Ὑφ' ἑαυτοῦ μὲν γ' ἐξεωσμένου... εἰργομένου κ. τ. λ.] Ἐξ ΗΔ, ΑΤ, Ὑφ' ἑαυτοῦ μὲν ἐξεωσμένον... εἰργόμενον. Ὁ νοῦς καὶ ἡ συνάρτησις, Ἐξεωσμένου μὲν γὰρ τοῦ Μιθριδάτου ὑπὸ τοῦ Φιμβρίου, τῆς γῆς, εἰργομένου δὲ ὑπὸ τοῦ Λυκούλλου, τῆς θαλάττης, τοὺς Ῥωμαίους ἀποδώσειν ἀμφοτέροις [τῷ Φιμβρίᾳ καὶ τῷ Λουκούλλῳ] τὸ κατόρθωμα, ἐν μηδενὶ δὲ θήσεσθαι τὰς ἀριστείας τοῦ Σύλλα.—στ. 30, Καὶ Χαιρωνείᾳ.] Ἐξ ΕΔ, ΑΤ, Καὶ Χαιρώνειαν· ὁ θεραπεύων ὁ Στέφανος, ἔγραψε, Καὶ περὶ Χαιρώνειαν.

ΣΕΛΙΔ. 207, στ. 11, Μιθριδάτῃ.] ΠΡΔ, ΑΤ, Μιθριδάτην. — στ. 23, Τοῖς θαλαττεύουσι.] Τοῖς καλυπτομένοις ὑπὸ τῆς θαλάττης.— στ. 28, Ἤδη.] Προσέθηκα τὴν λέξιν ἐκ ΔΓ.

ΣΕΛΙΔ. 208, στ. 8, Κακοδαιμονῶντας.] Ἐξ ΕΔ, ΑΤ, Κακοδαιμονοῦντας.—στ. 10, Μὲν καὶ φανερῶς.] Περιέγραψα τὸν Καί.

ΣΕΛΙΔ. 209, στ. 13, Τοῦτον. . . ἐπολέμει.] Σημειοῦ καὶ πάλιν τὸ Πολεμῶ πρὸς αἰτιατικήν.—στ. 14, Κοΐντιον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Κόϊντον.—στ. 25, Μιθριδάτῃ.] Στεφάνου οὐκ ἀναγκαία διόρθωσις, ΑΤ, Μιθριδάτην· ὅπερ ἧττον μὲν Ἑλληνικὸν, μᾶλλον δὲ τοῖς χρόνοις Πλουτάρχου κατάλληλον, καὶ μικρὸν γὰρ ἀνωτέρω, καὶ ἀλλαχοῦ οὐκ ὀλιγάκις, πρὸς αἰτιατικὴν συνῆψε τὸ Πολεμῶ.—στ. 30, Ἀνέδην.] Ἐκ ΔΓ, ΑΤ, Ἀναίδην.

ΣΕΛΙΔ. 210, στ. 9, Καὶ τῷ Λουκούλλῳ.] Γράφε, Καὶ τὸ Λουκούλλῳ, ἵν' ᾖ ἡ σύνταξις, Τὸ ὁρᾶσθαι συμφιλοτιμουμένην Λουκούλλῳ ἦν μισθὸς κ. τ. λ.—στ. 17, Λουκουλλῳ.] Ἐξ ΒΔ, ΑΤ, Λουκούλλου.

ΣΕΛΙΔ. 211, στ. 3, Ἐθιζόμενοι.] Ἐκ τοῦ Α, ΑΤ, Ἐρεθιζόμενοι.—στ. 12, Τὰ Ῥωμαϊκά.] Ἢ τὸ ἄρθρον διαγραπτέον, ἢ ἀναγνωστέον, Κατὰ τὰ Ῥωμαϊκά, καθάπερ ἴσως ἀνέγνω καὶ ὁ Α, à la Romaine φήσας.—στ. 17, Χρυσορόφοις.] Ἐξ ΕΔ, ΑΤ, Χρυσοφόροις..—στ. 19, Παραρτυσάμενος.] Ἐκ ΔΓ, ΑΤ, Παραρτισάμενος. Ἔστι δὲ συνώνυμον τῷ Παρασκευάσας.—στ. 21, Ἀλλὰ καὶ τὴν Ἀσίαν ὅλην ὑποτροπή. . . εἶχεν.] Σημειοῦ τὸ καινὸν τῆς συντάξεως, ᾧ μάλιστα χαίρει Πλούταρχος· δέον γὰρ πρὸς τὸ προηγούμενον, Οὐ μόνον (ἴσ. γρ. Οὐ μόνων) τούτων, ἐπαγαγεῖν οἰκείως καὶ καταλλήλως, Ἀλλὰ καὶ τῶν κατὰ τὴν Ἀσίαν ὅλην, ἣν εἶχεν [ἢ ἃς εἶχεν], ὁ δὲ ὥσπερ ἀπ' ἄλλης ἀρχῆς συνέταξε τὴν φράσιν. Ἡ δὲ Ὑποτροπὴ ἰατρικὴ λέξις ἐστὶ, δηλοῦσα τὸ ἐν τῇ συνηθείᾳ, Ἐξανακύλισμα.

ΣΕΛΙΔ. 212, στ. 3, Αὔτανδρα.] Τοῦθ' ὅπερ ἡ συνήθεια Σύμψυχα, καὶ διὰ τὸ εὐφωνότερον, Σύψυχα, λέγει.— στ. 21, Μαρίου.] Οὐ Μάριον, ἀλλ' Οὐάριον καλεῖσθαι τοῦτον ὑπὸ τοῦ Ἀππιανοῦ σεσημείωται τοῖς πρὸ ἡμῶν.—στ. 26, Μέγα σῶμα φλογοειδές. . . τὸ μὲν σῶμα πίθῳ κ. τ. λ.] Γράφε. . . τὸ μὲν σχῆμα πίθῳ κ. τ. λ., ὥσπερ ἐξέφρασε καὶ ὁ Α, dont la forme et figure etoit comme d' une tonne. Πλανηθέντες γὰρ ὑπὸ τοῦ προηγησαμένου, Σῶμα, καὶ τὸ Σχῆμα εἰς τὸ Σῶμα ἔτρεψαν οἱ ἀντιγραφεῖς.

ΣΕΛΙΔ. 213, στ. 5, Κατέλιπε.] ΔΓ, Καταλέλοιπε.—στ. 9, Τὸν σῖτον.] Προσέθηκα τὸ ἄρθρον.—στ. 19, Ἀσύντακτος.] Ἐκ ΔΓ, ΑΤ, Ἀσυντάκτως.

ΣΕΛΙΔ. 214, στ. 5, Παρεμβεβληκότας.] Ἐξ ΕΔ, ΑΤ, Παραβεβληκότας.—στ. 16, Ἐσήμηνε.] Ἔδειξε.—στ. 23, Καὶ τῆς τῶν

Φεῤῥεφαττίων κ. τ. λ.] Ὅρα καὶ πάλιν, ἣν πρὸ μικροῦ σημειοῦσθαί σε δεῖν ἔλεγον ἀνακόλουθον σύνταξιν τοῦ Πλουτάρχου· ὤφειλε γὰρ καταλλήλως πρὸς τὸ, Ἄλλοις τε σημείοις, ἐπαγαγεῖν, Καὶ τῷ ἐν τῇ τῶν Φεῤῥεφαττίων ἑορτῇ συμβάντι.—στ. 30, Γραμματεῖ.] Ἐξ ΕΔ, ΑΤ, Γραμματιςῇ. Περὶ δὲ τῆς διαφορᾶς τῶν λέξεων ἔπιθι τὰ ἀλλαχοῦ (Ἡλιοδώρ. Β, σελ. 24 καὶ 26) σεσημειωμένα.

ΣΕΛΙΔ. 215, στ. 1, Τὸν Λιβυκὸν αὐλητήν.] Τὸν νότον δηλονότι· πρὸς νότον γὰρ ἡ Λιβύη τῇ Κυζίκῳ. — Τὸν Ποντικὸν σαλπιγκτήν.] Τὸν Βοῤῥᾶν.—στ. 4, Ἀκρίτου.] Πολλοῦ, σφοδροῦ. Τῶν τις πρὸ ἐμοῦ, ὑπενόησε, μήποτε γραπτέον, Ἀρκτείου, διὰ τὰ πρὸ μικροῦ εἰρημένα. Οὐ μετακινητέον ὅμως τὴν γραφήν· αὐτὸ γὰρ τὸ Κατιόντος ἀποχρώντως ἐμφαίνει τὸν ἀπὸ τῆς Ἄρκτου πνέοντα Βοῤῥᾶν· ἐπίκειται γὰρ αὕτη τῇ Κυζίκῳ.—στ. 11, Ὑπυφαίνουσαν.] Ἐξ ΕΔ, ΑΤ, Ὑπερφαίνουσαν.—στ. 12, Βοηθήσασα.] Ἐξ ΕΔ, ΑΤ, Βοηθήσουσα. Καὶ ὁ Α δὲ κατ' ἀόριστον ἔοικεν ἀνεγνωκέναι.—στ. 22, Ὑφαιρήσῃ.] ΔΓ, Ὑφαιρήσει· ὅπερ ἄμεινον.—στ. 29, Τοῖς δ' ἄλλοις.] Μετὰ δὲ τῶν ἄλλων, τῶν μὴ ἀπολελειμμένων δηλονότι.

ΣΕΛΙΔ. 216, στ. 11, Ἔγνωςο.] Ἐξ ΗΔ, ΑΤ, Ἔγνωςαι.—στ. 28, Κνώσσεις.] Ὅτι μὲν συνώνυμόν ἐςι τὸ Κνώσσειν τῷ Ὑπνώσσειν, παρ' ἅπασιν ὡμολόγηται· τὸ δὲ τῆς λέξεως ἔτυμον ἄλλων ἄλλως ἀποδεδωκότων, ἡμῖν δοκεῖ, οὐδὲν ἕτερον εἶναι τὸ Κνώσσειν ἢ αὐτὸ τὸ Ὑπνώσσειν, ἀφαιρέσει τοῦ ἀρκτικοῦ υ, καὶ τροπῇ Αἰολικῇ τοῦ π εἰς τὸ κ.

ΣΕΛΙΔ. 217, στ. 4, Πρωρέας.] Ἴσον καὶ τὸ Κυβερνήτας ἐνθάδε· κυρίως δὲ Κυβερνήτης μὲν ἐλέγετο ὁ ἐπὶ τῆς πρύμνης ἑστὼς καὶ τὸ πηδάλιον ἐγκεχειρισμένος, Πρωρεὺς δὲ, ἢ Πρωράτης, ὁ ἐπὶ τῆς πρώρας, δεύτερος μετὰ τὸν Κυβερνήτην.—στ. 9, Ἡ προσβολήν τινα ἡ νῆσος εἶχεν.] Ἐξηγησάμεθα τοῦτο ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 416).

ΣΕΛΙΔ. 218, στ. 14, Ἀναβαλέσθαι.] Ἐξ ΗΔ, ΑΤ, Ἀναβάλλεσθαι. —στ. 15, Εἰς τὴν Βασιλικήν.] Ἐλλειπτικῶς τοῦ, Χώραν, τὴν Μιθριδάτου δηλονότι.—στ. 20, Τεττάρων.] Δραχμῶν, χρὴ προσυπακούειν.—στ. 21, Διάθεσις.] Πώλησις.—στ. 29, Ἄγει.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἄγε.

ΣΕΛΙΔ. 219, στ. 2, Ἐξέφηναν.] Ἐκ τοῦ Α οἱ ΠΡ, ΑΤ, Ἐξέφηνεν. — στ. 21, Εὐπρεπεστέραν.] ΠΡΔ, ΑΤ, Εὐπρεπεστέρας.— στ. 25, Ἀλλ' ἀδοξοῦντα.] Ἀλλὰ δεδιότα, ἢ Ἀλλ' ἀποδειλιῶντα,

γραπτέον εἶναι εἴκασαν ἀπιθάνως οἱ ΗΡ. Ἀπίθανον δὲ καὶ τὸ, Ἀδοξοῦντα, ἢ γοῦν ἀσαφῶς πάνυ ἐκπεφρασμένον· διὸ καὶ ὁ Α παρέφρασεν οὐ καλῶς, μεταφράσαι καλῶς οὐκ ἔχων, « Καὶ μὴ βουλόμενον καταφυγεῖν πρὸς τὸν Τιγράνην διὰ τὴν ἐκ τῆς καταφυγῆς ταύτης προσγινομένην αὐτῷ ἀδοξίαν » . —στ. 27, Ἀναθαῤῥῦναι.] Εἰ μὴ ἡμάρτηται ἡ γραφὴ, καταχωριστέον ἐν τοῖς Λεξικοῖς τὸ, Ἀναθαῤῥύνω οὐδετέρως ἐκλαμβανόμενον, καὶ τῷ παρακμάζοντι μᾶλλον ἑλληνισμῷ προσῆκον. Οἱ γὰρ δόκιμοι τῷ μὲν, Θαῤῥύνω ἐπὶ τοῦ, Ἑτέρῳ θάῤῥος ἐμποιῶ, τῷ δὲ Θαῤῥέω, ἢ Θαρσέω, οὐδετέρως ἐπὶ τοῦ Αὐτὸς θάῤῥος λαμβάνω, χρῶνται, καθὰ καὶ αὐτὸς Πλούταρχος ἀλλαχοῦ (Μέρ. Β, σελ. 235) ἑκατέρῳ ἐχρήσατο. Ἐνδέχεται μέντοι καὶ γραφικῶς ἡμαρτῆσθαι τὸ Ἀναθαῤῥῦναι, ἀντὶ τοῦ Ἀναθαῤῥῆσαι, οὐδετέρου, ἢ καὶ τῆς, Ἀναθαῤῥύναντας, ἐνεργητικῆς μετοχῆς, συναπτομένης πρὸς τὸ Δόντας, καὶ μεταβατικῶς ἐκλαμβανομένης πρὸς τὸν Μιθριδάτην.

ΣΕΛΙΔ. 221, στ. 11, Δανδαρίων... Δανδάριοι.] Ἐκ ΔΓ, καὶ τοῦ Α, ΑΤ, Δαρδαρίων . . . Δαρδάριοι. — στ. 24, Δανδάριος. ] Κἀνταῦθα ἐκ ΔΓ καὶ τοῦ Α, ΑΤ, Δαρδάριος. — στ. 26, Ἐνδιαζόντων.] Μεσημβριαζόντων, ὡς ἐξηγεῖται Ἡσύχιος, « Ἐνδιῶνται, μεσημβριάζουσι » · λέγεται γὰρ, Ἐνδιάω, καὶ Ἐνδιάζω. Τοῦτο δὲ Πλούταρχος ἀλλαχοῦ (Συμποσιακ. Η, 6) διὰ τοῦ, Μετ' ἄριστον ἀναπαύεσθαι, ἡρμήνευσεν, ὥσπερ καὶ οἱ Γάλλοι διὰ τοῦ faire la meridienne ἐκφράζουσι. Σημαίνει δὲ τὸ Ἐνδιᾷν, ἢ Ἐνδιάζειν, καὶ τὸ, Ἐν ὑπαίθρῳ διάγειν, καὶ ἁπλῶς τὸ Ἐνδιατρίβειν που. Καὶ διορθούσθω ἡμῖν κατὰ πάρεργον Ἡσύχιος, « Ἐνδίσματα, ἐναλίσματα « μεταγράφουσιν, « Ἐνδιάσματα, ἐναυλίσματα ».

ΣΕΛΙΔ. 222, στ. 13, Σωρνάτιος. ] ΔΓ, Σωννάτιος. — στ. 23, Λαμπρὸς παρημείβετο κ. τ. λ.] Ἐπιθι τὰ ἤδη σημειωθέντα (Πλουτάρχ. Μέρ. Β, σελ. 461) περὶ τοῦ Λαμπρός.—στ. 30, Δορύλαος.] Ἐξ ΗΔ (συμφώνου τῷ Ἰταλῷ μεταφραστῇ) ΑΤ, Δορύλαος. Ἔστι γὰρ ὁ αὐτὸς Δορύλαος, οὗ καὶ ἐν τῷ Σύλλα βίῳ (§. 20. σελ. 152) ἐμνημόνευσε.

ΣΕΛΙΔ. 223, στ. 9, Ἀπελίποντο ] Ἐξ ΗΔ, ΑΤ, Ἀπελείποντο. Κατ' ἀόριστον δὲ ἐξέφρασαν καὶ ὁ Λατῖνος, καὶ ὁ Γάλλος, καὶ ὁ Ἰταλὸς μεταφραστής.

ΣΕΛΙΔ. 224, στ. 1, Φαρνακίαν.) Ἐξ ΕΔ, ΑΤ, Φερνακίαν.—στ. 2, Βακχίδην.] Οὕτως ἐν ἅπασι, καθὰ καὶ ἐν τῇ Ἰταλικῇ μεταφράσει. Ὁ δὲ Α ἐνθάδε τε καὶ ἐν τοῖς ἑξῆς, Βακχιλίδην ὀνομάζει τὸν

εὐνοῦχον. — στ. 14, Σύνεστι.] Ἐκ ΔΓ, ΑΤ, Συνέστη. — στ. 28. Οὔτ' ἀγεννές.] ΠΡΔ, ΑΤ, Οὐδ' ἀγεννές.

ΣΕΛΙΔ. 225, στ. 3, Ἐλάσας δ' ἄχρι Ταλαύρων, ἜΝΘΕΝ ἩΜΈΡᾼ τετάρτῃ ΠΡΌΤΕΡΟΝ ἘΦΘΆΚΕΙ Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται.] Οὕτω διεσκεύακα καὶ τὴν γραφὴν καὶ τὴν στίξιν, ΑΤ, Ἐλάσας δ' ἄχρι Ταλαύρων ἨΛΘΕΝ. ἩΜΈΡᾼ ΔῈ τετάρτῃ ΠΡΩ͂ΤΟΝ ἨΦΘΆΚΕΙ [ΔΓ. ἘΦΘΆΚΕΙ] Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται, τὸν μὲν ΔΕ σύνδεσμον, λείποντα καὶ ἔν τινι τῶν ἀντιγράφων, διαγράψας, τὰ λοιπὰ δὲ οὑτωσὶ γράφειν δεῖν, ὥσπερ ἔγραψα, ὑποτοπάσας. Οἱ δὲ ΠΡ οὕτω διωρθώκασι τὸ χωρίον, Ἐλάσας δ' ἄχρι Ταλαύρων ἦλθεν. Ἡμέρᾳ δὲ τετάρτῃ, Ἡ ΠΡΩ͂ΤΟΝ ἐφθάκει Μιθριδάτης εἰς Ἀρμενίαν πρὸς Τιγράνην πεφευγὼς, ἀποτρέπεται. — στ. 14, Κατασχόντος οὐ πολὺ μέρος κ. τ. λ.] Περιαιρετέα μοι ἔδοξεν εἶναι ἡ ἄρνησις. — στ. 17, Ἀλλὰ ταχέως ἡ φλόξ.] Οὕτως ἔδοξέ μοι διορθῶσαι τὸ πολλὰ τοῖς πρὸ ἐμοῦ παρασχὸν πράγματα, Ἀλλὰ καὶ ὡς ἡ φλὸξ, ἐκ τοῦ Α ὡρμημένῳ. Οὕτω γὰρ ἐκεῖνος, εἴτ' ἀκριβεστέροις ἐντυχὼν ἀντιγράφοις, εἴτ' αὐτὸς διορθώσας, ἐξέφρασε τὸ χωρίον, incontinent la flamme fut si grande. — στ. 21, Ἐξαιρουμένων.] Ὅ,τε Α, ἐκφράζων, Ains vouloient tous le pillage, καὶ ὁ Ἰταλὸς μεταφραστής, chiedendo andavano di saccheggiar la, ἐοίκασιν ἑτέρᾳ γραφῇ ἐντυχεῖν ταύτῃ, Ἐξαιτουμένων, ὥσπερ εἰκάσαντες ἔγραψαν οἱ ΠΡ. — στ. 24, Πανταχοῖ.] ΠΡΔ, ΑΤ, Πανταχοῦ. — στ. 30, Μομμίου.] Τοῦ καθελόντος καὶ πορθήσαντος Κόρινθον.

ΣΕΛΙΔ. 226, στ. 9.] Ἀριστίωνος.] ΠΡΔ (συνᾴδοντος καὶ τοῦ Α), ΑΤ, Ἀρίστωνος. — στ. 11, Κακά.] Προσέθηκα τὴν λέξιν ἐκ τῆς Λατινικῆς μεταφράσεως, οὐκ ἔχουσαν ἐλλειπτικῶς ὑπονοεῖσθαι ἐνταῦθα, ὡς ἔδοξε τοῖς ΠΡ. Σημεῖον δὲ, ὁ γὰρ Ἀμιότος καὶ ὁ Ἰταλὸς μεταφραστὴς κακῶς ἐξεδέξαντο τῶν λεγομένων τὸν νοῦν, ὁ μὲν, en delaissant leurs propres biens, ils allaient possèder et jouir ceulx d' autruy, ὁ δὲ, a que' che abbandonato aveano il proprio, venne fatto di poter godere l' altrui. — στ. 18, Ἀφαίρεσις γὰρ ἦν . . . δόσις.] Ὁ Α ἐξέφρασεν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης ἡ δοκοῦσα τῆς ἐλευθερίας δόσις, car faire semblant de luy rendre sa liberté en l' affranchissant, n' estoit autre chose que luy oster celle qu' il avoit dès sa naissance.

naissance. Παραπλησίως δ' ἡρμήνευσε καὶ ὁ Ἰταλὸς μεταφραστής. — στ. 22, Οπως τῶν.] Οὐκ ἀπιθάνως, Ὅπως ἀπὸ τῶν, γραπτέον εἶναι ὑπειλήφασιν οἱ ΠΡ.—στ. 24, Μετάσχῃ.] Ἡ ἐπαρχία δηλαδὴ ἀπὸ τοῦ ἑπομένου. Μακρῷ γε μὴν ἄμεινον ἂν εἶπε, Μετάσχωσι, πρὸς τὸ Πόλεις.—στ. 27, Θυγατέρας δέ.] Ἄμεινον γράφειν, Θυγατέρας τε, κατὰ τὴν ΠΡΔ. — στ. 29, Προσθέτοις.] Σοφῶς ἡρμήνευσε τὴν λέξιν ὁ Λατῖνος μεταφραστὴς, καθ' ὃν Πρόσθετος γίνεσθαι λέγεται ὁ διὰ τὸ μὴ ἔχειν διαλῦσαι τὸ χρέος ὀφειλέτης ἐν χώρᾳ δούλου προστίθεσθαι τῷ δανείσαντι ἀναγκαζόμενος.—στ. 30, Σχοινισμοί.] Εἶδος κολάσεως παρὰ τοῖς ἀρχαίοις ὁ Σχοινισμὸς, εἴτε διὰ τὸ σχοινίοις κατατείνεσθαι τοῦ κολαζομένου τὸ σῶμα, ὥς τινες ὑπέλαβον, εἴτε διὰ τὸ δεσμεύεσθαι, κατὰ τὴν παρὰ τοῖς Γάλλοις estrapade, εἶδος οὖσαν καὶ ταύτην βασάνου.— Κιγκλίδες.] Ἐπὶ τῆς Εἱρκτῆς, ἐξεδέξαντο τὴν λέξιν οἱ ἑρμηνευταὶ, οὐκ ἔχω λέγειν εἰ ἀκριβῶς.

ΣΕΛΙΔ. 227, στ. 1. Ἵπποι.] Εἶδος καὶ τοῦτο κολάσεως, ἀνάλογον τῷ παρὰ τοῖς Γάλλοις καλουμένῳ, Chevalet, ὡς ᾠήθησαν οἱ μεταφράσαντες.—στ. 5, Ἑκατοστήν.] Ἑκάστου μηνὸς δηλαδὴ, ὥστε γίνεσθαι τὸν τόκον δώδεκα ἐπὶ κεφαλαίῳ τοῖς ἑκατὸν κατ' ἔτος. Οὕτως ἡρμήνευσεν Ἀμιότος.—στ. 13, Καὶ διπλοῦν ἀπεδόθη κ. τ. λ.] Τετρακισμύρια δηλονότι, ἀντὶ δισμυρίων, τάλαντα ἀπεδίδοτο τοῖς δανείσασιν ὑπὸ τῶν χρεωφειλετῶν, πρὸ τοῦ τὸν Λούκουλλον ἀπαλλάξαι τούτους τῆς συμφορᾶς.—Ὑπ' ἐκείνων.] Ὑπὸ τῶν δανεισάντων. —στ. 15, Πεπονθότες.] Ἐκ ΔΓ, ΑΤ, Παθόντες. —στ. 29, Ἔπειτα δέ.] Ἐξ ΗΔ, ΑΤ, Ἐπεὶ δέ.

ΣΕΛΙΔ. 228, στ. 5, Ἀνασχετή.] ΔΓ, Ἀνασχετός. — στ. 9. Οὐ μόνον ὄντων περὶ αὐτόν.] Ἐξ ΗΔ, ΑΤ, ἀδιανοήτου, Οὐ μόνον τῶν περὶ αὐτόν. Ὁ νοῦς, Πάντων τῶν παρὰ τοῖς πολλοῖς ζηλουμένων καὶ θαυμαζομένων, οὐ μόνον ὑπαρχόντων αὐτῷ, ἀλλὰ καὶ δι' αὐτὸν μόνον γεγονέναι νομιζομένων.—στ. 14, Ἐξ ἠθῶν.] Ἴδε Πρόδρ. Ἑλλην. Βιβλιοθ. σελ. 284.—στ. 17, Οὓς ἀεί.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Οὓς ἄν. —στ. 20, Ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσίν.] ΔΓ, Ἐπηλλαγμένων κ. τ. λ. Τοιοῦτον εἶναι τῶν λεγομένων τὸν νοῦν ὑπείληφα. Οὕτως εἶχον οἱ τέσσαρές δι' ἀλλήλων τὰς χεῖρας ἐπηλλαγμένας, ὡς σχῆμα χοροῦ παριστάναι. — στ. 26, Καταγγελῶν.] ΠΡΔ, ΑΤ, Καταγγέλλων.—στ. 30, Ἀκούοντα.] ΠΡΔ, ΑΤ, Ἀκούοντι.

ΣΕΛΙΔ. 229, στ. 4, Βασιλέα βασιλέων.] Ἀναγκαία μοι ἔδοξεν ἡ προσθήκη τῆς πρώτης λέξεως, ἣν ἐξέφρασαν καὶ οἱ μεταφρασταί.

— στ. 14, Τότε δέ.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ Τότε δή. — στ. 29, Τῷ πρὸς αὐτόν.] Οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον.

ΣΕΛΙΔ. 230, στ. 7, Σοφιστεύειν.] Διδάσκειν τὴν ῥητορικὴν τέχνην. —στ. 11, Ἀποκαρτερῆσαι.] Ἀποχῇ τροφῆς ἑαυτὸν ἐξαγαγεῖν τοῦ βίου.

ΣΕΛΙΔ. 231, στ. 3, Ἔφθασαν.] ΔΓ, Ἔφθησαν. — στ. 29, Ποντικῶν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πολιτικῶν.

ΣΕΛΙΔ. 232, στ. 14, Συνάγοντι.] ΔΓ, Καὶ συνάγοντι.

ΣΕΛΙΔ. 233, στ. 20, Οὐδ' οὗτος δὲ χρηστὸν ἠνέγκατο κ. τ. λ.] Ἐξ ΗΔ, ΑΤ, Οὐχ οὗτος δὲ χρηστὸν ἠνέγκατο. Ἄμεινον δ' ἂν ἐξέφρασεν εἰπὼν, Οὐδ' οὗτός γε χρηστὸν ἐνεγκάμενος.

ΣΕΛΙΔ. 234, στ. 9, Ἐνοχλήσοντα.] ΠΡΔ, ΑΓ, Ὀχλήσοντα.— στ. 14, Διεκβάλλοντι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Διαβάλλοντι. — στ. 19, Ἦσαν δ' ἐν αὐτῇ πολλοὶ μὲν Ἕλληνες κ. τ. λ.] Δώδεκα γὰρ ἑλληνίδας πόλεις ἐρημώσας, καὶ συναγαγὼν τοὺς ἀνθρώπους, συνῴκισεν εἰς μίαν, τὴν καλουμένην Τιγρανόκερτα, ὁ Τιγράνης, ὥς φησι Στράβων (Γεωγραφ. σελ. 532).—στ. 21, Ἀδιαβηνοί] ΠΡΔ (συναδόντων τοῦ τε Α καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ), ΑΤ, Ἀραβηνοί.

ΣΕΛΙΔ. 235, στ. 19, Ἔθνη.] Οὐκ ἀλόγως οἱ ΠΡ ὑπετόπασαν γραπτέον εἶναι μετὰ τῆς προθέσεως, Εἰς ἔθνη, διὰ τὸ ἑπόμενον, Ἀποβλέποντος.

ΣΕΛΙΔ. 236, στ. 4, Περὶ τῆς μάχης.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Πρὸ τῆς μάχης.—στ. 15, Ἐβάλλοντο.] Ἐξ ΗΔ, ΑΤ, Διεβάλλοντο. Βάλλειν γὰρ καὶ Βάλλεσθαι κλῆρον, λέγειν Ἕλληνες φιλοῦσιν, οὐ Διαβάλλεσθαι (Ἴδε Πλουτάρχου Μέρ. Β. σελ. 398).

ΣΕΛΙΔ. 237, στ. 4, Ὁ πρῶτος.] Τοῦ ἑλληνισμοῦ ὑπαγορεύοντος προσέθηκα τὸ ἄρθρον, ὅπερ ἐξέφρασαν καὶ ὁ Α, καὶ ὁ Ἰταλὸς μεταφραστής.—στ. 10, Ἐφ' οὗ ... ἐν προτάγματι.] Ἐξ ΗΔ, συναδούσης τοῖς μεταφρασταῖς, ΑΤ, Προστάγμασι, ὅπερ ἕτεροι εἰς τὸ Προτάγμασι τρέπειν παρῄνουν. Ἴσως δὲ καὶ ἀντὶ τοῦ, Ἐφ' οὗ (ὃ οἱ μεταφρασταὶ πρὸς τὸ, Δεξιὸν κέρας, ἀναφέρειν ἐοίκασι) γραπτέον, Ὑφ' ᾧ, πρὸς τὸ, Μήδῳ, ἵν' ᾖ ὁ νοῦς, Ὑφ' ᾧ Μήδῳ καὶ τὸ πλεῖστον τῶν καταφράκτων ἦν προτεταγμένον τῶν λοιπῶν· —στ. 14, Καιπίωνος.] ΠΡΔ συνᾴδουσα τῇ Λατινικῇ καὶ τῇ Ἰταλικῇ μεταφράσει, καὶ ὅλως τῇ ἱστορίᾳ, ΑΤ, Σκιπίωνος. —στ. 17, Ἦν δὲ ἡ πρὸ μιᾶς.] Ἐξ ΕΔ (συναδούσης τοῖς μεταφρασταῖς), ΑΤ, Ἦν δὲ καὶ πρὸ μιᾶς. — στ. 22, Δέον.] ΠΡΔ, ΑΤ, Δέοι. — Συναιρεῖν.] Οὕτω γράφειν παρῄνεσαν, μὴ γράψαντες αὐτοὶ, οἱ ΠΡ,

ΑΤ, Συναιρήσειν. Δύναται δὲ τὸ Συναιρεῖν ἐνθάδε, Συςέλλειν, συντέμνειν, καὶ ἐκ μακρᾶς βραχεῖαν ποιεῖν, φθάσαντας πλησίον γενέσθαι τῶν πολεμίων. —στ. 24, Κατατεταγμένην. ] Ἐξ ΗΔ (ἣν ὑπαγορεύει καὶ ὁ Α, εἰπὼν, ranger en bataille), ΑΤ, Καταπεφραγμένην· — στ. 29, Μία γὰρ ἀλκὴ τῶν καταφράκτων κ. τ. λ. ] Παραβλητέα ταῦτα τοῖς Ἡλιοδώρῳ ῥηθεῖσι, καὶ τοῖς εἰς ἐκεῖνον σημειωθεῖσι περὶ τῶν καταφράκτων (Ἡλιοδώρ. Μέρ. Α, σελ. 369 καὶ Μέρ. Β' σελ. 298 καὶ 301) — στ. 30, Οὔθ' ἑαυτοῖς. ] ΠΡΔ, ΑΤ, Οὐδ' ἑαυτοῖς.

ΣΕΛΙΔ. 238, στ. 25, Τὸ Τιγράνου. ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Τοῦ Τιγράνου. — στ. 28, Ἀντίοχος. ] Ἀντίοχος ὁ Ἀσκαλωνίτης ἔοικεν οὗτος εἶναι, ᾧ φίλῳ καὶ συμβιωτῇ Λούκουλλος ἐχρῆτο, ὡς εἰρήσεται ἐν τοῖς ἑξῆς ( §. μβ σελ. 254 ). Ἴδε καὶ τὸν Αἰλιανὸν ( Ποικ. ἱςορ. ΙΒ. κέ, σελ. 149 ).—στ. 29, Στράβων.] Τὸν γεωγράφον ἔοικε λέγειν, ἔγραψε γὰρ παρὰ τὰ Γεωγραφικὰ καὶ Ἱςορίαν, ἧς ἡμῖν ὁ χρόνος ἐφθόνησεν. Ἦν δὲ τῆς Στωϊκῆς αἱρέσεως φιλόσοφος ὁ Στράβων.

ΣΕΛΙΔ. 239, στ. 2 Λιούϊος.] Ἠφάνισται τοῦτο Λιουΐου τῆς ἱςορίας τὸ μέρος, ὃ περιεῖχε τὸν πρὸς Τιγράνην Λουκούλλου πόλεμον. — στ. 9, Κατηνάλωσε.] ΔΓ, Κατανάλωσε, ἀττικωτέρως, εἴγε ἀττικισμῶν ἐφρόντιζε Πλούταρχος. — στ. 30, Τῶν περὶ Διόνυσον τεχνιτῶν. ] Οὕτω καλεῖν εἰώθασιν Ἕλληνες τοὺς τὰς τραγῳδίας καὶ κωμῳδίας ἀγωνιζομένους καὶ τοὺς ὁπωσοῦν συνεργοῦντας τούτοις σκηνικούς.

ΣΕΛΙΔ. 240, στ. 1, Ἀποδεικνύναι. ] Ἴσον ἡ λέξις δύναται τῷ τοῦ παρακμάζοντος Ἑλληνισμοῦ Ἐγκαινίζειν, ἢ Ἐγκαινιάζειν.

ΣΕΛΙΔ. 241, στ. 2, Ταμιείου ... διώκει.] ΠΡΔ, ΑΤ, Ταμείου ... διώκει. — στ. 14, Ἡγεμονιῶν. ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἡγεμόνων.—στ. 17, Ἀναβησόμενος.] Ἐκ ΔΓ, ΑΤ, Ἀναβησόμενον. —στ. 27, Αὐτοῖς. ] Ἐξ ΕΔ, ΑΤ, Αὐτοῖς.

ΣΕΛΙΔ. 242, στ. 6, Ἐξαιρῶν. ] ΠΡΔ, ΑΤ, Ἐξαίρων.—στ. 10, Αὐτῷ. ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Αὐτοῦ. —στ. 15, Χρησίμων. ] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Χρήσιμον. — στ. 26, Τὴν ἐπ' Ἀρταξάτων. ] Ἐκ ΔΓ. οἱ ΠΡ, ΑΤ, Τοῖς ἐπ' Ἀρταξάτων.

ΣΕΛΙΔ. 243, στ. 5, Ἑκατέρωσε τῆς φυγῆς σχισθέντες. ] Οὐκ ἔῤῥωται τὸ χωρίον· καὶ μήποτε ἐγέγραπτο κατὰ δοτικὴν, Ἑκατέρωσε τῇ φυγῇ σχισθέντες, ἵν' ᾖ, 'Εν τῷ φεύγειν διαςάντες ἀπ' ἀλλήλων, οἱ μὲν εἰς τὰ δεξιά, οἱ δὲ εἰς τὰ ἀριςερά, χώραν ἔδωκαν τοῖς

ἱππεῦσι Λουκούλλου μέσους αὐτῶν γενέσθαι διώκοντας.—στ. 9, Πρῶτος.] Ἴσ. γρ. Πρώτοις, ὡς εἴκασέ τις τῶν ΠΡ.—Ἀτροπατηνοῖς.] Οὕτως ἔγραψα, πεισθεὶς Ἀμιότῳ, ὃς ὑπεσημειώσατο τῇ μεταφράσει (οὐκ εἰωθὼς ἄλλως ὑποσημειώμασιν ἐξηγεῖσθαι τὰ ἀπορούμενα) τινὰς ἀντὶ τοῦ Σατραπηνοῖς ἀναγινώσκειν Ἀτροπατηνοῖς. Προῄρημαι τοίνυν τὴν εἴτε γραφὴν εἴτε διόρθωσιν ταύτην τοῦ προδήλως ἡμαρτημένου Σατραπηνοῖς· εἰ γὰρ ἦν παρὰ τὸ, Σατράπης, ὤφειλεν εἶναι Σατραπικοῖς, καὶ οὐ κατ' ἐθνικὸν χαρακτῆρα, Σατραπηνοῖς. Ἀτροπατηνοὶ δὲ λέγονται οἱ τῆς Μηδίας τὴν καλουμένην Ἀτροπατηνὴν ἢ Ἀτροπατίαν οἰκοῦντες χώραν. —στ. 12, Οὐδέ τιν.] ΠΡΔ, ΑΤ, Οὔτε την.—στ. 19, Προάγειν.] ΠΡΔ, ΑΤ, Προσάγειν.—στ. 21, Ταῖς αἰθρίαις.] ΠΡΔ, ΑΤ, Τοῖς αἰθρίοις.—στ. 30, Προσπέμποντες.] ΠΡΔ, ΑΤ, Προπέμποντες.

ΣΕΛΙΔ. 244, στ. 10, Νίσιβιν.] Οὕτως οἱ ΠΡ, καὶ οἱ μεταφρασταὶ ἀντὶ τοῦ ἡμαρτημένου Σίβιν. Καλεῖται δὲ τανῦν ὑπὸ τῶν ἐγχωρίων, Νεσιβὶν ἢ Νίσιβις.—στ. 22, Τοῦδε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοῦτο.—στ. 30, Ἀρχῆς ἀτιμίαν.] ΠΡΔ, ΑΤ, Ἀρχὴν ἀτιμίας.

ΣΕΛΙΔ. 245, στ. 21, Κοΐντιον.] ΠΡΔ (ὥσπερ ἐξέφρασαν ὅ, τε Α, καὶ ὁ Ἰταλὸς μεταφραστὴς), ΑΤ, Κόϊντον. —στ. 30, Ἀπολειπόμενος.] Ἐξ ΗΔ, ΑΤ, Ἀπολιπόμενος.

ΣΕΛΙΔ. 246, στ. 3, Διαδιδούς.] Ἐξ ΗΔ, ΑΤ, Διαδούς.—στ. 12, Δῆμος ὄντες.] Τουτέστιν ἀπηλλαγμένοι τῆς στρατείας, καὶ τοῖς ἐν ἀφθονίᾳ ζῶσι δημόταις τῆς Ῥώμης συγκατειλεγμένοι.—στ. 16, Εἰ δεῖ.] ΠΡΔ, ΑΤ, Ἔδει.—στ. 18, Φυλάσσομεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Φυλάσσωμεν.—στ. 21, Αὖθις.] Ἐξ ΗΔ, ΑΤ, Εὐθύς.

ΣΕΛΙΔ. 247, στ. 25, Καὶ οἱ πρέσβεις.] Γράφειν τινὲς παρῄνεσαν, Καὶ οἱ δέκα πρέσβεις, ἐκ τῶν ἐχομένων (§ λϛ' σελ. 248) ὡρμημένοι. Ἐμοὶ δὲ μᾶλλον ἀρέσκει γράφειν, Καὶ πρέσβεις, δίχα τοῦ ἄρθρου, ὅπερ οὐκ ἐξέφρασαν, οὔθ' ὁ Α, οὔθ' ὁ Ἰταλὸς μεταφραστής. —στ. 27, Ὡς ἤδη.] Ἐξ ΕΔ, ΑΤ, Ὡς δὲ δή.

ΣΕΛΙΔ. 248, στ. 1, Προεκαλοῦντο. . . ἀπηρκότας. ] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσεκαλοῦντο. . . ἀπειρηκότας.—στ. 22, Δυοῖν.] ΔΓ. Δυεῖν.—Ἀμφοτέρων.] ΠΡΔ, ΑΤ, Ἀμφοτέρω.

ΣΕΛΙΔ. 249, στ. 1, Ὑπό.] Ἐξ ΗΔ, ΑΤ, Ἀπό.—στ. 12, Κατὰ Λούκουλλον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καὶ κατὰ Λούκουλλον.—στ. 28, Μεταβαλόμενος.] Ἐξ ΗΔ, ΑΤ, Μεταβαλλόμενος.

ΣΕΛΙΔ. 250, στ. 3, Ἐθριάμβευσε δ'.] Ἐξ ΗΔ ἡ προσθήκη τῶν λέ-

ξεων.—στ. 16, Ἐξ δὲ καὶ πεντήκοντα.] Ἡμίονοι δηλονότι. Ὁ δὲ Ἰταλὸς μεταφραστὴς, οὐκ οἶδ' ὅθεν ὡρμημένος, ἐξέφρασεν, Ὄνοι δὲ πεντήκοντα.—στ. 17, Νομίσματος ἀργυρίου.] Ἐξ ΗΔ ἡ περιαίρεσις τοῦ μεταξὺ συνδέσμου, Καὶ, ὃν οὐδ' οἱ μεταφρασταὶ ἐξέφρασαν. Τρεπτέον δέ μοι νῦν εἶναι δοκεῖ καὶ τὸ, Ἀργυρίου, εἰς τὸ, Ἀργυροῦ.—στ. 20, Ταμιείου.] Ἐξ ΗΔ, ΑΤ, Ταμείου.—στ. 21, Ἐννακοσίας καὶ πεντήκοντα.] Ἀντιφάσκειν ἔοικε τοῦτο πρὸς τὰς ἀνωτέρω (§ κθ', σελ. 239) ὀκτακοσίας δραχμάς. Ἀλλ' ἔστιν εἰπεῖν, ὡς ἐκεῖ μὲν περὶ μέρους τοῦ πολέμου, τοῦ κατὰ τὸν Τιγράνην, ὁ λόγος ἦν, ἐνταῦθα δὲ περὶ τοῦ σύμπαντος πολέμου ὃν ἐπολέμησε Λούκουλλος.—στ. 23, Οὐίκους.] Ῥωμαϊστὶ Vicos, παρὰ τὴν ἑνικὴν εὐθεῖαν Vicus. Τοῦτο δ' ὅτι τὸ τῶν Ἑλλήνων Οἶκος ἐστὶ προσλαβὸν τὸ Αἰολικὸν δίγαμμα, μαρτυρεῖ καὶ τὸ Vinum παρὰ τὸ Οἶνος.—στ. 27, Τῶν ἀδελφῶν.] Ἴσ. γρ. Τοῦ ἀδελφοῦ, ἑνικῶς, διὰ τὰ ἀνωτέρω (§ λδ', σελ. 245) εἰρημένα.

ΣΕΛΙΔ. 251, στ. 9, Ἀναθεῖναι.] Τοῦτο διαφόρως ἑρμηνεῦσαι οἱ πρὸ ἡμῶν ἐπεβάλοντο. Ἡμῖν δὲ γραφικῶς ἡμαρτῆσθαι δοκεῖ ἀντὶ τοῦ, Ἀνεῖναι, τουτέστιν, Ἑαυτὸν ἀπὸ τοσούτων μόχθων πολεμικῶν ἀναπαῦσαι, ἀπὸ μεταφορᾶς τῶν ἀνιεμένων τόξων.—στ. 14, Εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν.] Παλαιστρικὴ λέξις ἡ Περίοδος. Τὴν περίοδον νικᾶν ἐλέγοντο τῶν ἀθλητῶν οἱ ἐν τοῖς τέσσαρσιν ἑλληνικοῖς ἀγῶσιν, Ὀλυμπίοις φημὶ, Ἰσθμίοις, Πυθίοις καὶ Νεμέοις ἑξῆς στεφανωθέντες. Ἡ δὲ Κατάλυσις ἴσον δύναται τῷ Παῦσις.—στ. 18, Ὥσπερ οὐ τοῦ τρυφᾶν κ.τ.λ.] Περιέγραψαν τὴν ἄρνησιν οἱ ΠΡ, καλῶς, οἶμαι, ποιοῦντες. Ὁ νοῦς, Κράσσος καὶ Πομπήϊος, οὐδ' ἐπὶ γήρως ἀφειμένοι τῶν πολιτικῶν καὶ πολεμικῶν ἀγώνων, ἐχλεύαζον Λούκουλλον ἡδοναῖς τὸ γῆρας διάγοντα, ὥσπερ ἂν εἰ μᾶλλον ἦν ἀπρεπὲς τοῖς γέρουσι τὸ τρυφᾶν ἢ τὸ πολιτεύεσθαι καὶ στρατηγεῖν. Εἰ δὲ πάντως σώζειν βούλει τὴν ἄρνησιν, περιαιρετέον τηνικαῦτα τὸν ἑπόμενον διαζευκτικὸν, καὶ προενεκτέον οὑτωσὶ τὴν περίοδον, Ὥσπερ οὐ τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ' ἡλικίαν ὄντος τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν, ἀμφιβόλως μὲν διὰ τὴν ἐνδεχομένην σύνταξιν ἑκατέρας τῶν γενικῶν πρὸς τὸ Μᾶλλον, οὐ μὴν ἀνοήτως· ἔστι γὰρ, Ὥσπερ ἂν εἰ μὴ μᾶλλον ἦν ἀπρεπὲς τοῖς γέρουσι τὸ πολιτεύεσθαι καὶ στρατηγεῖν τοῦ τρυφᾶν. Τὸ μὲν γὰρ τρυφᾶν, καίπερ οὐδ' αὐτὸ πρέπον τοῖς γέρουσιν, ἀπολογίαν ἔχει τὸ γῆρας, ἐπ' ἄνεσιν καὶ ῥᾳστώνην

φύσει καταφερόμενον· τὸ πολιτεύεσθαι δὲ καὶ στρατηγεῖν, μετὰ πολλῶν πόνων γινόμενον, οὐκ ἂν ἕλοιτο γέρων μὴ δόξης ἄπληστος ὤν.— στ. 24, Τίθεμαι καὶ οἰκοδομάς.] Περιαιρετέος ὁ σύνδεσμος, ὃν οὐδ' ὁ Α ἐξέφρασε.

ΣΕΛΙΔ. 252, στ. 2, Λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι.] Οὕτως ὑπορύττοντος τοὺς λόφους, ὥστε μὴ δοκεῖν ἐπὶ γῆς βαίνειν, ἀλλὰ κρεμαστοὺς εἶναι.—στ. 6, Ξέρξην αὐτὸν ἐκ Τηβέννου.] Ξέρξην τηβεννοφόρον, ὥσπερ εἰ καὶ ἂν ἔλεγε, Οὐδὲν τοῦ τρυφῇ διεῤῥυηκότος Περσῶν βασιλέως διαφέροντα πλὴν ὅτι Τήβεννον ἀντὶ τῆς Ἀσιανῆς ϛολῆς ἐφόρει. Αἰνίττεται δὲ καὶ τὴν τοῦ Ἄθω ὑπὸ Ξέρξου διορυγὴν, ἣν ἐμιμεῖτό πως Λούκουλλος τοῖς τῶν λόφων ὀρύγμασιν, ὡς παρέφρασεν Ἀμιότος. — στ. 7, Τοῦσκλον.] Κατὰ συγκοπὴν, ἀντὶ τοῦ, Τούσκουλον, Ῥωμαϊστὶ Tusculum. Ἦν δὲ Κώμη πλησίον Ῥώμης, ἡ νῦν Frascati καλουμένη.—Περίοπτοι.] Ἐξ ΗΔ, ΑΤ, Περιόπτων (ΔΓ, Περιοπτῶν). —στ. 18, Οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ κ.τ.λ.] Τοῦθ' οὕτως ἐξήνεγκεν Ὁράτιος Φλάκκος (Ἐπιστολ. Βιβλ. Α, ἐπιϛολ. ϛ', στίχ. 45,) αὐτῶν τούτων τῶν, ὡς ἐκεῖνός φησι, πεντακισχιλίων τοῦ Λουκούλλου μνημονεύσας χλαμύδων,

Exilis domus est, ubi non et multa supersunt.

ΣΕΛΙΔ. 253, στ. 16, Ἐπὶ τούτῳ.] Ἐξ ΕΔ. ΑΤ, Ἐπὶ τοῦτο. — στ. 27, Τήμερον.] ΔΓ, Σήμερον. —στ. 30, Κελεύσῃ γενέσθαι τῶν.] ΔΓ, Κελεύσῃ τῶν.

ΣΕΛΙΔ. 254, στ. 1, Γινομένων.] Ἐκ ΔΓ, ΑΤ, Βουλομένων. — στ. 2, Σήμερον.] ΔΓ, Τήμερον. Καὶ σημειοῦ πρῶτον μὲν τὸ ἄστατον τῆς γραφῆς ὧδέ τε καὶ ἐν τῇ προτέρᾳ σελίδι, εἶθ', ὅτι ἀναλογώτερον τὸ Τήμερον τοῦ Σήμερον· ἐκεῖνο γὰρ προδήλως παρὰ τὸ, Τῇ ἡμέρᾳ (τουτέστι Ταύτῃ τῇ ἡμέρᾳ) συνῄρηται, καὶ τῶν Ἀττικῶν ἐστι, τὸ δὲ Σήμερον τροπὴν ἔπαθε δωρικὴν τοῦ τ εἰς τὸ σ, ὥσπερ καὶ τὸ Τῆτες (παρὰ τὸ, Τὸ ἔτος, ὅπερ ἡμεῖς νῦν Ἐφέτος, παρὰ τὸ Ἐπ' ἔτος, λέγομεν) ὁμοίᾳ τροπῇ εἰς τὸ Σῆτες μετέπεσε. — στ. 5, Δειπνητηρίῳ.] ΠΡΔ, ΑΤ, Δειπνωτηρίῳ. — στ. 12, Εἰς ταῦτα.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἐνταῦθα. — στ. 22, Ὅτου.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὅπου. — στ. 30, Ἀντέταττε.] Ἐξ ΕΔ, ΑΤ, Ἀντετάττετο.

ΣΕΛΙΔ. 255, στ. 1, Ἐποίησεν.] Ὁ Κικέρων. Ἔστι δὲ τῶν σωζομένων Κικέρωνος νῦν Ἀκαδημιακῶν ζητήσεων τὸ τέταρτον βι-

βλίον, ἐπιγραφόμενον Λούκουλλος. — στ. 3, Λούκουλλος δ'.] ΠΡΔ, ΑΤ, Λούκουλλος δή. — 21, Βρέττιον.] Ἐθνικὸν ἂν εἴη τοὔνομα τοῦτο, ἐλλειπτικῶς τοῦ Ἄνδρα, ἀπὸ Βρεττίας, Ἰταλικῆς χώρας (Ἴδ. Πολυαίν. Στρατηγήμ. Η, ιδ', 3, σελ. 258 ἡμετέρ. ἐκδ.), εἰ μὴ ἡμάρτηται ἡ γραφή. Ἄμεινον μέντοι γράφειν, καθὰ καὶ τοῖς ΠΡ ἐκ τῆς ἱστορίας δεδήλωται, Οὐέττιον ἢ Βέττιον, κυριωνυμικῶς. Τοῦτο γὰρ ἐκαλεῖτο ὁ λεγόμενος ἐπιβουλεῦσαι Πομπηΐῳ. — στ. 29 Ἔχοντος· ἐδόκει γὰρ παρ' αὐτῶν κ.τ.λ.] Ἐξ ΗΔ ἥ τε στίξις, καὶ ἡ τοῦ συνδέσμου προσθήκη, ἀντὶ τοῦ, Ἔχοντος, ἐδόκει παρ' αὐτῶν κ.τ.λ. — Παρ' αὐτῶν.] ΔΓ ἀμείνων, Ὑπ' αὐτῶν.

ΣΕΛΙΔ. 256, στ. 4, Αὐτῷ.] Ἐκ ΔΓ, ΑΤ, Αὐτοῦ — στ. 6, Παραλλάξαι.] Ἐπὶ τοῦ, Παρακόψαι, ἢ Παραφρονῆσαι, ὅπερ ἡμεῖς νῦν, Παραλογιάζω, φαμέν. — στ. 11, Καθάπερ ἂν ἐν...τελευτήσαντος.] ΠΡΔ, ΑΤ, Καθάπερ ἐν. . .τελευτήσαντος. Ὁ νοῦς, Ὥσπερ ἂν εἰ ἐτελεύτησε. — Ἐν ἀκμῇ.] ΔΓ, Ἐν ἀρχῇ.

ΣΕΛΙΔ. 257, στ. 6, Ἀλλ' ἀκμὴν εὖ ἐχόντων.] ΠΡΔ, ἐπιῤῥηματικῶς ἐκδεξαμένων τὸ, Ἀκμὴν (ὅπερ ἐστὶ τὸ ἐν τῇ συνηθείᾳ, Ἀκόμη), ΑΤ, Ἀλλ' ἀκμὴν ἐχόντων, ἐν ᾧ τὸ, Ἀκμὴν, αἰτιατική ἐστι συνημμένη πρὸς τὸ, Ἐχόντων. — στ. 7, Μέντοι.] Ἐκ ΔΓ, ΑΤ, Μὲν δή. — Οὐκ ἀπειρηκώς.] Ὥσπερ ὁ Λούκουλλος. — στ. 9, Ὥσπερ Πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν Ὀρφέα.] Οὐ μνημονικὸν Πλουτάρχου ἁμάρτημα, ὥς τινες ὑπέλαβον, Ὀρφέα ὀνομάσαντος, ὅπου γε Πλάτων (Β. Πολιτ. σελ. 863) Μουσαῖόν φησι καὶ τὸν υἱὸν αὐτοῦ (ἦν δ' οὗτος Εὔμολπος) κάλλιστον ἡγήσασθαι μισθὸν ἀρετῆς μέθην αἰώνιον, ἀλλ', ὥς τις ἐσημειώσατο τῶν ΠΡ, αὐτοὺς τούτους τοὺς παρὰ τῷ Πλάτωνι ὠνόμασε, Τοὺς περὶ τὸν Ὀρφέα. Μαθητὴς γὰρ ἦν Ὀρφέως ὁ Μουσαῖος, τοῖς αὐτοῖς τε προσέκειτο δόγμασι τοῦ διδασκάλου, ὥστε καὶ πολλαχοῦ ἀμφοτέρους ἅμα ὀνομάζεσθαι, οἷον ἐν τοῖσδε τοῦ Κωμικοῦ (Βατρ. 1032),

Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε, φόνων τ' ἀπέχεσθαι·
Μουσαῖος δ' ἐξακέσεις τε νόσων, καὶ χρησμούς. . . . . .

Εἰσὶ δ' οἳ καὶ υἱὸν Ὀρφέως γεγενῆσθαι Μουσαῖον φασὶν, εἴτε τοῦτον λέγοντες, εἴθ' ἕτερον ὁμώνυμον (Ἴδ. Μεύρσιον, Ἀττικ. ἀναγνώσ. Βιβλ. Β, κεφ. 19). — στ. 14, Ἐφ' ἡδονὴν, ὡς τέλος.] ΔΓ, Ἐφ' ἡδονὴν, τέλος. — στ. 15, Πράξεις, ἤδη λοιπὸν Ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα.] Πράγματα παρέσχε τὸ χωρίον τοῖς πρὸ

ἡμῶν· οἱ μὲν γὰρ διαγράφειν δεῖν ᾠήθησαν τὰς τέσσαρας λέξεις, Τῶν πολέμων καὶ στρατηγιῶν, οἱ δὲ, μετὰ προθέσεως ἀναγινώσκειν, Ἀπὸ τῶν πολέμων καὶ στρατηγιῶν, καὶ μετατιθέναι εἰς τὸν πρὸ τοῦ, Πράξεις, τόπον, ἄλλοι δὲ γράφειν, Πράξεις, ἤδη λοιπὸν Ἀφροδίσια, οἱονεὶ μεθεόρτια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα.—στ. 19, Γεγονέναι.] Ἐκ ΔΓ, ΑΤ, Εἶναι.

ΣΕΛΙΔ. 258, στ. 3, Περικλύστους.] Ἐκ ΔΓ, ΑΤ, Περικλειίστους. Περικλύστους δ' ἐξέφρασαν ὅ, τε Γάλλος καὶ ὁ Ἰταλὸς μεταφραστὴς, τουτέστι Περικλυζομένους τοῖς θαλασσίοις ὕδασιν, ἢ δῆλον ἐκ τῶν ἀνωτέρω (§ λθ΄, σελ. 252).—στ. 13, Εἴρηται.] ΔΓ, Προείρηται. —στ. 14, Αἱ δ' ἐπὶ τάς.] Οὐκ ἀπιθάνως εἴκασαν οἱ ΠΡ γραπτέον εἶναι, Αἱ δὲ περὶ τάς.—στ. 22, Πάλῃ μιᾷ καὶ παγκρατίῳ.] Τὸ Μιᾷ, ἢ περιγραπτέον, ἢ, ὥς τισιν ἔδοξεν, εἰς τὸ, Ἅμα, τρεπτέον. Ἔστι δὲ Πάλη μὲν, δυοῖν ἀθλητῶν συμπλοκὴ, θατέρου τὸν ἕτερον καταβαλεῖν σπουδαζόντων· Παγκράτιον δὲ, ἀγώνισμα ἐκ πάλης καὶ πυγμῆς ἅμα συγκείμενον. —στ. 23, Παραδοξονίκας καλοῦσιν.] Οὕτως ἐκ διορθώσεως τοῦ Στεφάνου ἔγραψαν οἱ πρὸ ἡμῶν, ἀντὶ τοῦ, Παραδόξῳ νίκας καλοῦσιν, ὅπερ Ἀμιότος (ἐπιθετικῶς πρὸς τὸ Ἔθει συνάψας τὸ Παραδόξῳ), κατὰ τοιοῦτόν τινα νοῦν παρέφρασε, Κατά τι παράδοξον ἔθος ἀντὶ νικητῶν νίκας καλοῦσιν, sont nommez par un estrange coustume, non vainqueurs, mais victoires· ὁ δ' Ἰταλὸς μεταφραστὴς ἡρμήνευσεν ὥσπερ ἂν εἰ ἐγέγραπτο, Παραδόξους νικητὰς καλοῦσιν, chiamati sono vincitori ammirabili. Ἕτεροι δὲ ἀπιθάνως γράφειν παρῄνεσαν, Περιοδονίκας καλοῦσιν, οὕτω καλουμένων, τῶν τὴν περίοδον νικώντων, ἧς ἐμνημονεύσαμεν ἐν τοῖς πρόσθεν (σελ. 405). Μακρῷ τοίνυν ἀμείνων ἡ τοῦ φίλου Κλαυερίου διόρθωσις (ἐν ταῖς εἰς τὴν Ἀμιότ. μετάφρ. σημειώσ. Τομ. 5, σελ. 454), ἣν ἀπεδέξατο καὶ Σνεϊδέρος (Λεξικ. Ἑλληνογερμαν. λέξ. Παράδοξος), Παραδόξους καλοῦσιν. Καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἀποκεκλείσθω τέως τῶν Λεξικῶν τὸ Παραδοξονίκης· ᾧ γὰρ, ἑτέρῳ Πλουτάρχου μαρτυρίῳ, πιστοῦσθαι τὴν λέξιν ἠβουλήθη ὁ φίλος Σνεϊδέρος (λέξ. Παραδοξονίκης) διωρθωμένον κἀκεῖνό ἐστιν οὐ μᾶλλον τῆς προκειμένης ἐπιτυχεῖ διορθώσει. Ἔχει δὲ τὸ Πλουτάρχειον τοῦτο χωρίον (Πότερ. τῶν ζώων φρονιμώτερ. κ. τ. λ. § 26) οὕτως· « Οἱ δὲ ἁλιεῖς » συνορῶντες ὥσπερ ἈΔΟΞΉΜΑΣΙ παλαισμάτων τὰ πλεῖστα δια- » κρουόμενα τὰς ἀπ' ἀγκίστρων βολὰς, ἐπὶ βίας ἐτράπησαν κ.τ.λ. ».

Τοῦθ' οἱ μὲν, εἰς τὸ... Συνορῶντες παραδοξονικήμασι παλαισμάτων, κ. τ. λ., οἱ δὲ εἰς τὸ, Συνορῶντες ὡς παραδοξονίκας παλαισμάτων, τρέπειν παρῄνεσαν. Ἡμῖν δ' ἐφείσθω συντομωτέρα θεραπείᾳ διορθοῦν τὸν ἀντιγραφέα τοῦ Πλουτάρχου, τρέποντας μόνην τὴν ἕκτην λέξιν εἰς τὸ ἈΛΕΞΉΜΑΣΙ. Ἔστι δὲ, Ἀλέξημα παλαίσματος, ἡ παρὰ τοῦ παλαίοντος πρὸς τὸν ἀντίπαλον ἄμυνα ἢ ἀπόκρουσις, ἣν Ἀλέξησιν Ἡρόδοτος εἴρηκε.—στ. 27, Ἀρχούσῃ.] ΠΡΔ, ΑΤ, Ἀρχούσης.—στ. 29, Ἐποίησε, Πέρσας μὲν ἀναγκάσας κ. τ. λ.] Ἐξ ΕΔ, ΑΤ, Ἐποίησε· Πέρσας μὲν ἀναγκάσας. Οἱ ΠΡ παρῄνουν γράφειν, Ἐποίησε· Πέρσας μὲν συναναγκάσας.

ΣΕΛΙΔ. 259, στ. 2, Ἐνεργάσασθαι.] Ἐξ ΗΔ, ΑΤ, Ἐργάσασθαι. —στ. 14, Τῆς παρ' αὐτόν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τῆς παρ' αὐτῶν. —στ. 16, Ἀφ' ὧν.] ΠΡΔ, ΑΤ, Ἐφ' ὧν.—στ. 19, Ὥς φησιν ὁ Πλάτων.] Ἐν Γοργίᾳ (σελ. 516) τοῦτο λέγει Πλάτων, « Πάλιν δὲ λέγε μοι » περὶ Κίμωνος, οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι, οὓς ἐθεράπευεν, ἵνα » αὐτοῦ δέκα ἐτῶν μὴ ἀκούσειαν τῆς φωνῆς; »—στ. 20, Συνᾴδουσι.] Ἐξ ΗΔ, ΑΤ, Ἄδουσι, ἢ ὡς ἕτεροι, Ἄδουσι.—στ. 30, Καὶ τὴν ἐρυθρὰν θάλασσαν κ. τ. λ.] Λάμβανε τὸ Καὶ, οὐ συμπλεκτικῶς πρὸς τὸ Νότον, ἀλλ' ἐπιτατικῶς, ἵν' ᾖ, Τὰ δὲ πρὸς νότον, καὶ αὐτὴν τὴν ἐρυθρὰν θάλασσαν πρὸς τοῖς ἄλλοις οἰκειωσάμενος. Ἄλλως γὰρ δυσνόητον τὸ χωρίον.

ΣΕΛΙΔ. 260, στ. 26, Πάντῃ.] ΠΡΔ, ΑΤ, Παντί. Ἐστι δὲ τὸ, Πάντῃ μεταλαμβάνοντι, κατὰ πάντας τρόπους μεταφέροντι καὶ παραβάλλοντι τὰ ἑκατέρου κατορθώματα.

## ΝΙΚΙΑΣ.

ΣΕΛΙΔ. 261, στ. 1, Ἐπεί.] ΔΓ, Ἐπεὶ δέ.—στ. 5, Ἐνεργέστατος.] Οἱ ΠΡ, ἐξ ΕΔ, ἔγραψαν, Ἐναργέστατος· ἣ γραφὴ μαρτυρεῖν ἔοικε Πλούταρχος, ἐν οἷς ἀλλαχοῦ (Πότερ. Ἀθην. κατὰ πόλεμ. ἢ κατὰ σοφ. ἐνδοξότερ. § 3) περὶ Θουκυδίδου φησίν.—στ. 7, Τιμαίῳ.] Τῷ Ταυρομενίτῃ ἱστορικῷ· ὃν καὶ Ἐπιτίμαιον σκωπτικῶς ἐπωνομάσθαι φασὶ, διὰ τὸ φιλεπιτιμητικὸν αὐτοῦ.—στ. 8, Ὑπερβαλεῖσθαι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὑπερβαλέσθαι.—Φίλιστον.] Τὸν Συρακούσιον Ἱστορικὸν, κολακικὸν καὶ φιλοτύραννον ἄνδρα, ὃς ἔγραψεν, ὥς φησιν ὁ Ἁλικαρνασσεὺς Διονύσιος (Ἐπιστολ. πρὸς Γν. Πομπ. § 5) Περὶ Σικελίας, καὶ Περὶ Διονυσίου, τὸν Θουκυδίδην ἐν πολλοῖς μιμησάμενος.—στ. 12,

Παρὰ Λύδιον κ.τ.λ.] Ἐμνημόνευσε καὶ ἀλλαχοῦ (Πῶς ἄν τις διακρ. τὸν κόλακ. τοῦ φίλ. § 24) τοῦ Πινδαρείου τούτου ἔπους. Ἡ δὲ τάξις τῶν ςίχων ἐκ τοῦ σοφωτάτου Ἑρμάνου.— στ. 13, Οἰχνεύων.] Ἐκ ΔΓ, οἱ ΠΡ, ΑΤ, Ἰχνεύων. Οἰχνεύω γὰρ τοῖς ἀρχαιοτέροις ἐλέγετο τὸ Ἰχνεύω. Ἡ τοιαύτη δὲ μετάπτωσις οὐκ ἂν ἐγένετο μὴ παραπλήσιόν τι ἐχούσης τῆς τοῦ οι τῇ τοῦ ι προφορᾶς, καθὰ καὶ ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Α, σελ § §ά) σεσημείωται. — στ. 15, Δίφιλον.] Τὸν Κωμικὸν ποιητήν. — στ. 16, Ὠνθυλευμένος.] Παρὰ τὸν Ονθον, τουτέςι τὴν κόπρον, καὶ εἴη ἂν κυρίως ὁ ἐν τῇ συνηθείᾳ Σκατωμμένος. Οἱ δὲ Κωμικοὶ εἰς τὴν μαγειρικὴν μετενεγκόντες τοὔνομα, ἐχρήσαντο καὶ ἐπὶ τῶν Ἀλημμένων, ὥσπερ ἐνθάδε, καὶ ἐπὶ τῶν ἄλλως ἀρτύματι γεγεμιςμένων ὄψων, ἅπερ ἐκεῖνοι ἰδιαιτέρως Σακτὰ (παρὰ τὸ Σάττω), ἡμεῖς δὲ Παραγεμιςὰ καλοῦμεν. — στ. 17, Εἰς τὸν Ξέναρχον.] Γέγονε μὲν Ξέναρχος Κωμῳδίας ποιητὴς, καὶ μιμογράφος, υἱὸς Σώφρονος τοῦ μιμογράφου· ἐνθάδε μέντοι οὐ τοῦτον εἰκὸς λέγειν, ἀλλά τινα, εἴγε μὴ ἡμάρτηται τοῦ χωρίου ἡ γραφὴ, ἱςορικὸν ὁμώνυμον, συνθέσει χρησάμενον εὐτελεῖ, εἰς ἣν ὁ Τίμαιος ὑπέῤῥεε καὶ κατεφέρετο δι' ἀφυΐαν, Θουκυδίδην ὑπερβαλέσθαι σπουδάζων. Τινὲς δὲ τῶν ΠΡ, οὐκ ἐῤῥῶσθαι τὴν γραφὴν ὑπειληφότες, Εἰς τὸ ξεναγὸν γράφειν ἀπιθάνως πάνυ παρῄνουν. Ἴσως ἐγέγραπτο, Εἰς τὸ ξένον, Εἰς τὸ ξενίζον, ἢ Εἰς τὸ ξενολόγον. Ἔςι δὲ ὑπονοῆσαι καὶ Εἰς τὸ ξηρὸν, ἀντιδιεςαλμένως πρὸς τὸ Στέατι Σικελικῷ.— στ. 24, Αἰγεςέας] Γραπτέον Ἐγεςαίους, ὡς διώρθωκα καὶ ἐν τῷ Πολυαίνῳ (Στρατηγήμ. σελ. 372,). — στ. 25, Αὐτός.] Ὁ Ἡρακλῆς.

ΣΕΛΙΔ. 262, στ. 17, Θηραμένης.] Ὁ ὑπὸ τῶν τριάκοντα ἀναιρεθείς· ὃν καὶ κωμῳδεῖ, δι' ὅ φησι Πλούταρχος ἐπαμφοτερίζον τοῦ τρόπου, Ἀριςοφάνης (Βατραχ. 540 καὶ 968). — στ. 19, Ἐκ Κέω.] ΠΡΔ, ΑΤ, Ἐν Κέῳ. — στ. 20, Κόθορνος.] « Ὑπόδημα ἀρχαῖον, « κοινὸν ἀνδρῶν καὶ γυναικῶν, ταὐτὸν ἀμφοτέροις τοῖς ποσὶν ἐφαρ« μόττον » φησὶ Φώτιος ἐν τῷ Λεξικῷ. Τὸ δὲ τὸν Θηραμένην οὕτως ἐπικεκλῆσθαι ἱςόρηκε καὶ Ξενοφῶν (Ἑλληνικ. Β, γ΄, 17 καὶ 18). — στ. 22, Τῶν καλῶν καὶ ἀγαθῶν.] Τῶν ἀριςοκρατικῶν. — στ. 30, Καὶ ἀναμισθαρνεῖν.] ΔΓ, ἡ διόρθωσις, Κἀναμισθαρνεῖν. Ὅτι μὲν τὸ τοῦ Ἀριςοφάνους (Ἱππ. 1099) τουτὶ,

Γερονταγωγεῖν, κἀναπαιδεύειν πάλιν,

αἰνίττεται Πλούταρχος, καὶ οἱ ΠΡ ἀπεφήναντο· ἠπόρηται δὲ, πότερον

μνήμης ἁμαρτίᾳ τὸ Ἀναπαιδεύειν πάλιν, εἰς τὸ Ἀναμισθαρνεῖν διδοὺς, ἐνταῦθά τε καὶ ἀλλαχοῦ (Πολιτικ. παραγγέλμ. §. 13) ἔτρεψεν, ἢ διαφόροις ἐντυχὼν ἀντιγράφοις τοῦ Κωμικοῦ, διάφορον ἐξήνεγκε καὶ τὴν γραφήν.

ΣΕΛΙΔ. 263, στ. 9, Παρεῖχε.] Ἐξ ΗΔ (συνᾳδούσης τῷ Α), ΑΤ, Παρέχειν.—στ. 13, Πόλιν.] ΔΓ, Πολιτείαν.—στ. 19, Ὑπερβαλλόμενος.] Ἴσ. γρ, Ὑπερβαλόμενος. — στ. 20, Ἑαυτοῦ.] Ἐκ ΔΓ, ΑΤ. Αὐτοῦ. — στ. 22, Ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν Διονύσου νεώς.] Ἀντὶ τοῦ, Ὑποκείμενος, φέρεται καὶ ἑτέρα γραφὴ, ἢ διόρθωσις, Ἀποκείμενος. Εἰ ἔῤῥωται τὸ χωρίον, εἴη ἂν ὁ νοῦς, Ὁ ναὸς ὁ ἐν τῷ ναῷ τοῦ Διονύσου ὑποκείμενος τοῖς χορηγικοῖς τρίποσι. Τούτου τὸ ξένον ἀποφυγεῖν βουλόμενοι, τὸ Νεὼς ὑποκοριστικῶς ἡρμήνευσαν οἱ μεταφρασταὶ, ὥσπερ ἂν εἰ καὶ Ναΐσκος ἐγέγραπτο· ἕτεροι δὲ εἰς τὸ Νέος παρῄνεσαν τρέπειν, περὶ ὑποκειμένης τοῖς τρίποσιν εἰκόνος τοῦ νεανίσκου, τοῦ δούλου Νικίου, τὸν λόγον εἶναι νομίσαντες. Ἡμῖν δὲ δοκεῖ οὕτω πάλαι γεγράφθαι, Ὁ τοῖς χορηγικοῖς τρίποσι συναποκείμενος ἐν Διονύσου νεώς. — στ. 28, Καταπεφημισμένον θεῷ.] Ὠνομασμένον ἐπ' ὀνόματι θεοῦ καὶ οἱονεὶ ἀφιερωμένον τῷ Διονύσῳ.

ΣΕΛΙΔ. 264, στ. 6, Ῥηνίαν.] Ἢ μᾶλλον, Ῥήνειαν, ὡς Θουκυδίδης, Στράβων, Παυσανίας καὶ ἕτεροι. Στέφανος δ' ὁ Βυζάντιος καὶ, Ῥήνην, καὶ Ῥηναίαν, καὶ Ῥηνίδα τὴν αὐτὴν ὠνομάσθαι φησίν. Ἐκαλεῖτο δὲ πάλαι, ὡς ἱστόρηκε Πλίνιος, καὶ Κελαδοῦσσα, καὶ Ἄρτεμις. Ἔστι δὲ μία τῶν Κυκλάδων. —στ. 22, Ἔνεστιν.] ΠΡΔ, ΑΤ, Ἔστιν.—στ. 30, Ἀργυρείων.] Ἐξ ΗΔ, ΑΤ, Ἀργυρίων.—Λαυριωτικῇ.] Προσυπακουομένου τοῦ Χώρᾳ. Κακῶς οἱ ΠΡ, ἔγραψαν Λαυρεωτικῇ· ἔστι γὰρ παρὰ τὸ Λαύριον, ὄρος οὕτω καλούμενον τῆς Ἀττικῆς. « Μέχρι Λαυρίου ὄρους, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις » φησὶ Θουκυδίδης (Β, 55). Ταῦτα δὲ τὰ ἐκ τῶν ἀργυρείων τούτων μετάλλων κοπτόμενα νομίσματα, ἐπίσημον ἔχοντα γλαῦκα, αἰνίττεται καὶ ὁ Κωμικὸς Ἀριστοφάνης (Ὄρν. 1106), λέγων,

Γλαῦκες ὑμᾶς οὔποτ' ἐπιλείψουσι ΛΑΥΡΙΩΤΙΚΑΙ·
Ἀλλ' ἐνοικήσουσιν ἔνδον, ἔντε τοῖς βαλαντίοις
Ἐννεοτεύσουσι, κἀκλέψουσι μικρὰ κέρματα.

ΣΕΛΙΔ. 265, στ. 9, Μὲν οὖν.] Ἐκ ΔΓ, ἢ διορθώσεως, ΑΤ, Μὲν οὐκ. — στ. 10, Ἐκ βαλαντίου.] Τοῦτο οὐ συνῆκαν οἱ ΠΡ. Ἔστι

δὲ τοιοῦτον, ὡς ἄριστα ἐξηγήσατο ὁ φίλος Κλαυέριος ἐν ταῖς εἰς τὴν Γαλατικὴν Ἀμιότου μετάφρασιν (Τομ. 5, σελ. 455) σημειώσεσι· τῶν Ἀθήνησιν ἀτόκων πλουσίων γυναικῶν, αἱ βουλόμεναι τέκνα ἔχειν, προσεποιοῦντο κύειν, κἄπειτα, τοῦ χρόνου τοῦ τοκετοῦ παραγενομένου, ἐωνοῦντο κρύφα τῶν ἀνδρῶν παρά τινος τῶν ἄρτι τετοκυιῶν γυναικῶν πενήτων τὸ βρεφύλλιον, καὶ ὡς ἐξ ἑαυτῶν τεχθὲν αὐτοῖς ἐπεδείκνυσαν. Τὰς τοιαύτας δὲ κωμῳδῶν Ἀριστοφάνης ( Θεσμοφορ. 502-516) φησὶ,

Ἑτέραν δ᾽ ἐγῷδ᾽, ἢ ᾽φασκεν ὠδίνειν γυνὴ

Δέχ᾽ ἡμέρας, ἕως ἐπρίατο παιδίον κ. τ. λ.

—στ. 14, Ἐν τῷ Μαρικᾷ.] Εὐπόλιδος Κωμῳδία εἰς Ὑπέρβολον πεποιημένη, καὶ ἐπιγραφομένη Μ α ρ ι κ ᾶ ς. — στ. 16, Πόσου χρόνου κ. τ. λ.] Ἄλλως ἔταξα παρὰ τοὺς ΠΡ τὰ τῆς διαλογικῆς ταύτης ῥήσεως πρόσωπα, συνδόξαν τοῦτο καὶ τῷ φίλῳ Κλαυερίῳ. — στ. 17, Μήναγχος.] Ἐκ ΔΓ, ΑΤ, διαλελυμένου, Μὴ ἔναγχος.—στ. 19, Καίτοι τί μαθών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Καὶ τί μαθὼν, ἢ ὡς ἑτέρα ΔΓ, Καὶ τί παθών. Ἔπιθι τὰ ἀλλαχοῦ (Ἰσοκράτ. Β, σελ. 262) σεσημειωμένα περὶ τῆς διαφορᾶς τοῦ, Τ ί π α θ ὼ ν, καὶ, Τ ί μ α θ ώ ν. — στ. 22, Ὁ δ᾽ Ἀριστοφάνους Κλέων.] Μνημονικὸν Πλουτάρχου ἁμάρτημα, σεσημειωμένον καὶ ὑπὸ τῶν ΠΡ· παρὰ γὰρ τῷ Κωμικῷ (Ἱππ. 358) οὐ Κλέων ἐστὶν ὁ ταῦτα λέγων, ἀλλ᾽ ὁ ἀντιδημαγωγεῖν ἐκείνῳ πλαττόμενος Ἀγοράκριτος.—στ. 27, Ὑποταγείς.] Ἴσως τρεπτέον τὴν μετοχὴν ταύτην εἰς τὸ, Υ π ο τ α γ ή ς, ὄνομα, οὐ πάνυ μὲν σύνηθες, οὐδὲ κατακεχωρισμένον ἐν τοῖς Λεξικοῖς, Κωμικῷ δὲ ποιητῇ μᾶλλον προσῆκον. Σεσημείωται δὲ καὶ ἄλλα παραπλήσια μετοχαῖς συγκεχυμένα ὑπὸ τῶν ἀντιγραφέων ὀνόματα διὰ τὸ σπάνιον, οἷόν ἐστι τὸ, Ἐκπλαγής, μετὰ τοῦ, Ἐ κ π λ α γ ε ί ς.

ΣΕΛΙΔ. 266, στ. 11, Διονυσίου τοῦ Χαλκοῦ.] Ποιητὴς καὶ ῥήτωρ ὁ Διονύσιος οὗτος, ἐπονομασθεὶς Χαλκοῦς, ὥς φησιν Ἀθήναιος (ΙΕ, σελ. 669), διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι. — στ. 14, Λόγον. ] ΔΓ, Λόγους. — στ. 17, Προσπίπτει. ] Ἐξ ΗΔ, ΑΤ, Προσπίπτειν.—στ. 18, Περὶ πρῶτον ὕπνον.] Οὐ πάνυ σαφὲς τὸ λεγόμενον, οὐδὲ τούτου σαφέστερον, ὅ,τινες γράφειν παρῄνουν, Π α ρ ὰ π ρ ῶ τ ο ν ὕ π ν ο ν. Τὸ, Π ε ρ ὶ π ρ ῶ τ ο ν ὕ π ν ο ν, οὐδὲν πλέον ἔχει λέγειν τοῦ, Π ε ρ ὶ π ρ ώ τ η ν φ υ λ α κ ὴ ν τ ῆ ς ν υ κ τ ὸ ς, θέρους, ἢ Π ε ρ ὶ δ ε υ τ έ ρ α ν, χειμῶνος. Ἴσ. γρ. Π ε ρ ὶ τρίτον

ὕπνου.—στ. 25, Προστάτην δὲ τοῦ βίου κ.τ.λ.] Ἐκ τοῦ Εὐριπίδου, ἢ παρῳδημένα, ἢ κακῶς γεγραμμένα· οὕτω γὰρ ἐκεῖνος (Ἰφιγ. Αὐλ. 449),

. . . . . . . . . . . προστάτην γε τοῦ βίου
Τὸν δῆμον ἔχομεν, τῷ τ' ὄχλῳ δουλεύομεν.

—στ. 29, Κολούοντα.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Κωλύοντα.

ΣΕΛΙΔ. 267, στ. 2, Πάχητα.] Ἐξ ΕΔ (συνᾳδόντων καὶ τοῦ Α καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ) οἱ ΠΡ, ΑΤ, Λάχητα.—στ. 5, Μακράς.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μικράς.—στ. 13, Καλλιάδου.] Μήποτε, φασί τινες, Καλλίου, χρὴ γράφειν. Καὶ γὰρ Καλλίαν υἱὸν Καλλιάδου ὀνομάζει τοῦτον Θουκυδίδης (Α, ξά καὶ ξγ').—στ. 14. Δηλίῳ.] Ἐξ ΕΔ (συνᾳδόντων καὶ τῶν μεταφραστῶν), ΑΤ, Δήλῳ.—στ. 18. Γενομένου.] Ἐξ ΕΔ, ΑΤ, Γενόμενον. Τὸ δὲ ἑξῆς Περικλῆς, κατακλείσας εἰς τὸ ἄστυ τὸν ἀπὸ τῆς χώρας ὄχλον, διὰ τὸν πόλεμον, τὴν πλείστην αἰτίαν ἔλαβε τοῦ λοιμοῦ, γενομένου ἐκ τῆς μεταβολῆς κ. τ. λ.

ΣΕΛΙΔ. 268, στ. 7, Θυρέαν.] Ἐξ ΗΔ, ΑΤ, Θυραίαν. Θυρέα γὰρ, μονοφθόγγῳ, καὶ κατὰ πληθυντικὸν ἀριθμὸν, Θυρέαι, ἢ συνῃρημένως, Θύραι, καλεῖται ἡ πόλις.

ΣΕΛΙΔ. 269, στ. 16, Μετὰ Δημοσθένους.] Ἐκ ΔΓ, ΑΤ, Μετὰ Δημοσθένην.—στ. 23, Ἐν μὲν Ὄρνισιν.] Οὕτω καλουμένῳ σωζομένῳ δράματι (στίχ. 638).—στ. 24, Νυστάζειν γέ πω.] Ἄμεινον παρ' Ἀριστοφάνει, Νυστάζειν ἔτι, ἢ μᾶλλον, ὡς παρῄνει ὁ μακαρίτης Πόρσων, Νυστάζειν γ' ἔτι.—στ. 25, Ὥρα 'στίν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ὥρ' ἐστίν.—Μελλονικιᾶν.] Κωμικῶς συντέθειται παρὰ τὸ Μέλλω καὶ τὸ Νικίας· δύναται δὲ, Βραδύνειν, ὡς ὁ Νικίας. —στ. 26, Ἐν δὲ Γεωργοῖς.] Μηκέτι σωζομένῳ δράματι.

ΣΕΛΙΔ. 270, στ. 2, Ὑφ' ἧς εἰς βαρὺ... ἐμπεσών.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ὑφ' ἧς βαρὺ. . . ἐμπεσόν.—στ. 13, Φάρμακα.] Ἐξ Ὁμήρου (Ὀδυσσ. Δ, 230).—στ. 21, Ἦσαν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Ἦν.

ΣΕΛΙΔ. 271, στ. 12, Τῶν χορῶν.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου. —στ. 18, Συμβάλλοντες.] Ἴσ. γρ. Συμβαίνοντες.—στ. 29, Προτέρων.] ΠΡΔ, ΑΤ, Πρότερον.

ΣΕΛΙΔ. 272, στ. 8, Οὔτε πρὸς ἡσυχίαν εὖ πεφυκώς.] Οἱ ΠΡ προσέθηκαν τὸ, Εὖ, ἐπίρρημα, ἐκ τοῦ Α ἴσως ὡρμημένοι φράσαντος, qu' il estoit mal né à la paix—στ. 10, Προσέκειντο.] ΔΓ, Προσέπιπτον.—στ. 15, Οὐδ' Ἀμφίπολιν.] Ἐξ ΗΔ, ΑΤ, Οὔτ' Ἀμφιπο-

λιν.—στ. 19, Προσεντυγχάνοντες.] Οἱ ΠΡ ἔγραψαν, Προεντυγχάνοντες, ἐκ τοῦ Α ὡρμημένοι, ayant premierement parlé au senat.—στ. 22, Φῶσι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Φανῶσι.—στ. 27, Μεταβαλόμενος.] Ἐξ ΠΔ, ΑΤ, Μεταβαλλόμενος.

ΣΕΛΙΔ. 273, στ. 23, Ἐπιφθόνων ἀνδρῶν.] Ἐκ ΔΓ προσέθηκα τὴν λέξιν, Ἀνδρῶν.

ΣΕΛΙΔ. 274, στ. 1, Ἀντιτείνων παρὰ γνώμην, καὶ βιαζόμενος.] Ἄμεινον ἂν γράφοις καὶ στίζοις, Ἀντιτείνων καὶ παρὰ γνώμην βιαζόμενος, ὡς ἐξέφρασαν ὅ,τε Α καὶ ὁ Ἰταλὸς μεταφραστής. —στ. 5, Ἔμμορε.] Ποιητικώτερον τοῦτο τοῦ ἀνωτέρω (Λυσάνδρ. καὶ Σύλλ. σύγκρ. § 1, σελ. 173) Ἔλλαχε.—στ. 7, Ὑπέρβολος.] Ὃν καὶ Ἀριστοφάνης πολλαχοῦ τῶν αὐτοῦ δραμάτων ἐκωμῴδησε.—Περιθοίδης.] « Περιθοῖδαι, δῆμος τῆς Οἰνηΐδος φυλῆς, ἀπὸ Πειρίθου τοῦ » Ἰξίονος. Νόμος δὲ ἦν Ἀθήνησι ξένους εἰσδέχεσθαι τοὺς βουλομένους » τῶν Ἑλλήνων. Θεσσαλοὺς δὲ ἐξαιρέτως ὑπεδέχοντο διὰ τὴν Πειρί- » θου καὶ Θησέως φιλοξενίαν. Τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκά- » λεσαν Περιθοίδας. Ἔφορος ἱστορεῖ ἐν γ' ». Φώτιος ἐν τῷ Λεξικῷ, ᾧ συνᾴδει καὶ ὁ Σουΐδας. — στ. 11, Κύφωνι.] « Κύφων (φησὶ Φώτιος) » ἐστι μὲν δεσμὸς ξύλινος, δι' οὗ τὸν τράχηλον καὶ τὰς χεῖρας διείρουσι· χρῶνται δὲ ἤδη τῇ λέξει καὶ ἐπὶ πάντων τῶν δυσχερῶν ». Τὸ ἔτυμον παρὰ τὸ ἀναγκάζεσθαι τὸν δεδεμένον κύπτειν.—στ. 23, Προσποίησιν ἀλαζονείας.] Πρόσκτησιν μεγαλαυχίας· τουτέστιν ἐξοστρακιζόμενος ὁ Ὑπέρβολος ἐκέρδαινεν ἐκ τῆς ποινῆς ταύτης τὸ ἔχειν ἀλαζονεύεσθαι, ὡς ὅμοια τοῖς ἀρίστοις παθών.

ΣΕΛΙΔ. 275, στ. 1, Τοῦ τυράννου.] Τοῦ Πεισιστράτου. « Ἵππαρ- » χος ὁ Χάρμου (φησὶ Φώτιος), ὃς συγγενὴς ἦν Πεισιστράτου τοῦ » τυράννου, καὶ πρῶτος ὑπέστη τὸν ἐξοστρακισμὸν, διὰ τὴν ὑποψίαν » τοῦ Πεισιστράτου κ.τ.λ. » Ἁρποκρατίων δὲ οὐ Χάρμου, ἀλλὰ Τιμάρχου γεγονέναι τὸν Ἵππαρχον λέγει τοῦτον.—στ. 9, Αἰγεστέων.] Καὶ ὧδε γραπτέον, Ἐγεσταίων, ὡς ἀνωτέρω (σελ. 410) σεσημείωται —στ. 11, Βουλῆς.] Βοῆς, γράφειν τις παρῄνει τῶν πρὸ ἡμῶν. Ὁ δὲ Α, διὰ τοῦ Astuce ἐκφράσας, δῆλός ἐστιν ἢ Ἐπιβουλῆς γραπτέον εἶναι διανοηθεὶς, ἢ ταυτὸν ὧδε δύνασθαι τῷ, Ἐπιβουλῆς, οἰηθείς.—στ. 14, Ἡμικυκλίοις.] Καθέδρας εἶδος κυκλικὸν ἐχούσης τὸ σχῆμα, διὰ τὸ πολυχωρητότερον. Καὶ διορθούσθω ἐν παρόδῳ ὁ τὸν Πλάτωνος βίον, τὸν ἐν τῇ Βιβλιοθήκῃ τῆς ἀρχαίας φιλολογίας (Bibliothek der Alten litteratur und Kunst μέρ. 5) καταχω-

ρισθέντα, γράψας ἀνώνυμος, ἐν οἷς φησι περὶ Πλάτωνος « Τὸ γὰρ » Τὰς ΤΗΒΑΔΑΣ κυκλοτερεῖς εἶναι αὐτὸς πρῶτος ἐφεῦρεν ὡς πολυ-» χωρητοτέρας. Δέδεικται γὰρ τοῖς Γεωμέτραις ὅτι πάντων τῶν » ἸΣΟΠΕΡΙΜΕΡΩ͂Ν πολυχωρητότερος τυγχάνει ὁ κύκλος». Γραπτέον γάρ, Τὸ γὰρ τὰς ΣΤΙΒΑ΄ΔΑΣ κυκλοτερεῖς...τῶν ἸΣΟΠΕΡΙΜΕ΄-ΤΡΩΝ πολυχωρητότερος τυγχάνει ὁ κύκλος. « Στιβάδες, » τράπεζαι, ἢ στρωμνα » φησὶ Φώτιος· καὶ « Στιβάς, χαμαικοίτιον ». Καταχώριζε δὲ ἐν τοῖς Λεξικοῖς καὶ τὸ μήπω καταχωρισθὲν ἐπίθετον Ἰσοπερίμετρος. Ἰσοπερίμετρα σχήματα καλοῦνται τὰ ὑπὸ ἴσων γραμμῶν περιεχόμενα. Καὶ ἐπεὶ τοῦ Πλάτωνος ἐμνήσθημεν βίου, ἐφείσθω καὶ ἕτερά τινα τῶν γραφικῶν ἐν αὐτῷ ἁμαρτημάτων, εὐχερεστέραν ἔχοντα τὴν διόρθωσιν σημειώσασθαι τὰ ἑξῆς· « Ἐδ. λου δὲ τοῦτο, ὡς φοιτήσει μὲν αὐτῷ [Σωκράτει] ἀτελὴς ὁ Πλάτων, ἈΦΗΣΕΙ » δὲ ΤΕΛΕΙΏΣ » ὅπου γραπτέον, ἈΠΟΦΟΙΤΗ΄ΣΕΙ δὲ ΤΕ΄ΛΕΙΟΣ. » Καὶ πάλιν· « Τοῦτο δὲ ἘΣΗ΄ΜΑΝΕ ὡς οὐ δι' ἡδονὴν δεῖ τὴν συ-» νουσίαν αἱρεῖσθαι, ἀλλὰ διὰ παιδοποιίαν ΜΟΝΩ΄ΟΝ ΚΑῚ ὡς τὸ » τεχθησόμενον κ.τ.λ. » Γράφε, Τοῦτο δὲ ἘΣΗ΄ΜΑΙΝΕ, ὡς. . . διὰ παιδοποιίαν ΜΟ΄ΝΗΝ, ΚΑῚ ὡς τὸ τεχθησόμενον.

ΣΕΛΙΔ. 276, στ. 1, Θρασύτητα.] Ἐξ ΕΔ, ΑΤ, Πραότητα. Θρασὺν γὰρ μᾶλλον ἢ πρᾶον γεγονέναι τὸν Λάμαχον ἐδήλωσε Πλούταρχος, ἐν οἷς (Ἀλκιβ. § 18) μηδὲν ἧττον Ἀλκιβιάδου διάπυρον καὶ φιλοκίνδυνον ἐν τοῖς ἀγῶσιν αὐτὸν λέγει. Μαρτυρεῖ δὲ τούτοις καὶ ὁ Κωμικὸς (Ἀχαρν. 620), αὐτὸν παράγων τὸν Λάμαχον λέγοντα,

> Ἀλλ' οὖν ἐγὼ μὲν πᾶσι Πελοποννησίοις
> Ἀεὶ πολεμήσω, καὶ ταράξω πανταχῇ,
> Καὶ ναυσί, καὶ πεζοῖσι, κατὰ τὸ καρτερόν.

—στ. 4, Δημόστρατος.] Ἔπιθι τὰ εἰς τὴν ἑξῆς σελίδα σημειωθησόμενα ἐκ τοῦ Κωμικοῦ.—στ. 19, Περιβάς.] Διαβεβηκόσι τοῖς σκέλεσι τὸν βωμὸν περισχών, ὥσπερ οἱ τοὺς ἵππους περιβαίνοντες, ὡς ὀρθῶς ἡρμήνευσεν ὁ Λατῖνος μεταφραστής. Κακῶς δὲ ὁ Α ἐξέφρασε, Après avoir tournoyé tout à l'entour.—στ. 27, Μετεπέμψαντο.] ΠΡΔ, ΑΤ, Μετεπέμψατο.

ΣΕΛΙΔ. 277, στ. 3, Προελθεῖν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Προσελθεῖν. —στ. 7, Κἀκεῖνον.] Ἐξ ΗΔ, ΑΤ, Κἀκεῖνα.—στ. 11, Ὑπέθραττεν.] Ὑπετάραττεν.—Ἧγον.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Εἶχον—στ. 12, Πολλαχόθι.] Ἐκ ΔΓ, ΑΤ, Πολλαχόσε. Τοῦτο μὲν γὰρ τὴν εἰς τόπον κίνησιν δηλοῖ· τὸ δὲ Πολλαχόθι τὴν ἐν τόπῳ σχέσιν.—στ. 16,

Μαρανθῇ.] Κατὰ τοὺς ταχὺ μαραινομένους Ἀδώνιδος κήπους, οὓς ενθάδε τὸν Πλούταρχον αἰνίττεσθαι ἐσημειώσαντο οἱ ΠΡ. Αἱ γὰρ ἄγουσαι γυναῖκες Ἀθήνῃσι τὰ Ἀδώνια, φυτά τινα ἐν ὀστράκοις ἐπὶ τῶν δωμάτων ἐξετίθεσαν, ὥς φησιν ὁ σχολιάσας τὴν Λυσιστράταν Ἀριστοφάνους, ἐν ᾗ ὁ Κωμικὸς τὸν εἰς Σικελίαν πλοῦν, καὶ τὸν εἰς τοῦτον παροξύναντα Δημόστρατον, καὶ τὰς ἀδωνιαζούσας γυναῖκας ἐπισκώπτει λέγων (Λυσιστρ. 387-393),

Ἆρ' ἐξέλαμψε τῶν γυναικῶν ἡ τρυφή,
Χὠ τυμπανισμὸς, χοἱ πυκνοὶ Σαβάζιοι,
Ὅ τ' Ἀδωνιασμὸς οὗτος οὑπὶ τῶν τεγῶν,
Οὗ 'γώ ποτ' ὢν ἤκουον ἐν τῇ 'κκλησίᾳ;
Ἔλεγεν δ' ὁ μὴ ὥραισι μὲν Δημόστρατος
Πλεῖν εἰς Σικελίαν· ἡ γυνὴ δ', ὀρχουμένη,
Αἰ, Αἲ Ἄδωνιν, φησίν. κ. τ. λ.

—στ. 25. Καὶ τὸ μὴ κρατηθῆναι τοῖς λογισμοῖς κ. τ. λ.] Περιελεῖν ἔδοξέ μοι τὴν ἀπαγόρευσιν, ἣν καὶ ὁ Λατῖνος μεταφραστὴς παρέλιπε. Ἀλλοίως μέντοι ἢ ἐκεῖνος ἐξηγοῦμαι τοῦ χωρίου τὸν νοῦν· Ἀναλαμβάνοντα καὶ στρέφοντα πολλάκις ἐν τοῖς λογισμοῖς, τουτέστιν ἐν τῇ διανοίᾳ, τὸ κρατηθῆναι ὑπὸ τοῦ στρατηγὸν αὐτὸν ἑλομένου δήμου, καὶ μὴ ἰσχῦσαι τὴν στρατηγίαν ἀπείπασθαι.

ΣΕΛΙΔ. 278, στ. 5, Αἰγεστεῦσιν.] Κἀνταῦθα, Ἐγεσταίοις, ἢ γοῦν, Ἐγεστεῦσιν, γραπτέον ἂν ἦν, εἰ μὴ ἐδόκει Πλουτάρχου μᾶλλον εἶναι τὸ περὶ τὸν σχηματισμὸν καὶ τὴν γραφὴν ἁμάρτημα. — Ἀπαρξαμένους.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀπαρξαμένοις.—στ. 6, Ὑπεξέλυσε.] ΠΡΔ, ΑΤ, Ἐπεξέλυσε. — στ. 12, Παρέθηκεν.] Ἄμεινον ἂν εἶπε, Παρέστησεν, ὡς ἐσημειώσαντο οἱ ΠΡ. — στ. 23, Λέγοντος.] Ἐξ ΕΔ, ΑΤ, Λέγοντες.—στ, 24, Ἑτέρῳ.] Ἐκ ΔΓ, ΑΤ, Ἕτερον. — στ. 27, Μετ' ὀλίγον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μετ' ὀλίγων.—στ. 29, Δίκαιος.] Ὕποπτος ἔδοξεν ἡ λέξις τοῖς ΠΡ. Διὸ οἱ μὲν εἰς τὸ Ἀκμαῖος, οἱ δὲ εἰς τὸ, Δραστικὸς, τρεπτέαν εἶναι ὑπετόπασαν.

ΣΕΛΙΔ. 279, στ. 2, Ἐσθῆτα.] ΔΓ, Ἐσθῆτας.—στ. 8, Ὑφ' ἑαυτῷ] Ἐξ ΕΔ, ΑΤ, Ὑφ' ἑαυτοῦ.

ΣΕΛΙΔ. 280, στ. 5, Ἐλείπετο.] Ἐξ ΕΔ, ΑΤ, Λείπεσθαι. — Ἤλπιζεν.] Ἐξ ΗΔ, ΑΤ, Ἤλπισεν. Ὁ νοῦς τοῦ ὅλου χωρίου, Ἐκράτησε τῶν λιμένων ὁ Νικίας, καὶ τὸ στρατόπεδον ἐν τοιαύτῃ χώρᾳ ἵδρυσεν, ἐν ᾗ μὴ βλαπτόμενος ὑπὸ τῆς ἵππου τῶν πολεμίων καθ' ἣν ἐκείνων ἐλείπετο

πετο (οὐ γὰρ εἶχεν, ὡς ἐκεῖνοι, ἱππέας), ἤλπιζε πολεμήσειν ἀνεμποδίςως μετὰ τοῦ ναυτικοῦ, ᾧ καθυπέρτερος ὢν τῶν Συρακουσίων ἐθάῤῥει.

ΣΕΛΙΔ. 281, στ. 6, Θάψον ... Επιπολάς.] Η μὲν Θάψος ἄκρα ἐστὶ Σικελίας χεῤῥονησίζουσα, οὐ πολὺ Συρακουσῶν ἀπέχουσα· αἱ Ἐπιπολαὶ δὲ, χωρίον ἀπόκρημνον ὑπερκείμενον αὐτῆς τῆς Συρακουσίων πόλεως, οὕτως ὠνομασμένον διὰ τὸ ἐπιπολῆς εἶναι, ὥς φησι Θουκυδίδης (ϛ́ 96, 97). — στ. 8, Ἑλεῖν μὲν τριακοσίους.] Ἀντὶ τοῦ, Ελεῖν, ἴσως ἐγέγραπτο, Ἀνελεῖν· οὕτω γὰρ Θουκυδίδης (ϛ́, 97), « Καὶ ὅ τε Διόμιλος ἀποθνήσκει, καὶ τῶν ἄλλων ὡς τριακόσιοι ». —στ. 10, Ὃ δὲ μάλιστα πάντων καὶ Σικελιώτας ἐξέπληξε .... ὀλίγῳ χρόνῳ περιετείχισε Συρακούσας.] Ἐκ τοῦ Θουκυδίδου (ϛ́ 98) ταῦτα. « Ἐτείχισαν τὸν κύκλον διὰ τάχους, καὶ ἔκπληξιν τοῖς Συρακουσίοις » παρέσχον τῷ τάχει τῆς οἰκοδομίας ». — στ. 24, Πρὶν ἐκ θεῶν του, ἢ τύχης.] Εξ ΗΔ, ΑΤ, Πρὶν ἐκ θεῶν ὄντως ἢ τύχης. Ἔστι δὲ, Ἔκ τινος θεῶν ἢ τύχης.

ΣΕΛΙΔ. 282, στ. 13, Παραδεδλημένα.] Ἴσ. γρ. Προβεβλημένα. —στ. 18, Ἣν δὲ δι᾽ ἐλπίδος.] Εξ ΕΔ, ἡ προσθηκη της προθέσεως. — στ. 27, Πάντα.] Ελλειπτικῶς της Κατά. — στ. 29 Εὐθύς.] Ἢ διαγραπτέον τὸ ἐπίῤῥημα τουτο (λεῖπον καὶ παρὰ τῷ Α, καὶ παρὰ τῷ Ἰταλῷ μεταφραστῇ), ἢ τρεπτέον εἰς τὸ Αὖθις.

ΣΕΛΙΔ. 283, στ. 3, Οὐδὲ φυλακὴν ἐποιήσατο καταίροντος.] Εξ ΗΔ τὸ, Καταίροντος, ΑΤ, Καθαράν. Ο νοῦς, Οὐκ ἐφυλάξατο τὸ καταραι καὶ προσορμίσασθαι τὸν Γύλιππον, οὐ φύλακας κατέστησε τοὺς κωλύσοντας καταραι τὸν Γύλιππον. Συνᾴδει δὲ τούτοις καὶ ὁ Α, ny ne meit point gens au guet pour le garder de descendre en la Sicile. — στ. 5, Διὰ πορθμείου.] Γραπτέον ἴσως οὐχ, ὥσπερ εἴκασαν οἱ ΠΡ, Διὰ πορθμοῦ, ἀλλ᾽ ἐνάρθρως, Διὰ τοῦ πορθμοῦ, ὥσπερ ἐξέφρασε καὶ Θουκυδίδης (Ζ, 1) ἵνα ἔχῃ ὡρισμένως ἀκούεσθαι ὁ Σικελικὸς πορθμὸς, τουτέστιν ἡ τῆς ἠπείρου τὴν Σικελίαν διείργουσα θάλασσα. — στ. 6, Προσκομισθείς] Ἴσως γρ. ὡς εἴκασαν οἱ ΠΡ, Προσορμισθείς. — Συρακουσῶν.] Ἐξ ΕΔ, συνᾳδούσης τοῖς μεταφρασταῖς, ΑΤ, Συρακουσίων. — στ. 12, Καὶ τουτο.] Τὸ ἀπολειπόμενον τοῦ ἔργου. — στ. 21, Ἐπὶ τοὺς Ἀθηναίους.] Κατ᾽ ἐκεῖνο τὸ μέρος, οὗ ἦσαν παρατεταγμένοι οἱ Ἀθηναῖοι.

ΣΕΛΙΔ. 284, στ. 4, Στρατευόμενοι.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Στρατοπεδευόμενοι. — στ. 7, Μόνον.] ΠΡΔ, ΑΤ, Μόνου. — στ. 13, Ὡσαύτως] ΔΓ, Ὁμοίως. — στ. 15, Ἐκεῖνοι.] οἱ Ἀθηναῖοι. — Προσεκόμισαν.]

ΠΡΔ, συνᾴδοντος καὶ τοῦ Α, ΑΤ, Π ρ ο σ ε κ ό μ ι ζ ο ν.—στ. 16, Εἰς τὰς διαστολάς.] ΠΡΔ, ΑΤ, Εἰς διαστολάς. Οὐδ' οὕτως μέντοι ἐῤῥῶσθαί μοι δοκεῖ τὸ χωρίον· τὰ γὰρ ἐνθάδε λεγόμενα τοῖς περὶ τῶν αὐτῶν εἰρημένοις τῷ Θουκυδίδῃ (Ζ, 5) παραβάλλων, οὐκ ἂν ὀκνήσαιμι φάναι γεγραφέναι τὸν Πλούταρχον, Ε ἰ ς τ ὰ ς ' Ε π ι π ο λ ά ς.—στ. 19, 'Ακολούθοις.] Τοῖς ὑπηρέταις τῶν Ἱππέων, οὓς οἱ Γάλλοι ἰδίως Goujats καλοῦσι.—στ. 28, Τῶν πρώτων* πραττομένων*.] 'Εξ ΗΔ ἡ περιαίρεσις τοῦ Π ρ α τ τ ο μ έ ν ω ν (ὅπερ ἕτεροι, εἰς τὸ Τ α ρ α τ τ ο μ έ ν ω ν τρεπτέον εἶναι εἴκασαν, ὁ δ' Α παρέλιπεν· ἐκ δ' ΕΔ καὶ τοῦ Α, ἡ τροπὴ τοῦ Π ρ ῶ τ ο ν εἰς τὸ Π ρ ώ τ ω ν. Ὁ νοῦς, Τῶν πρώτων, τουτέστι τῶν λογάδων Ἀθηναίων, ἐμβαλόντων πολλὰς διατριβάς, καὶ βραδυνόντων τὴν ἑτέρας δυνάμεως εἰς Σικελίαν ἀποστολήν, διὰ τὸν πρὸς τοσαύτην εὐτυχίαν τοῦ Νικίου φθόνον.

ΣΕΛΙΔ. 285, στ. 1, 'Εκ χειμῶνος.] Μετὰ τὸν χειμῶνα. Οὕτω δὲ καὶ ἡμεῖς τὸ τῆς προθέσεως παράγωγον ἐπίῤῥημα, Ἔ ξ ω, ὡς καὶ τὴν συνώνυμον πρόθεσιν 'Από, ἐπὶ τῆς Μ ε τ ά, συντιθέντες τάττομεν· Ἐ ξ ώ λ α μ π ρ α γάρ φαμέν, καὶ Ἀ π ό λ α μ π ρ α, καὶ Ε ξ ώ π α σ χ α, καὶ Ἀ π ό π α σ χ α, ἀδιαφόρως, ἀντὶ τοῦ, Μ ε τ ὰ τ ὴ ν Λ α μ π ρ ά ν, ἢ Μ ε τ ὰ τ ὸ Π ά σ χ α· ἔστι γε μὴν ἐν οἷς μόνῃ τῇ 'Από χρώμεθα, οἷον ἐν τῷ 'Απολε ί τ ο υ ρ γ α, καὶ 'Α π ο μ ε σ ή μ ε ρ α, τουτέστι, Μετὰ τὴν Λ ε ι τ ο υ ρ γ ί α ν, καὶ Μ ε τ ὰ τ ὸ Μ ε σ ή μ ε ρ ο ν.—Διὰ χειμῶνος.] 'Εν αὐτῷ τῷ χειμῶνι.—στ. 9, Καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους, καὶ ζῶντας ἔλαβε.] Τοῦθ' ὁ Α οὕτως ἐξέφρασε, Et si y eut bon nombre d' hommes tuez, et beaucoup de prisonniers ausi, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Κ α ὶ δ ι έ φ θ ε ι ρ ε ν ἄ ν δ ρ α ς ο ὐ κ ὀ λ ί γ ο υ ς [π ο λ λ ο ὺ ς δ ὲ] κ α ὶ ζ ῶ ν τ α ς ἔ λ α β ε, ἢ Κ α ὶ δ ι έ φ θ ε ι ρ ε ν ἄ ν δ ρ α ς (π ο λ λ ο ύ ς], ο ὐ κ ὀ λ ί γ ο υ ς [δ ὲ] κ α ὶ ζ ῶ ν τ α ς ἔλαβε. Θουκυδίδης μέντοι (Ζ, 24) ἁπλῶς εἴρηκε, « Ἄνθρωποι δὲ ἐν τῶν τειχῶν [τοῦ » Πλημμυρίου] τῇ ἁλώσει ἀπέθανον καὶ ἐζωγρήθησαν πολλοί ».—στ. 27, Καὶ καταστρατηγηθέντες ὑπ' 'Αρίστωνος τοῦ Κορινθίων κυβερνήτου τοῖς ΠΕΡΙ ΤΟ ΑΡΙΣΤΕΡΟΝ, ὡς εἴρηκε Θουκυδίδης.] Τοῦθ' ὁ μὲν Ἰταλὸς μεταφραστὴς ἡρμήνευσεν Al dir di Tucidide, nel corno sinistro, ὁ δ' Α, Toute la poincte gauche de leur bataille, ainsi que le descrit Thucydides, Ὁ μέν τοι Θουκυδίδης, τὴν ναυμαχίαν ταύτην, καὶ τὸ τοῦ Κορινθίου 'Αρίστωνος στράτηγημα διηγούμενος (Η, 39-41), οὔτ' ἀριστεροῦ, οὔτε δεξιοῦ κέρως ἐμνημόνευσε. Παραθήσομαι δὲ καὶ τὰς λέξεις αὐτὰς τοῦ συγγραφέως,

« Πρὶν δὴ Ἀρίστων ὁ Πυῤῥίχου ὁ Κορίνθιος, ἄριστος ὢν κυβερνήτης, » πείθει τοὺς σφετέρους τοῦ ναυτικοῦ ἄρχοντας... ὅπως αὐτοὺς ἐκ» διδάσαντες τοὺς ναύτας, εὐθὺς παρὰ τὰς ναῦς ἈΡΙΣΤΟΠΟΙΉΣΩΝ» ΤΑΙ... Καὶ οἱ μὲν πεισθέντες... καὶ εὐθὺς ἐκβάντες, αὐτοῦ » ἌΡΙΣΤΟΝ ἐποιοῦντο. Οἱ δ' Ἀθηναῖοι, νομίσαντες αὐτοὺς, ὡς ἡσ» σημένους σφῶν, πρὸς τὴν πόλιν ἀνακρούσασθαι, καθ' ἡσυχίαν ἐκ» βάντες, τά τε ἄλλα διεπράσσοντο, καὶ τὰ ἈΜΦῚ ΤῸ ἌΡΙΣΤΟΝ, » ὡς τῆς γε ἡμέρας ταύτης οὐκέτι οἰόμενοι ἂν ναυμαχῆσαι». Ταῦτα δὲ καὶ Πολύαινος (σελ. 17, ἐμ. ἐκδ.) ἱστόρηκε τῷ Θουκυδίδῃ, « Καὶ » ἀποβάντες [οἱ Συρακούσιοι] εὐθὺς ἨΡΙΣΤΟΠΟΙΟΥ͂ΝΤΟ. Οἱ Ἀθη» ναῖοι, νομίσαντες αὐτοὺς ἡττωμένους ἀναχωρῆσαι... ἐκβαίνουσί « τε καὶ περιήεσαν, τά τε ἄλλα πράττοντες, καὶ ὅσα πρὸς ἌΡΙΣ» ΤΟΝ ἑτοιμάζοντες ». Ἐξ ὧν καὶ τυφλῷ δῆλον, οἶμαι, γίγνεται, ὅτι καὶ Πλούταρχος ἔγραψε « Καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίςωνος » τοῦ Κορινθίων κυβερνήτου τοῖς ΠΕΡῚ ΤῸ ἌΡΙΣΤΟΝ, ὡς εἴρηκε » Θουκυδίδης». Ὁ νοῦς, Καὶ ἀπατηθέντες ὑπ' Ἀρίστωνος διὰ τοῦ περὶ τὸ ἄριςον ςρατηγήματος. Τοῦτο γὰρ ἦν τὸ τοῦ Ἀρίςωνος ςρατήγημα, ἀριστοποιουμένους τοὺς Συρακουσίους δείξαντα, καὶ τοὺς Ἀθηναίους ἐπὶ τὸ ἀριστοποιεῖσθαι προκαλέσασθαι, καὶ οὕτως αὐτοῖς ἀριστῶσιν ἐπιθέσθαι.

ΣΕΛΙΔ. 286, στ. 4, Ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν.] Συνῳδὰ ταῦτα τοῖς τοῦ Θουκυδίδου (Ζ, 42). Ὁ δὲ Σικελιώτης Διόδωρος (ΙΓ, 11), πλείους τῶν τριακοσίων δέκα, λέγων, δῆλός ἐστιν ὑπὸ τῶν ἀντιγραφέων κακῶς διατεθείς.—στ. 19, Παραμενούντων.] Ἐξ ΕΔ, ΑΤ, Παραμενόντων.—στ. 28, Μελλήματα.] Ἴσως γρ. ἐνάρθρως Τὰ μελλήματα.

ΣΕΛΙΔ. 287, στ. 8, Αὐτοῦ.] Τοπικῶς καὶ ἐπιῤῥηματικῶς τὸ Αὐτοῦ, ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ πλειστάκις χρώμεθα τῇ λέξει· τὸ γὰρ τοῦ Ἀριστοφάνους (Ὄρν. 1200),

Ἔχ' ἀτρέμας· αὐτοῦ στῆθ'· ἐπίσχες τοῦ δρόμου,

οὐκ ἂν ἄλλως ἐκφράσαιμεν ἤ, Μὴ κινεῖσαι· στέκ' αὐτοῦ· μὴ δράμῃς παρέκει. Ἐνδέχεται μέντοι τὸν Πλούταρχον ὧδὶ οὐκ Αὐτοῦ, ἀλλ' Αὐτῶν, γεγραφέναι, τῶν Ἀθηναίων δηλονότι. Τοιαύτην δέ τινα σύγχυσιν τῆς ἀντωνυμίας μετὰ τοῦ ἐπιῤῥηματικοῦ, Αὐτοῦ, ἀντίστροφον ἄντις ὑποτοπάσειε γεγονέναι καὶ ἐν τῳδὶ Θουκυδίδου τῷ χωρίῳ (Ζ, 49), « Εἰ δὲ δεῖ μὴ ἀπάγειν τὴν στρατιὰν... ἀλλὰ τρί-

» βειν ΑΥΤΟΥΣ ΕΦΗ χρῆναι, ἢ ἐς τὴν Θάψον ἀναςάντας τοῦτο » ποιεῖν, ἢ ἐς τὴν Κατάνην »· ὅπου γραπτέον ἴσως καὶ ςικτέον, . . . ἀλλὰ τρίβειν ΑΥΤΟΥ, ΕΦΗ χρῆναι, ἢ ἐς τὴν κ. τ. λ. Τὸ μὲν γὰρ Αὐτοῦ, τὸ Ἐν τῇ Σικελίᾳ, σημαίνει· τὸ δὲ, Τρίβειν, ἢ μεταβατικῶς πρὸς τὸ Στρατιὰν, ἢ κατ' ἔλλειψιν τοῦ Χρόνου.—στ. 10, Ἐπιβαῖνον.] Παρ' ἅπασι γράφεται, Ἀποβαῖνον, τουτέςιν, Ἀπὸ τῶν Ἐπιπολῶν καταβαῖνον, ὡς ἐξεδέξαντο οἱ μεταφραςαί. Ἀλλ' οἱ καταβαίνοντες οὗτοι οὐκ ἂν ἄλλοι εἶεν ἢ αὐτοὶ οἱ πεφοβημένοι. Ὅθεν ἔδοξέ μοι μεταποιῆσαι (ἐξ ΕΔ) τὴν λέξιν εἰς τὸ, Ἐπιβαῖνον, ἵν' ᾖ ὁ νοῦς, Οἱ ἔτι ἀναβαίνοντες τῶν Ἀθηναίων εἰς τὰς Ἐπιπολὰς καὶ προσφερόμενοι κατὰ τῶν ἐναντίων, ἀνακοπτόμενοι καὶ κωλυόμενοι τῆς πρόσω φορᾶς ὑπὸ τῶν πεφοβημένων καὶ φευγόντων τοὺς Συρακουσίους Ἀθηναίων. Τοιοῦτο δὲ τι παρέχει νοεῖν καὶ Θουκυδίδης (Ζ, 44)· « Καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἔτι τῇ πρώτῃ ἐφόδῳ » ἀήσσητοι ἐχώρουν. Πολὺ δὲ καὶ τοῦ ἄλλου ςρατεύματος αὐτοῖς τὸ » μὲν ἄρτι ἀναβεβήκει, τὸ δ' ἔτι ΠΡΟΣΑΝΗΕΙ· ὥςτ' οὐκ ἠπίσταντο » πρὸς ὅ, τι χρὴ χωρῆσαι. Ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενη» μένης ἐτετάρακτο πάντα κ. τ. λ. ». — στ. 15, Ἀλλ' ΟΙΟΝ εἰκὸς ἤδη καταφερομένης Σελήνης, καὶ ΠΕΡΙΣΚΙΑΖΟΜΕΝΗΣ ὅπλοις... μὴ ΔΙΑΣΑΦΟΥΣΑΝ τὰ εἴδη, φόβῳ τοῦ πολεμίου, καὶ τὸ οἰκεῖον ΠΟΙΕΙΝ ὕποπτον.] Ὁ μὲν νοῦς οὐ δυσθήρατος, ἡ δὲ τοῦ χωρίου συνάρτησις οὐκ ὀλίγας ἔχει τὰς δυσχερείας. Ὤφειλε γὰρ εἶναι, Ἀλλ' οἷον [φῶς ἔχειν τὴν νύκτα] εἰκὸς, ἤδη καταφερομένης [τουτέςι μελλούσης ὅσον οὔπω δύεσθαι] σελήνης καὶ περισκιαζομένης ὅπλοις... μὴ διασαφοῦσαν τὰ εἴδη, φόβῳ [δὲ] τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιοῦσαν ὕποπτον. Καὶ ἐκ μὲν τῶν ΔΓ μόνον σεσημείωται τὸ Οἷαν, ἀντί τοῦ Οἷον, καὶ τὸ Περισκιαζομένοις, ἀντὶ τοῦ Περισκιαζομένης. Οἱ ΠΡ δὲ τοῦτο μὲν εἰς τὸ Περισκιαζομένῃ μετεποίησαν (συνάπτοντες τῷ, Νυκτὶ), τὸ δὲ Διασαφοῦσαν εἰς τὸ Διασαφούσης (πρὸς τὸ, Ὄψεως,) καὶ τὸ Ποιεῖν, εἰς τὸ, Ποιοῦν. Ἡμεῖς δ' ἀποχρῶσαν οἰόμεθα διόρθωσιν τὴν τροπὴν τοῦ τελευταίου τούτου εἰς τὸ Ποιοῦσαν, καὶ τὴν ἐξ ΕΔ προσθήκην τοῦ συνδέσμου μετὰ τὸ Φόβῳ. — στ. 28, Δισχίλιοι.] Κατὰ δὲ τὸν Σικελιώτην Διόδωρον (ΙΓ, 11) Δισχίλιοι καὶ πεντακόσιοι.

ΣΕΛΙΔ. 288, στ. 5, Κρατήσειν.] Ἐξ ΗΔ, ΑΤ, Κρατεῖν. — στ. 8, Μετοπώρου γὰρ ἦν ἡ ἀρχή.] Περιέγραψα τὸ ἄρθρον ὡς σολοίκως

πλεονάζον. — στ. 12, Δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι κ. τ. λ.] Συνέτεμε τὰ τοῦ Νικίου ὁ Πλούταρχος, διὰ μακροτέρων εἰρημένα τῷ Θουκυδίδῃ (Ζ, 48) παρ' ᾧ καὶ γραφικῶς ἡμαρτῆσθαί μοι δοκεῖ τὰ τελευταῖα, « Καὶ μὴ χρήμασιν, ΩΣ πολὺ κρείσσους εἶσὶ, νικηθέντας » ἀπιέναι ». Οὔτε γὰρ Ω, οὔτε ΩΝ, καθὰ φέρεται ἐν ΔΓ, ἀλλ' ΟΙΣ γραπτέον ἐστὶ, πρὸς τὸ, Χρήμασι. — στ. 15, Λέων. ΔΓ, Γέλων. — στ. 17, Βουλευσεσθαι.] Ἐξ ΕΔ, ἀντὶ τοῦ, Βουλεύσασθαι. — στ. 20, Τοῖς δ' ἄλλοις παρέσχε τὸν Νικίαν... διὸ καὶ συνεχώρησαν.] Τὸ μὲν Συνεχώρησαν ἐξ ΕΔ, ΑΤ, Συνεχώρησεν. Ἴσως δὲ καὶ τὸ Παρέσχε, εἰς τὸ, Παρέσχη, τρεπτέον, ἵν' ᾖ, τοῖς δ' ἄλλοις ςρατηγοῖς ὑπόνοια καὶ δόξα παρέσχη, ὡς ὁ Νικίας, προσδοκῶν προδοσίαν, καὶ πιςεύων τοῖς ἐν Συρακούσαις φίλοις αὐτοῦ, οὕτω σφοδρῶς παραιτεῖται τὸν ἀπόπλουν· διὸ καὶ συνεχώρησαν μεῖναι. Ὅτι δ' οὗτός ἐςιν ὁ νοῦς τοῦ χωρίου, διδάξει σε ὁ Θουκυδίδης (Ζ. 49).

ΣΕΛΙΔ. 289, στ. 2, Συντυγχάνουσαν.] Ἐκ ΔΓ, οἱ ΗΡ, ΑΤ, Τυγχάνουσαν. Ἴσως δ' ἂν καὶ κατ' ὀνομαςικὴν ἦν ἄμεινον γράφειν, Συντυγχάνουσα. — στ. 4, Πρὸ συμφορῶν.] Ἐξ ΕΔ, οἱ ΗΡ, ΑΤ, Πρὸς συμφορῶν. — στ. 6, Σαφέςατόν τε.] ΗΡΔ, ΑΤ, Σαφέςατόν γε. — στ. 9, Μετ' εὐλαβείας τινὸς ἢ πίςεως.] Γραπτέον ἔοικεν οὐ διαζευκτικῶς, ἀλλὰ συμπλεκτικῶς, Μετ' εὐλαβείας τινὸς καὶ πίςεως, τουτέςι, Μεθ' ὑποςολῆς, καὶ τοῖς συνετοῖς μόνοις πιςευόμενος, ὥσπερ ἐξέφρασε καὶ ὁ Ἰταλὸς μεταφραςὴς, con grande circonspezione e sotto sicurezza di fede. — στ. 10, Μετεωρολέσχας.] Προσέτι δὲ καὶ Μετεωροφένακας, καὶ Μετεωροσοφιςὰς, ἐκάλουν τοὺς περὶ φύσεως φιλοσοφοῦντας ὁ μωρὸς καὶ δεισιδαίμων ὄχλος, ᾗ δῆλον ἐκ τοῦ κωμικοῦ Ἀριςοφάνους (Νεφέλ. 333 καὶ 360). — στ. 12. Διατρίβοντας τὸ θεῖον.] Τὸ μοναδικὸν τοῦ θεοῦ εἰς πολλὰς αἰτίας οἱονεὶ κατακερματίζοντας. — στ. 14, Σωκράτης... ἀπώλετο διὰ φιλοσοφίαν.] Νῦν δ' ἀπολλύναι μηκέτι δυνάμενοι τοὺς φιλοσοφίας ἐραςὰς, ὑπόπτους γοῦν ταριχοπώλαις, σκυτοδέψαις, καὶ τοιούτοις ἄλλοις ἀγοραίοις ἀνθρώποις, καθιςάναι πάσῃ μηχανῇ πειρῶνται οἱ τὴν φιλοσοφίαν, οὐδὲν ἧττον ἢ τὸ φῶς οἱ φῶρες, ςυγοῦντες. — στ. 24, Στιλβίδης.] Οὗ καὶ Ἀριςοφάνης ὁ κωμικὸς (Εἰρ. 1031) μνημονεύει,

Ἡ σχίζα γοῦν ἐνημμένη τὸν Στιλβίδην πιέζει·

ὅπου ὁ σχολιαςὴς καὶ ἑτέρου κωμικοῦ, Εὐπόλιδος, μαρτύριον παρατίθεται τοδὶ,

Ὡς αὖ τίν' ἔλθω δῆτά σοι τῶν μάντεων,
Πότερος ἀμείνων ἀμφοτέρων; ἡ Στιλβίδης.

Καὶ ταῦτα μὲν ἐν τοῖς τότε χρόνοις· νῦν δὲ οἱ τῆς Εὐρώπης ςρατηγοὶ οὐ Στιλβίδας, οὐδὲ Κάλχαντας ἐν τοῖς πολέμοις ἐπαγόμενοι, ἀλλὰ στρατηγικὴν ἐμπειρίαν αὐτόθεν ἔχοντες, καὶ οἰωνὸν ἄριστον ἕνα μόνον ἡγούμενοι τὸ μάχεσθαι περὶ πάτρης, οὕτω τοῖς πολεμίοις συμβάλλουσι.—στ. 29, Ἀντικλείδης.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Αὐτοκλείδης. Τὰ δὲ Ἐξηγητικά, ἃ καὶ Ἐξηγητικὸν, ἑνικῶς ἐκαλεῖτο, Λεξικὸν ἦν τῶν ἀρχαίων οὐ μόνον λέξεων, ἀλλὰ καὶ ἐθίμων ἑρμηνευτικὸν, ὃ, καθὰ καὶ ἕτερα πλεῖστα τῶν χρησίμων, ὁ χρόνος ἠφάνισεν.—στ. 30, Ἄλλην ἔπεισε σελήνης ἀναμένειν περίοδον.] Τουτέττιν ἡμέρας ἔτι ἑπτὰ πρὸς ταῖς εἴκοσιν, ἤ, τρεῖς ἐννέα, ὥσπερ φησὶ Θουκυδίδης (Ζ, 50).

ΣΕΛΙΔ. 290, στ. 3, Ἔθυε καὶ διεμαντεύετο καθήμενος.] Ἐκ ΔΓ, ΑΤ (ἐν δυσὶ λέξεσι), Ἐθύετο καθήμενος.—στ. 23, Ταρσῶν.] Κωπῶν, ὧδε, ἀπὸ μέρους τὸ ὅλον. Ταρσὸς γὰρ ἢ Ταῤῥὸς, τὸ κάτω μέρος, εἴτουν τὸ πλατὺ τῆς κώπης.—στ. 22, Ἑκατὸν καὶ δέκα τριήρεις.] Ὅσας ἱστόρηκε καὶ Θουκυδίδης (Ζ, 60).

ΣΕΛΙΔ. 291, στ. 4, Τοῖς θεωμένοις.] Τοῖς ἐκ τῆς γῆς ὁρῶσιν, ἢ δῆλον ἐκ τῶν εἰρημένων τῷ Θουκυδίδῃ (Ζ, 71), παρ' ᾧ καὶ ἀντὶ τοῦ, Ξύςασιν τῆς γνώμης, γραπτέον εἶναι Ξύντασιν τῆς γνώμης, καὶ πρὸ ἐμοῦ ὀρθῶς ἐκ τοῦ σχολιαστοῦ συνεπέρανέ τις τῶν κριτικῶν, κἀγώ φημι τὸν ἑτέρως γράφοντα οὐδὲν οὐδέποτε συντόνῳ γνώμῃ κατανενοηκέναι τῶν καλῶν ἢ χρησίμων. Ἔςι δὲ Γνώμης ξύντασις ἡ τοῖς Γάλλοις λεγομένη contention d' esprit.—στ. 5, Ἀπροσδοκήτους.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀπροσδοκήτως.—στ. 8, Ἀλλαχόθεν ἄλλας ἐπιφερομένας.] Ἐξ ΕΔ (συναδούσης τῷ Α καὶ τῷ Λατίνῳ μεταφραστῇ), ΑΤ, Ἀλλαχόθεν ἄλλαις ἐπιφερομέναις, ἢ ὡς ἔγραψαν οἱ ΠΡ, Ἀλλαχόθεν ἄλλαις ἐπιφερομένας. Τὸ γὰρ ἑξῆς, Οἱ Ἀθηναῖοι ἐμάχοντο ἀθρόαις καὶ βαρείαις ταῖς ἰδίαις ναυσὶ πρὸς τὰς τῶν Συρακουσίων ναῦς, οὔσας κούφας καὶ ἐπιφερομένας ἄλλας ἀλλαχόθεν.—στ. 10, Ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέςρεφεν.] Ὧν ἀκοντίων καὶ τοξευμάτων τὴν εὐθυβολίαν παρέτρεπεν ὁ σάλος τῶν νεῶν, ἃ κατ' εὐθὺ φέρεσθαι ἐκώλυεν ἡ κίνησις τῶν νεῶν.—στ. 20, Οὖσαν, ἤδη πρὸ ὀφθαλμῶν ἔχοντες.] Ἐξ ΕΔ, ΑΤ, Οὖσαν. Ἃ δὴ πρὸς ὀφθαλμῶν ἔχοντες· ἀνθ' οὗ οἱ ΠΡ, ἑτέρως διορθοῦντες, ἔγραψαν, Οὖσαν, ἀεὶ πρὸ ὀφθαλμῶν ἔχοντες,

ΣΕΛΙΔ. 292, στ. 3, Ὑπέμεινεν.] ΠΡΔ, ΑΤ, Διέμεινεν.—Ἁ ψευδῶς ἔδεισεν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀψευδῶς, καὶ ἔδεισεν.—στ. 30, Λαμπρυνάμενος.] ΠΡΔ, ἐκ τοῦ Α, ΑΤ, Λαμπρυνόμενος.

ΣΕΛΙΔ. 293, στ. 11, Αὐτόν.] Προσέθηκα τὴν λέξιν ἐκ ΔΓ.—στ. 24, Ὦ Γύλιππε.] Ἐκ ΔΓ προσέθηκαν οἱ ΠΡ τὸ κλητικὸν μόριον.—στ. 25, Ὅς ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον.] Ὑπενόει τις τῶν ΠΡ, Εὐτυχίαις, ἀντὶ τοῦ, Ἀτυχίαις, γεγραφέναι τὸν Πλούταρχον. Ἡμῖν δὲ τὸ μὲν, Ἀτυχίαις κατὰ χώραν ἐᾶν χρῆναι δοκεῖ, τὴν δὲ ἄρνησιν προστιθέντας γραπτέον εἶναι, «Ὅς ΟΥ̓Κ ἐπὶ τηλικαύταις ἀτυχίαις ὄνομα καὶ δόξαν ἔσχον». Καί ἔστιν οἷον εἰρωνεία τις τὸ λεγόμενον, ἐπαύξουσα τὸ τῆς Νικίου τύχης οἰκτρὸν, Ἐμοῦ μὲν, ὃς ὄνομα καὶ δόξαν ἔσχον οὐκ ἐπὶ τηλικαύταις ἀτυχίαις, ἐν ἡλίκαις νῦν ἐξετάζομαι, ἀλλ' ἐπὶ τύχαις δηλονότι μακρῷ τῶν παρουσῶν ἐξηλλαγμέναις, μηδεὶς ἔλεος ὑμᾶς λαβέτω. Ὅτι δὲ ἡ ἄρνησις, ΟΥ̓, ἢ ΟΥ̓Κ, μετὰ τὴν ος συλλαβὴν, ἢ κακῶς προστέθειται, ἢ κακῶς παραλέλειπται πολλάκις ὑπὸ τῶν ἀντιγραφέων, ἀπεδείξαμεν ἀποχρώντως ἐν ταῖς εἰς τὸν Ἱπποκράτην σημειώσεσι (Περὶ ἀέρ. ὑδ. τόπ. Μέρ. Β, σελ. 44-46).

ΣΕΛΙΔ. 294, στ. 11. Ὧν Ἕλληνες.] ΠΡΔ, ΑΤ, Ὅν Ἕλληνες.—στ. 15, Εὐρυκλῆς ὁ δημαγωγός.] Προσέθηκα τὸ ἄρθρον ἐκ ΔΓ. Τὸν δὲ δημαγωγὸν τοῦτον, Διοκλέα, οὐκ Εὐρυκλέα, ὀνομάζει ὁ Σικελιώτης Διόδωρος (ΙΓ, 19).—στ. 16, Ἱερὰν ἔχειν.] Ἴσ. γρ. Ἱερὰν ἄγειν.—στ. 17, Ἀπὸ τοῦ ποταμοῦ.] Τοῦ καλουμένου Ἀσινάρου.—στ. 20, Ἀποδόσθαι.] Πωλῆσαι.—Τοὺς ἄλλους συμμάχους.] Τοὺς ἀπὸ τῆς Ἑλλάδος Ἀθηναίοις συμπαραγενομένους.—Αὐτοὺς δέ.] Τοὺς Ἀθηναίους.—στ. 21, Τοὺς ἀπὸ Σικελίας.] Τοὺς ἀπὸ Σικελίας καὶ Ἰταλίας συμμαχήσαντας Ἀθηναίοις, περὶ ὧν ἔπιθι τὸν Θουκυδίδην. (Ζ, 57).—στ. 23, Προσδεχομένων.] Καταχρηστικῶς ἀντὶ τοῦ, Ἀποδεχομένων, ἐκ τοῦ παρακμάζοντος ἑλληνισμοῦ. Εὕρηται δὲ ἐπὶ ταύτης τῆς σημασίας καὶ παρὰ τῷ Πολυβίῳ, καὶ παρὰ τοῖς συγγραφεῦσι τῆς Παλαιᾶς καὶ Νέας διαθήκης.—στ. 25, Ἐθορυβήθη.] Μετὰ θορύβου, ὡς μὴ καλῶς συμβουλεύων, ὠνειδίσθη.

ΣΕΛΙΔ. 295, στ. 7, Καταλευσθέντας.] ΔΓ, Κελευσθέντας ὅτινες τῶν ΠΡ, προκρίνουσι τοῦ, Καταλευσθέντας, διὰ τὸ, τὸν Θουκυδίδην (Ζ, 86), οὐ καταλευσθῆναι Νικίαν καὶ Δημοσθένην, ἀλλ' ἀποσφαγῆναι ὑπὸ Συρακουσίων, διαῤῥήδην εἰρηκέναι.—στ. 9, Καὶ δι' ἑνός.] Περιττὸς ἔδοξέ μοι ὁ σύνδεσμος· τὸ γὰρ ἑξῆς καὶ ὁ

νοῦς, ὡς ἐξεδέξαντο καὶ οἱ μεταφρασταί. Ἔτι τῆς ἐκκλησίας συνεστώσης, Ἑρμοκράτους πέμψαντος δὲ ἑνὸς (τουτέστι πέμψαντος ἕνα τῶν ἑαυτοῦ φίλων ἢ οἰκετῶν πρὸς τὴν Νικίαν καὶ Δημοσθένην), τῶν φυλάκων συγχωρησάντων τὴν εἴσοδον (τῷ πεμφθέντι), αὐτοὺς ἑαυτοῖς ἐπενεγκεῖν τὸν θάνατον. Καὶ τούτων ὅμως οὕτως ἡρμηνευμένων, οὐδὲν ἧττον ὕποπτός ἐστιν ἔμοιγε ἡ γραφὴ τοῦ χωρίου.—Παρέντων.] ΔΓ, Παρέντος. — στ. 12, Ἀσπίδα.] Μνημονεύει καὶ ἀλλαχοῦ (Περὶ τοῦ Σωκράτ. δαιμον. § 14) Πλούταρχος τῆς πολυτελοῦς ταύτης ἀσπίδος τοῦ Νικίου. — στ. 14, Συγκεκροτημένην.] Συνηρμοσμένην, συνημμένην. «Συγκροτεῖ, συνάγει, αὔξει, συνιστᾷ, καὶ συνδεῖ, πρὸς ἁρμονίαν ἄγει» φησὶ Φώτιος ἐν τῷ Λεξικῷ. Συνωνυμεῖ δέ πως τούτῳ καὶ τὸ Συγκρούειν, ἐπὶ ἱματίων ὑφῆς ταττόμενον· ὅθεν καὶ «Συγκρουστά (παρὰ Ἡσυχίῳ), ἱμάτια, ὧν ἡ κροκὶς ἀνατέτριπται», καὶ, «Συγκρούει (παρὰ τῷ αὐτῷ), συναθροίζει, ἢ συνευφραίνεται» (γρ. συνυφαίνει)». — στ. 18, Κοτύλας δύο κριθῶν.] Δύο κοτύλας σίτου φησὶ Θουκυδίδης (Ζ, 86), πλατύτερον τῷ τοῦ Σίτου χρησάμενος ὀνόματι, ὡσανεὶ ἔλεγε δύο κοτύλας Δημητρείου καρποῦ· κριθὰς γὰρ μᾶλλον, ἢ τὸν ἰδίως λεγόμενον σῖτον, Συρακουσίους παρασχεῖν Ἀθηναίοις εἰκός. Οἱ δὲ παρὰ τῷ Σικελιώτῃ Διοδώρῳ (ΙΓ, 19) Ἀλφίτων δύο χοίνικες, ἴσως ἡμάρτηνται τῇ γραφῇ, ὡς ὑπετόπασέ τις τῶν κριτικῶν· ὀκτὼ γὰρ κοτύλαις οἱ δύο χοίνικες ἴσοι· ἑκάστη δὲ κοτύλη οὐγγίας ἑπτὰ καὶ ἡμίσειαν γαλατικὰς δύναται. — στ. 19, Διακλαπέντες.] «Οἱ ἐπὶ πλεῖον παιδείας μετεσχηκότες, ὑπὸ τῶν νεωτέρων ἐξαρπαγέντες διεσώθησαν» φησὶ Διόδωρος ὁ Σικελιώτης (ΙΓ, 33). Καὶ σημειούσθων τὰ Ἑλληνικὰ μειράκια τῆς παιδείας τὸ χρήσιμον, καὶ μιμεῖσθαι τῶν Συρακουσίων μειρακίων τὸ φιλόμουσον προθυμείσθων, μὴ μόνον παιδεύεσθαι σπουδάζοντες, ἀλλὰ καὶ τοῖς παιδεύουσι κατὰ τῶν τῆς παιδείας ἐχθρῶν πάσῃ μηχανῇ συμμαχοῦντες, καὶ ἐξαρπάζοντες οὐκ ἐκ τῶν λατομιῶν, εἰς ἃς ἡδέως ἂν αὐτούς, εἴπερ ἐξῆν, ἐνέβαλον οἱ λατομίαις ἐνοικεῖν δίκαιοι, ἀλλ' ἐκ τοῦ θηριώδους αὐτῶν λάρυγγος, ὃν ὁ προφήτης ἀνεῳγμένῳ τάφῳ παρείκασε. — Ἢ καὶ διαλαθόντες ὡς οἰκέται.] Ὅσοι δηλαδὴ, προῃροῦντο τῶν λατομιῶν τὸ πωληθῆναι ὡς οἰκέται. — στ. 20, Καὶ τοὺς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. Οὐ πολλοὶ δ' ἦσαν κ. τ. λ.] Μεταμέλει μοι οὕτω γράψαντι, ΑΤ, Καὶ τούτους ὡς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. Ἀλλ' ἦσαν, οὐχ ὡς ὀρθῶς ἐχούσης ταύτης τῆς γραφῆς (ἣν καὶ οἱ ΠΡ

τρέπειν παρήνουν εἰς τὸ, Καίτοι οὓς ὡς οἰκέτας ἐπώλουν, ἐπώλουν στίζοντες κ. τ. λ.), ἀλλ' ὡς προσῆκον τὰ οὕτως ἀσαφῶς γεγραμμένα κατὰ χώραν ἐᾷν, δέει τοῦ ἀσαφέστερα καθιςάναι. — στ. 21, Ὑπομένοντες.] Ἴσ. γρ. Ὑπομείναντες. — στ. 22, Ἐβοήθει δὲ καὶ τούτοις.] Περιττὸς ἔδοξέ μοι ὁ δεύτερος τῶν συνδέσμων. Ὅπως δὲ ποτ' ἂν ἔχῃ τὰ τῆς γραφῆς, τοιοῦτον εἶναι τὸν νοῦν ὑπείληφα, 'Εβοήθει τοῖς μὴ ὑπομείνασι τὴν στίξιν, τουσέστιν, αἴτιον τοῦ μὴ ςιχθῆναι αὐτοὺς ἐγένετο, ἡ αἰδὼς καὶ τὸ κόσμιον. Ἵνα δὲ καταδηλότερον γένηται ὅπερ ἔφην τοῦ ὅλου χωρίου ὕποπτον, οὐκ ἄκαιρον καὶ τὰς μεταφράσεις παραθεῖναι. Ὁ μὲν οὖν Α ἡρμήνευσε, Vrai est qu' il y en eut beaucoup de derobez, qui furent vendus comme esclaves, et beaucoup aussi que lon ne cogneut pas, qui eschapperent pour valets, et furent aussi vendus pour serfz: mais à ceulx la on leur imprima sur le front la figure et marque d' un cheval, et s' en truva qui oultre la servitude endurerent encorc cette peine là, ausquelz leur humple patience et honesteté fut profitable. Ὁ δὲ Ἰταλὸς μεταφραστὴς, Et non pochi ne furon venduti, essendo trafugati, o passando per serventi; et à questi, che come serventi appunto vendevansi, improntato fu nella fronte un cavallo, soffrir dovendo, oltre la schiavitù, questo sfregio; a' quali per altro fu poi di giovamento la modestia et la compostezza loro. — στ. 24, Ἔνιοι δὲ καὶ δι Εὐριπίδην ἐσώθησαν.] Ἔπιθι τὰ ἀνωτέρω εἰς τὸν Λυσάνδρου βίον (§ 15 σελ. 370) σημειωθέντα.—στ. 24, Μάλιστα γὰρ, ὡς ἔοικε, τῶν ἐντὸς Ἑλλήνων κ. τ. λ.] Ἀντὶ τοῦ, Ἐντὸς (ὃ παρέλιπεν ὅλως ὁ Ἰταλὸς μεταφραστὴς), εἰσὶν οἱ παρήνεσαν γράφειν, 'Εκτὸς, ἵνα ᾖ ὁ λόγος περὶ τῶν τῆς Ἑλλάδος ἀποικιῶν, ὧν ἦσαν καὶ οἱ Σικελιῶται. Ὁ δ' Α, τὸ Μάλιστα ἐπὶ τῆς ἐννοίας τοῦ Μᾶλλον ἐκφράσας (car les Siciliens ont PLUS aimé la poësie de ce poëte que nulz autres Grecs du cueur de la Grece), δῆλός ἐςιν ἀμφιγνοήσας κἀκεῖνος περὶ τοῦ νοῦ τοῦ χωρίου.

ΣΕΛΙΔ. 296, στ. 2, Οὐ δεῖ δή.] ΠΡΔ, ΑΤ, Οὐ δεῖ δέ. — στ. 3, Τοὺς Καυνίους.] ΠΡΔ, ΑΤ, Τοῦ Καυνίου. Καὶ ταύτης μὲν τῆς γραφῆς ὁ νοῦς, ὥς γ' ἐξεδέξαντο οἱ μεταφραςαὶ, Τοῦ Καυνίου πλοίου ὑφ' ἑτέρων ληςρικῶν πλοίων διωκομένου καὶ κατάγεσθαι πειρωμένου, εἰς τοὺς τῆς Σικελίας λιμένας, τὸ μὲν πρῶτον οὐκ ἐδέχοντο, ἀλλ' ἀπεῖργον οἱ Συρακούσιοι, εἶτα

μέντοι διαπυνθανόμενοι τῶν Καυνίων, εἰ γινώσκουσιν ᾄσματα τῶν Εὐριπίδου, φησάντων ἐκείνων γινώσκειν, οὕτω συγχωρῆσαι καταγαγεῖν τὸ πλοῖον· τῆς δὲ διορθώσεως ἕτερος οὗτος, Πλοίου τινὸς ὑφ' ἑτέρων ληστρικῶν πλοίων διωκομένου, καὶ κατάγεσθαι πειρωμένου εἰς τοὺς λιμένας τῆς Καύνου, τὸ μὲν πρῶτον οὐκ ἐδέχοντο, ἀλλ' ἀπεῖργον οἱ Καύνιοι, εἶτα μέντοι διαπυνθανόμενοι τῶν ἐν τῷ πλοίῳ, εἰ γινώσκουσιν ᾄσματα τῶν Εὐριπίδου, φησάντων ἐκείνων γινώσκειν, οὕτω συγχωρῆσαι καταγαγεῖν τὸ πλοῖον. Καὶ πιθανωτέρα μὲν ἔοικεν ἡ διόρθωσις εἶναι, ἀλλ' οὐχ ὥστε καὶ νοθείαν ἀναμφιλέκτως τῆς ἀρχαίας καταγινώσκειν γραφῆς. Ἡ δὲ Καῦνος Καρίας πόλις ἐστὶν, ἑτέρας Καύνου, Κρητικῆς πόλεως, ἄποικος, καὶ Πρωτογένους τοῦ ἐπισήμου ζωγράφου πατρίς.—στ. 4, Μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μὴ μάχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν. Καὶ αὕτη μὲν ἡ γραφὴ προδήλως ἡμάρτηται· ὑπονοεῖν μέντοι παρέχει ἑτέραν ἧττον ἡμαρτημένην γραφὴν τήνδε, Μάχεσθαι τὸ πρῶτον καὶ ἀπείργειν.—στ. 6, Τῶν Εὐριπίδου.] Ἐξ ΕΔ ἢ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοῦ Εὐριπίδου.—Παρεῖναι καταγαγεῖν τὸ πλοῖον.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Παρεῖναι καὶ καταγαγεῖν.—στ. 10, Ἐπὶ κουρείῳ.] Ἐξ ΗΔ, ΑΤ, Ἐπὶ κουρεῖον. Τῶν δὲ ΠΡ τις παρῄνει γράφειν, Ἐπὶ κουρείου.—στ. 17, Λογοποιός.] Ψευδῶν λόγων εὑρετὴς καὶ πλάστης· ὅθεν καὶ Λογοποιοὺς ἔλεγον τοὺς Μυθοποιοὺς, οἷος ἦν Αἴσωπος. Ἐξ ἐναντίας δὲ καὶ τοὺς Ἱστορικοὺς, καὶ μάλιστα τοὺς ἀρχαίους, οἷος ἦν Ἑκαταῖος, ἐδήλου τοὔνομα, ὥσπερ ἐν ἄλλοις (Ἰσοκράτ. Β, σελ. 73, 174 καὶ 337) ἐξηγησάμεθα. Σουΐδας δὲ ἀκρίτως πάνυ, οἷα φιλεῖ, συνέχεε τὰς ἐναντίας δυνάμεις τοῦ ὀνόματος, λέγων, « Λογοποιὸς, ὁ » ὑφ' ἡμῶν Ἱστορικὸς λεγόμενος. Ἰσοκράτης καὶ Ἡρόδοτος. Ὅς ἐστιν » εὑρετὴς λόγων καὶ ἀποκριμάτων »· πλὴν εἰ μὴ γραφέων ἀβλεψίᾳ ἐξερρύη σύνδεσμός τις τοῦ χωρίου, οἷον... Ἡρόδοτος. Καὶ ὅς ἐστιν εὑρετὴς κ. τ. λ. ἢ, Ἡρόδοτος. Ἔστι δὲ, καὶ εὑρετής.

## ΜΑΡΚΟΣ ΚΡΑΣΣΟΣ.

ΣΕΛΙΔ. 297, στ. 6, Τῇ γυναικὶ συνῴκησε.] Τὴν τοῦ ἀποθανόντος ἀδελφοῦ γυναῖκα ἠγάγετο. Τινὲς δὲ (ὧν ἐστι καὶ ὁ Ἰταλὸς μεταφραστὴς) οὐκ ἐπὶ γαμικῆς συνοικήσεως ἐξεδέξαντο τὸ λεγόμενον, ἀλλ' ἁπλῶς ἐπὶ τῆς ἐν τῷ αὐτῷ οἴκῳ διατριβῆς καὶ διαίτης, διὰ τὸ ἐπαγόμενον

ἐνάρθρως, Τοὺς παῖδας, δι' οὗ φασι τοῦ ἀποθανόντος ἀδελφοῦ παῖδας δηλοῦσθαι, οὓς ὁ Μάρκος Κράσσος κατέσχεν εἰσποιησάμενος. —Καὶ*τοὺς*παῖδας ἐξ ἐκείνης ἔσχεν.] Διαγραπτέον ἔδοξέ μοι εἶναι τὸ ἄρθρον, ἵν', ὡς ἔφην, νοεῖσθαι ἔχοιεν, οὐ τοῦ ἀδελφοῦ παῖδες, ἀλλ' οὓς αὐτὸς Μάρκος Κράσσος ἐκ τῆς ἐκείνου γυναικὸς ἐτεκνοποιήσατο. Οὕτω δὲ καὶ ὁ Α ἡρμήνευσε τὸ χωρίον.—στ. 9, Λικιννία.] Περιττὸν τὸ ἕτερον τῶν δύο ν· Licinia γὰρ Ῥωμαϊστὶ καλεῖται.—Συνεῖναι.] Ἐξ ΗΔ, ΑΤ, Συνιέναι.—στ. 18, Ἔοικε δὲ μία μὲν, πασῶν δ' ἐῤῥωμενεστέρα κ. τ. λ.] Προσέθηκα τὸν, Μὲν, σύνδεσμον, ἀναγκαῖον ἐνθάδε γοῦν ὄντα διὰ τὸν ἑπόμενον, Δέ. Οἱ δὲ ΠΡ, αὐτὸν τοῦτον διαγράψαντες τὸν, Δὲ, καὶ τὴν ὑποστιγμὴν, ἔγραψαν, Ἔοικε δὲ μία πασῶν ἐῤῥωμενεστέρα. Ὁ δὲ Στέφανος παρῄνει (καὶ μεταμέλει μοι μὴ πεισθέντι τῇ παραινέσει) γράφειν μετ' ἀρνήσεως, Ἔοικε δ' οὐ μία, πασῶν δ' ἐῤῥωμενεστέρα, ὡς ἐξέφρασαν καὶ ὁ Α, καὶ ὁ Ἰταλὸς μεταφραστής.—στ. 23, Παρὰ τὴν πολιτείαν.] Καθ' ὃν χρόνον ἐπολιτεύετο, καθ' ὃν χρόνον ἔπραττε τὰ κοινά.—στ. 24, Τρεῖς δὲ μῆνας.] Ἐκ ΔΓ, ἣν πιστοῦται τὰ ἐν τοῖς ἑξῆς (§ 12, σελ. 310) ῥηθησόμενα, ΑΤ, Τρεῖς δὲ μνᾶς.

ΣΕΛΙΔ. 298, στ. 1, Ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις.] Ταῦθ' ὁ πρὸ τοῦ φίλου Κλαυερίου τὴν Ἀμιότου μετάφρασιν ἐκδοὺς, ἐκλογιζόμενος, πλέον φησὶ δύνασθαι τριάκοντα καὶ τριῶν (τῶν κοινῶς καλουμένων) Μιλλιονίων λιτρῶν Γαλατικῶν.—στ. 5, Τῶν ἀνῃρημένων.] Ἐκ ΔΓ οἱ ΠΡ προσέθηκαν τὸ ἄρθρον.—στ. 6, Κρατίστοις.] Ἐξ ΗΔ, ΑΤ, Ἀκρατίτοις· ὅπερ ἕτεροι εἰς τὸ, Ἀκροτάτοις τρέπειν παρῄνουν. Μαρτυρεῖ δέ μου τῇ διορθώσει καὶ ὁ Α, διὰ τοῦ des plus grands et plus puissans τὸ ἡμέτερον, Κρατίττοις, παραφράζων.—στ. 9, Κῆρας.] Βλάβας, συμφοράς, ὡς ἐξηγεῖται Ἡσύχιος.—στ. 15, Οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν ἰδίαν οἰκίαν.] Ἐκρυῆναί τι τοῦ χωρίου εἰκὸς μετὰ τὰς λέξεις ταύτας, ὡς εἴκασε καί τις τῶν ἀρχαίων Λατίνων μεταφραστῶν. Πρὸς τί γὰρ χρήσιμοι τῷ Κράσσῳ οἱ οἰκοδόμοι μηδὲν οἰκοδομοῦντι; Ἴσως οὕτως εἶχε πάλαι ἡ ἐντελὴς γραφὴ, «Οὐδὲν » ᾠκοδόμησεν αὐτὸς ἢ τὴν ἰδίαν οἰκίαν· ἀλλ' [αὐτοὺς ἐξεμίσθου τοῖς » βουλομένοις, οἷς ἀπεδίδοτο πολλοῦ τὰ ἐδάφη]. Ἔλεγε [γὰρ] τοὺς κ. τ. λ.» Τοῦθ' οὕτως ἐξέφρασεν ὁ Ἰταλὸς μεταφραστὴς (ἀκολουθῆσαι δεῖν γνοὺς ᾧπερ ἔφην ἀρχαίῳ Λατίνῳ μεταφραστῇ) Mà li accordava per danari ad altri cittadini che fabbricar volessero, à quali vendeva pure a caro prezzo il sito et lo spazio dov' erger la

fabbrica.—στ. 17, Ἀργυρείων.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Ἀργυρίων. Ἔστι γὰρ ἐλλειπτικὸν τοῦ Μετάλλων.

ΣΕΛΙΔ. 299, στ. 1, Κατὰ τὸν Ἀρχίδαμον.] Τὸν Λακεδαιμονίων βασιλέα, οὗ καὶ ἀλλαχοῦ (Κλεομ. § 27, καὶ ἐν τοῖς Ἀποφθέγμ.) Πλούταρχος ἐμνημόνευσεν ὡς ἀποφθεγξαμένου τὸ, Ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται· ἐν μέντοι τῷ Δημοσθένους βίῳ (§ 17) Κρωβύλῳ τῷ δημαγωγῷ ἀνατίθησι τὸ ἀπόφθεγμα.—στ. 2, Ἀπηρτημένως.] Ἐξ ΗΔ ἡ τροπὴ τῆς μετοχῆς Ἀπηρτημένος εἰς τὸ ἐπίῤῥημα Ἀπηρτημένως. Ἀναφέρεται γὰρ εἰς τὸ ἕτερον ἐπίῤῥημα, Οὐκ εὖ, καὶ ἔςι τοῦ λόγου ὅτε νοῦς καὶ ἡ συνάρτησις· Καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος...ἐκεῖνο δ' οὐκ εὖ (τουτέςι κακῶς)...καὶ πολὺ ἀπηρτημένως (τουτέςιν ἐναντίως) τῆς γνώμης τοῦ Μαρίου. Ἔςι γράφειν καὶ Ἀπηρτημένον οὐδετέρως, πρὸς τὸ Ἐκεῖνο.—στ. 7, Ἡ οἰκία.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 10, Λαώδης.] Σημειοῦ τὴν λέξιν ὡς οὐ τῶν τετριμμένων οὖσαν.—στ. 15, Ὑπερέβαλεν.] Ἐξ ΗΔ, ΑΤ, Ὑπερέβαλλεν.—στ. 25, Ἀλέξανδρον.] Τὸν κατὰ Σουίδαν Μιλήσιον, καθ' ἑτέρους δὲ, Κοτιαέα Ἀλέξανδρον, τὸν ἐπικληθέντα διὰ τὴν πολυμαθίαν Πολυΐςορα, εἶναι τοῦτον ὑπενόησαν οἱ ΠΡ. Ἔςι καὶ ἕτερος τοῖς χρόνοις νεώτερος Ἀλέξανδρος, Αἰγαῖος, Περιπατητικὸς φιλόσοφος, διδάσκαλος Νέρωνος, ὃς καὶ ἐκάλει τὸν Νέρωνα, Πηλὸν αἵματι πεφυρμένον.—στ. 29, Στέγαςρον.] Ὁ μὲν Α ἐξέφρασε διὰ τοῦ Chappeau, ὁ δὲ Ἰταλὸς μεταφραστὴς διὰ τοῦ Cappello, τουτέστι τοῦ παρὰ τοῖς εὐνομουμένοις τῶν Εὐρωπαίων ἐν χρήσει κεφαλῆς καλύμματος, ὅπερ ἡμεῖς Σκιάδιον καλοῦμεν. Ἀλλὰ τὸ Στέγαςρον δηλοῖ μὲν ἐν γένει Σκέπασμα· ἰδίως δ' ἐνθάδε φορείου ἢ ἀπήνης εἶδος ἄνωθεν κεκαλυμμένης, ἵνα ςέγῃ τοὺς ὄμβρους, ἣν οἱ Ῥωμαῖοι Segestrium ἢ Segestrum ἐκάλουν, αὐτὴν ταύτην τὴν ἑλληνικὴν λέξιν μεταποιήσαντες, ὡς ἔδοξεν ἀνδρὶ Ῥωμαίῳ τῷ Οὐάῤῥωνι. Καὶ διορθούσθω ἡμῖν ἐν παρόδῳ τὸ ἀρχαῖον Λατινογραικικὸν Λεξικὸν, ἐν τούτοις, « Segestrum, στέγαστρον ΤΕΡΑΔΕΡΜΟΝ » ἐν οἷς οἱ κριτικοὶ τὴν τελευταίαν λέξιν εἰς τὸ, Γεράδερμον (ἐπὶ τῆς σημασίας τοῦ γεραιοῦ ἤγουν τοῦ παλαιοῦ δέρματος, vetus pellis, ὥς φησιν Οὐόσσιος) μεταποιεῖν παρῄνουν, οὐκ ὀρθῶς ἔμοιγε κριτῇ. Γραπτέον γὰρ διὰ διπλοῦ τοῦ ρ, ΓΕΡΡΑΔΕΡΜΟΝ (ἢ Γεῤῥόδερμον), ἵν' ᾖ τὸ ἐκ Γέῤῥων σκέπασμα. Γέῤῥον δὲ λέγεται τὸ δέρμασι περιειλημένον οἰσύϊνον ἢ λύγινον πλέγμα, τὸ ἐπιτιθέμενον ταῖς ἁμάξαις, ἀνάλογον τῷ παρὰ τοῖς Γάλλοις Banne καλουμένῳ, καὶ οἷα ἦσαν τὰ τῶν ἀρχαίων Γερμανῶν, περὶ ὧν ὁ Στρά-

δων (Ζ, σελ. 294) φησίν· « Ἐν δὲ τοῖς ἀγῶσιν ἔτυπτον τὰς βύρσας » τὰς περιτεταμένας τοῖς γέῤῥοις τῶν ἁρμαμαξῶν, ὥςτ' ἀποτελεῖσθαι » ψόφον ἐξαίσιον ». Ἐξηγεῖται δὲ καὶ Ἡσύχιος, « Γέῤῥα, τὰ σκεπάσ- » ματα πάντα, ἢ τὰ δερμάτινα σκεπάσματα, τὰς σκηνάς ».—στ. 30, Φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος.] Ταῦτα οὐ Πλουτάρχου γνήσια εἶναί μοι δοκεῖ ῥήματα, ὡς ἔδοξε καί τινι τῶν ΠΡ, ἀλλ' ὑπό τινος φιλοπλουτάρχου ἀνδρὸς λογίου παραγεγραμμένα ᾧ ἐχρῆτο ἀντιγράφῳ, ὑπὸ τῶν ὕςερον ἀντιγραφέων τινὸς, ὡς προσήκοντα Πλουτάρχῳ, αὐτῷ τῷ χωρίῳ ἐγγεγράφθαι. Ὁ δὲ νοῦς, Οὐδ' ἐκείνων ὁ τλήμων Ἀλέξανδρος ὢν τῶν φιλοσόφων, τῶν τὴν πενίαν ἀδιάφορον νομιζόντων, ἀλλὰ τῶν περιπατητικῶν, οἳ πενίαν τε καὶ πλοῦτον οὐκ ἐν τοῖς ἀδιαφόροις ἔταττον.

ΣΕΛΙΔ. 300, στ. 2, Κίννας καὶ Μάριος κρατήσαντες.] Ἐξ ΕΔ, ΑΤ, Κίννα καὶ Μαρίου κρατήσαντος, σολοίκου γενικῆς, τοῖς τῶν Αἰσωπείων μύθων διασκευαςαῖς μᾶλλον ἢ Πλουτάρχῳ πρεπούσης· οὕτω γὰρ ἐκεῖνοι (Μύθ. Αἰσωπ. συναγ. σελ. 423 ἐμ. ἐκδ.),

Τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος,
Ἦρε τὸν φραγμὸν καὶ καθελὼν ἀπῄει.

—στ. 15, Ἕνα δοῦλον.] Διαγραπτέον μοι ἔδοξεν εἶναι τὸ ἀριθμητικὸν ὄνομα· πλὴν εἰ μή τις γεγράφθαι πάλαι ὑπολάβοι, Ἕνα τῶν δούλων. —στ. 16, Ἐπιλιπόντων.] ΠΡΔ, ΑΤ, Ἀπολιπόντων.—στ. 19, Δεῖπνον πεποιημένον.] Παρεσκευασμένον καὶ εἰς βρῶσιν ἕτοιμον.—στ. 21, Προειπών.] Ἀπειλήσας.—στ. 23, Κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι λεπτὴν καὶ ἀσαφῆ ΠΑΡΑΠΕΜΠΟΥΣΙ ΛΑΥΡΑΝ ἌΓΟΥΣΑΝ εἴσω.] Ἐξ ΗΔ, ΑΤ, ΠΑΡΑΠΕΜΠΟΥΣΙΝ ΑΥ̓ΡΑΝ ἈΝΆΓΟΥΣΙΝ· οὗ τὸ δυσνόητον, ἢ μᾶλλον ἀνόητον, συνεωρακότες οἱ ΠΡ, διορθοῦν ἐπεχείρησαν τρέποντες τὴν τελευταίαν λέξιν, οἱ μὲν εἰς τὸ, Διάγουσιν, οἱ δὲ εἰς τὸ, Ἀνάγουσαν. Ὁ νοῦς τῆς ἡμετέρας διορθώσεώς ἐςιν οὗτος, Κρημνοὶ παραλλήλως ἑκατέρωθεν προϊόντες παραπέμπουσι καὶ οἱονεὶ συνοδεύουσι μέχρι τοῦ στομίου, δίοδόν τινα στενὴν καὶ μόλις δῆλον τοῖς ἔξωθεν, ἣ ἄγει εἰς αὐτὸ τὸ σπήλαιον. Λαύρα, καθ' Ἡσύχιον, στενωπὸς ἢ ῥύμη στενή. Φησὶ δὲ καὶ ὁ Εὐστάθιος (εἰς τὴν Χ ῥαψῳδ. τῆς Ὀδυσσ. σελ. 1921), « Λαύρα δὲ στενὴ ὁδὸς, ἄμ- » φοδος...Ἐν δὲ ῥητορικοῖς Λεξικοῖς φέρεται, καὶ ὅτι Λαύρα, ἡ » ἀμάρα, καὶ ὅτι Λαῦραι, ῥύμαι, κῶμαι, ςενωποὶ, ὑπόνομοι ». Καλῶς οὖν ὁ Ἐτυμολόγος καὶ ὁ ἐξ ἐκείνου παρειληφὼς Ζωναρᾶς, τὴν

Λαύραν, πλατεῖαν ῥύμην ἐξηγήσαντο. Λαύρας δὲ οἱ Βυζαντινοὶ συγγραφεῖς ἐκάλουν καὶ τῶν καταμόνας βιούντων Μοναχῶν, τῶν καὶ Ἀναχωρητῶν διὰ τοῦτο καλουμένων, τοὺς οἰκίσκους, ἀντιδιεσταλμένως πρὸς τὰ Κοινόβια τῶν αὐτῶν Μοναχῶν. Ὕστερον δὲ ἐξενίκησε τοὔνομα ἐπὶ παντὸς Μοναστηρίου λέγεσθαι· νῦν δὲ ἐφ᾽ ἑνὸς μόνου τῶν κατὰ τὸν Ἄθω Κοινοβίων τέτακται. Ἄλλως δὲ ἡ παρ᾽ ἡμῖν συνήθεια, Λαύραν, ἢ μᾶλλον Λάβραν, ὀνομάζει τὸ μέγα καῦμα, ἣν ὁ Δουκάγγιος (σελ. 793) ἀγνοήσας συνέχεε μετὰ τῆς τῶν Μοναχῶν Λαύρας. «Λαύρα » (φησὶν Ἡσύχιος), ἡ φλόξ». Τοῦτο δὲ ἴσως ἀπὸ ἐπιθέτου (κατὰ τὸ Αἰθομένῃς πυρὶ λάβρῳ τοῦ Ὀππιανοῦ) εἰς οὐσιαστικὸν μετέπεσε. —στ. 26, Δι᾽ ἀλλήλων.] ΠΡΔ, ΑΓ, Δι᾽ ἄλλων.—στ. 28, Ὑποῤῥεῖ.] ΔΓ, Ἀποῤῥεῖ.—στ. 29, Ῥωχμοί.] «Ῥωχμὸς, ῥῆγμα γῆς» φησὶ Φώτιος. Ἔστι δὲ Ὁμήρου (Ἰλιάδ. ψ, 420) ἡ λέξις. Λέγεται καὶ διὰ τοῦ γ Ῥωγμός· «Ῥωγμὸς (φησὶν Ἡσύχιος) ΟΓΚΟΣ, κοῖλος τόπος, » ῥῆξις». Ὅπου γραπτέον, ΟΓΜΟΣ, ὅ ἐστιν, αὖλαξ.

ΣΕΛΙΔ. 301, στ. 11, Ἡδοναῖς.] Οὕτω διώρθωκε Στέφανος ἐκ ΔΓ, ΑΤ, ὭΡΑΙΣ. Καὶ τὸ μὲν, Ὥραις, προδήλως ἡμάρτηται· ὑπονοεῖν γε μὴν παρέχει μήποτε πάλαι ἐγέγραπτο, ΟΡΜΑΪΣ, ὃ μακρῷ προέχειν ἐνθάδε τοῦ, Ἡδοναῖς, ἰσχυρισαίμην ἂν ἔγωγε.—στ. 29, Μαλάκην.] Τὴν Malaga νῦν καλουμένην ὑπὸ τῶν Γάλλων, ἧς καὶ Στράβων (Γ, σελ. 156) μνημονεύει. Φέρει δὲ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς καὶ οἶνον ἐν τοῖς μάλιστα ἐπίσημον τὸν Μαλακιτανὸν λεγόμενον (vin de Malaga.)

ΣΕΛΙΔ. 302, στ. 6, Ἐνεργούς.] ΔΓ, Συνεργούς.—στ. 9, Σὺν ὀργῇ καὶ σφόδρα.] Γραπτέον ἴσως περιαιροῦντα τὸν σύνδεσμον, Σὺν ὀργῇ σφοδρᾷ.—στ. 12, Ἔργῳ.] Οὐκ ἀπιθάνως ὑπετόπασάν τινες μήποτε γραπτέον ἐστὶν, Ἐγώ.—στ. 27, Τουδερτίαν.] Ἐκ ΔΓ (συνᾳδόντων καὶ τῶν μεταφραστῶν), ΑΤ, Τουρδετίαν. Ἔστι δὲ ἡ παρὰ τοῖς Ἰταλοῖς νῦν καλουμένη Todi.—στ. 30, Ἐνίων δὲ καὶ συντριβέντων.] Ἐξ ΕΔ προσέθηκαν οἱ ΠΡ, τὸν πρῶτον τῶν συνδέσμων.

ΣΕΛΙΔ. 303, στ. 9, Κατεργάσασθαι.] Τὸ Μαλάξαι, δουλῶσαι, ὑποχειρίους ποιῆσαι, σημαίνει ἐνθάδε ἡ λέξις, οὐδὲ τέτακται ἐφ᾽ ἧς σημασίας ἐχρήσατο Παῦλος ὁ Ἀπόστολος (Κορινθ. Β, έ, 5) ὡς ἔδοξέ τῳ τῶν ΠΡ, ἀλλὰ σχεδόν τι ἐφ᾽ ἧς οἱ Ἑβδομήκοντα (Κριτ. ιϛ΄, 16), «Κατειργάσατο αὐτὸν ἐν λόγοις αὐτῆς». Σημαίνει γὰρ ἄλλως ἡ λέξις, καὶ τὸ καταπονῆσαι, τουτέστι μόχθῳ καὶ πόνῳ πολλῷ τρῖψαι. Ὅθεν παρὰ μὲν Ἡσυχίῳ ἐπιθετικῶς καὶ ὀξυτόνως τὸ «Κατεργὸν, πεπαλαι» ωμένον», ἐν δὲ τῇ παρ᾽ ἡμῖν συνηθείᾳ οὐσιαστικῶς καὶ προ-

παροξυτόνως τὸ Κάτεργον, τὸ δηλοῦν οὐ μόνον ἁπλῶς τὴν παρὰ τοῖς ἀρχαίοις τριήρη, ἀλλ' ἰδιαίτερον καὶ τὴν, ἐν ᾗ δεδεμένοι πόνοις κατατρίβονται οἱ κακοῦργοι, καὶ ὁ Κατεργάριος, κυρίως μὲν ὁ εἰς τὸ Κάτεργον ἐμβεβλημένος διὰ κακουργίαν, μεταφορικῶς δὲ καὶ ὁ Κατέργου ἄξια δρῶν.—στ. 17, Ὡς πηλίκος;] Ὡς πόσον μέγας;—στ. 18, Σπουδαῖς.] Ταῖς τοῦ τυχεῖν ἀρχῶν καὶ τιμῶν ἐπιμελείαις, ἃς Γάλλος ἀνὴρ διὰ τοῦ intrigues ἐνθάδε οὐκ ἀφυῶς ἂν ἐκφράσειε (Προδρ. Ἑλλ. Βιβλ. σελ. 299), ἢ διὰ τοῦ brigues. Ἐκ τούτου δὲ καὶ τὸ παρὰ τῷ Φωτίῳ καὶ τῷ Σουΐδᾳ, «Σπουδαρχιάσας, ἐπιθυμήσας ἄρξαι, σπου-» δάσας, ἐπιμεληθεὶς τυχεῖν τῆς ἀρχῆς», ᾗ λέξει ἐχρήσατο Ἀριστοτέλης (Πολιτικ. έ. 5), καθὰ καὶ τῷ, Ἐρίθεια, καὶ τῷ, Ἐριθεύεσθαι (Αὐτ. έ, 2 καὶ 3), καὶ ὁ παρὰ τῷ Ξενοφῶντι (Συμποσ. ά, 4) Σπουδάρχης, ὃν Ἀριστοφάνης (οὐκ Αἰολικῶς, ὡς ὑπέλαβον ὁ σχολιαστὴς καὶ ὁ Σουΐδας, ἀλλὰ κωμικῶς παίξας) κατὰ πατρωνυμικὸν τύπον ἐξέφρασε, Σπουδαρχίδην (Ἀχαρν. 595.)

—Πολίτης χρηστὸς, οὐ σπουδαρχίδης,
Ἀλλ', ἐξ ὅτου περ ὁ πόλεμος, στρατωνίδης·
Σὺ δ', ἐξ ὅτου περ ὁ πόλεμος, μισθαρχίδης.

ΣΕΛΙΔ. 304, στ. 4, Τιμωμένοις μέν.] Ἐκ ΔΓ προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ.—στ. 13, Τριάκοντα καὶ ὀκτακοσίων ταλάντων.] Ἶσον σχεδόν τι δύνασθαι τέσσαρσι τοῖς καλουμένοις Μιλλιονίοις λιτρῶν Γαλατικῶν, ἐσημειώσατο ὁ πρὸ τοῦ Κλαυερίου τὴν Ἀμιότου μετάφρασιν ἐκδούς.—στ. 16, Τῷ θαυμαζομένῳ.] Ἐξ ΗΔ, ΑΤ, Τὸ θαυμαζόμενον. Ὁ νοῦς, Ἐκ τοῦ δι' ἀρετὴν θαυμάζεσθαι μᾶλλον ἴσχυεν ἢ ἐκ τῆς δυνάμεως.—στ. 24, Φόβῳ δ' οὐκ ἔλαττον.] Μᾶλλον δὲ διὰ φόβον.—στ. 28, Χόρτον ἔχειν ἔφησεν ἐπὶ τοῦ κέρατος.] Ῥωμαϊστὶ, Foenum habet in cornu. Ἡ παροιμία ἐπὶ τῶν ἑτοίμων ἀμύνεσθαι, καὶ εἰς τὸ βλάπτειν ἑτέρους εὐεπιφόρων.—στ. 29, Κυρίττοντα.] Τῷ κέρατι τύπτοντα. «Κυρίττοντες (φησὶν Ἡσύχιος), κερατίζοντες, κεφαλαῖς πλήσ-» σοντες». Καὶ τὸ μὲν, Κερατίζειν, τοῦ παρακμάζοντός ἐστιν ἑλληνισμοῦ· ἡ δὲ παρ' ἡμῖν συνήθεια, Κουτουλῶ ἢ μᾶλλον Κουτελίζω (Δουκάγγ. σελ. 745,) τοῦτο λέγει, ὅπερ ἐστὶ παρὰ τὸ Κούτελον, τὸ δηλοῦν τὸ Μέτωπον, περὶ οὗ ἔπιθι τὰ ἀλλαχοῦ (Πρόδρ. Ἑλλ. Βιβλ. σελ. 354-355) εἰρημένα. Τὸ δὲ Κυρίττειν τῆς Αἰολέων ἔοικεν εἶναι διαλέκτου παρὰ τὸ Κορύπτειν, τροπῇ τοῦ ο εἰς υ, ὥσπερ καὶ Ὄνυμα λέγουσι τὸ Ὄνομα, καὶ τοῦ πτ εἰς τὸ ττ, καθὰ καὶ

Πέττω φασὶ τὸ Πέπτω (Προδρ. Ἑλλ. Βιβλιοθ. Αὐτοσχ. ςοχ. ϟϛ́).

ΣΕΛΙΔ. 305 στ. 3, Βατιάτου.] Βαρβάτου, γράφειν δεῖν ὑπέλαβόν τινες, παρὰ τὸ Ῥωμαϊκὸν Barbatus, ὃ σημαίνει τὸν παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσι Πωγωνάτον (Πλουτάρχ. Μέρ. Β, σελ. 377). — στ. 20. Αὐτὸν οὐκ εἰς εὐτυχές.] Ἐξ ΗΔ ἡ προσθήκη τῆς ἀρνήσεως. Οἱ ΠΡ ὑπετόπασαν γραπτέον εἶναι, Εἰς ἀτυχές, ἁπλούστερον μὲν οὐ μὴν πιθανώτερον διορθοῦντες· εἰκὸς γὰρ μᾶλλον τὴν ἄρνησιν ἐξεῤῥυηκέναι τοῦ χωρίου διὰ τὴν πρὸς τὴν λήγουσαν τῆς προηγουμένης λέξεως, Αὐτὸν, ὁμοιότητα. — στ. 26, Ἐν ὄρει.] Τὸ καλούμενον Οὐεσούϊον ἢ Βεσούβιον ὄρος (Γαλλ. le mont Vésuve) εἶναι τοῦτο ἐσημειώσατό τις τῶν ΠΡ. — στ. 28, Λισσάδας.] « Λισσὸν (φησὶν » Ἡσύχιος), ἄναντες, ἀπότομον, ὑψηλὸν κ. τ. λ. ».

ΣΕΛΙΔ. 306, στ. 7, Προσεγένοντο.] Ἐξ ΗΔ (συναδούσης τῷ Α), ΑΤ, Προσεγίνοντο. —Βοτήρων.] Οὓς ἀνωτέρω (σελ. 360) διὰ τοῦ ω, Βωτῆρας, εἴρηκεν. Ἔστι δὲ συνώνυμον ὁ Βοτὴρ τῷ Βουκόλος, ὅ ἐστι, Βοῶν νομεὺς, πρὸς ἀντιδιαστολὴν τοῦ Ποιμένος, τουτέστι τοῦ προβάτων νομέως.—Ποιμένων.] Ἐξ ΕΔ, ΑΤ, Ποιμένες.—στ. 8. Πλῆκται.] « Πλήκτης, μάχιμος, ὑβριστὴς » φησὶν Ἡσύχιος.—στ. 12, Αὐτοῦ.] ΔΓ, Αὐτῷ.—στ. 14, Σαλίνας.] Ἐξ ΗΔ, ΑΤ, Σαλήνας. Ἔστι γὰρ παρὰ τὸ Ῥωμαϊκὸν Salinæ, ὃ ταὐτὸν δύναται τοῖς παρ' Ἕλλησιν Ἁλοπηγίοις. — στ. 18, Τέλος τούς.] ΔΓ, Τέλος δὲ τούς.—στ. 22, Αὐτάς.] Ἐξ ΗΔ (συναδούσης τῷ Ἰταλῷ μεταφραστῇ) τὸ Αὐτὰς (πρὸς τὸ Ἄλπεις), ΑΤ, Αὐτούς. στ. 26, Ἀλλὰ δή.] Ἄμεινον ἂν ἐγράφετο, Ἀλλ' ἤδη.

ΣΕΛΙΔ. 307, στ. 9, Εἵλετο.] Ἐκ ΔΓ, ΑΤ, Εἵλοντο. — στ. 13, Ἁψιμαχεῖν.] Συνάπτειν μάχην. Τοῦτό τε καὶ τὰ συγγενῆ ὀνόματα παρὰ τὸ Ἅπτω συντεθεῖσθαι, τοῖς πλείστοις ὑπείληπται· ἥ γε μὴν ἑρμηνεία τῆς λέξεως οὐ πάνυ τι συνᾴδουσα φαίνεται τῇ ὑπολήψει. Καὶ γὰρ Ἡσύχιός φησιν, « Ἁψιμαχία, συναφὴ μάχης » ὃ μάλιστα προσήκει τῷ προκειμένῳ τοῦ Πλουτάρχου χωρίῳ, ἐν ᾧ τὸ Ἁψιμαχεῖν διὰ τοῦ, Συνάπτειν μάχην, ἡρμηνεύσαμεν. Ὁ αὐτὸς μέντοι Ἡσύχιος φησὶν, « Ἀψίμαχος, ἐπίμαχος, ἐπίφορος μάχης (γρ. εἰς μάχην] », καὶ αὖθις, « Ἀψίκορον, ἄπληστμον (γρ. Πλήσμιον), ἢ ἅμα τῷ ἅψασθαι κορεννύμε» νον ταχέως ». Εἴρηκε δέ που καὶ Ἀριστοτέλης (Ῥητορικ. Β, ιβ́, 4) περὶ τῶν νέων τὸν λόγον ποιούμενος, « Εὐμετάβολοι δὲ καὶ ἁψίκοροι πρὸς » τὰς ἐπιθυμίας· καὶ σφόδρα μὲν ἐπιθυμοῦσι, ΤΑΧΥ δὲ παύονται», διὰ τοῦ, Ταχὺ, αἰνιξάμενος, ὅτι τὸ Ἁψίκορος οὐδὲν ἕτερον δηλοῖ ἢ τὸν

ταχέως

ταχέως κορεννύμενον, καθὰ καὶ τὸ Ἀψίμαχος, τὸν ταχέως μαχόμενον. Μήποτε οὖν ἄμεινον ὁ Ἐτυμολόγος (σελ. 183) ἀποδέδωκε τὴν παραγωγὴν, « Ἀψίκορον παρὰ τὸ ΑΨ (ὃ σημαίνει τὸ εὐθέως) καὶ τὸ ΚΟ» ΡΟΣ, τὸ εὐθέως κόρον λαμβάνον, καὶ ταχέως πληρούμενον· καὶ » Ἀψιμαχία ἡ πρὸς ὀλίγον διαφορά». Μαρτυρεῖ δὲ τούτοις καὶ τὸ παρ' ἡμῖν Ἀψὰ ἐπίῤῥημα (Ἡλιοδώρ. Μέρ. Β. σελ. 96), ὃ παρ' Ὁμήρῳ μὲν (Ἰλιάδ. Α, 303) Αἶψα, λέγεται, παρὰ δὲ τῷ Ἐτυμολόγῳ, οὐκ οἶδ' ὅθεν εἰληφότι, Ἂψ, καὶ τὸ παρὰ τοῦτο σύνθετον, Ἀψίθυμος ἢ Ἀψόθυμος, ὁ ταχέως καὶ διὰ μικρὰς αἰτίας θυμούμενος.—στ. 19, Τοὺς τρέσαντας.] Τοὺς ἀποδειλιάσαντας, τοὺς φυγομαχήσαντας. Ἰδίως δὲ Λακεδαιμόνιοι οὕτως ἐκάλουν τοὺς καταδειλειάσαντας ἐν τῇ μάχῃ ὡς αὐτὸς ἀλλαχοῦ (Ἀγησιλ. § 30) ἐρεῖ Πλούταρχος. Ἔστι καὶ Τρέστης ὁ δειλὸς παρ' Ἡσυχίῳ. Λέγει δὲ καὶ ὁ Εὐστάθιος (εἰς τὴν Ἰλιάδ. Ξ ῥαψῳδ. σελ. 1000) ὅτι « Καί τις ἐν » Ἀθηναίοις ἐπὶ δειλίᾳ κωμῳδούμενος Τρεσᾶς ἐκαλεῖτο, καθὰ καί » τις ἕτερος, διάῤῥοιαν πάσχων γαστρὸς, Χεσᾶς ἐλέγετο»· ἐπεὶ καὶ παρέπεται τῇ σφοδρᾷ δειλίᾳ πολλάκις ἡ ἀθρόα τῆς κοιλίας ἐκτάραξις· ὅθεν καὶ τὸ ἀλλαχοῦ (Ἰσοκράτ. Μέρ. Β, σελ. 341) σημειωθὲν, Ἐχέσθη ἀπὸ τὸν φόβον του, τῆς παρ' ἡμῖν συνηθείας. Καὶ ἐξηγείσθω ἐν παρόδῳ τὸ μήπω ἐξηγηθὲν παρ' Ἡσυχίῳ, « Κίναρχος, ἄψυχος»· λέγει γὰρ ὁ Λεξικογράφος, ὡς καὶ ἡ παρ' ἡμῖν συνήθεια, Ἄψυχον τὸν δειλὸν, αὐτὸν δὲ τοῦτον καὶ Κίναρχον, τουτέστι τὸν οὐ ῥαδίως διὰ φόβον κινεῖται ὁ ἀρχὸς, ὅ ἐστιν ὁ πρωκτὸς, καὶ ὃν οἱ Ἰταλοὶ cacacciano καλοῦσι.—στ. 21, Ἐπανάγων.] ΠΡΔ, συνᾴδοντος καὶ τοῦ Α (ramenant) καὶ τοῦ Ἰταλοῦ μεταφραστοῦ (rinovando) ΑΤ, Ἐπαγαγών.—στ. 23, Σκυθρωπά.] ΔΓ, Χαλεπά.—στ. 26, Τῷ πορθμῷ.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 28, Ἐκζωπυρῆσαι.] Ἐκ ΔΓ (ἣν ἐπῄνεσαν καί τινες τῶν ΠΡ), ΑΤ, Ἐξεζωπύρησε.

ΣΕΛΙΔ. 308, στ. 15, Στρατιᾶς.] ΠΡΔ, ΑΤ Στρατείας.—στ. 18, Ἀποςάντων.] ΔΓ, Ἀποτραπέντων.—στ. 20, Τούτους.] Ἐξ ΗΔ, ΑΤ, Τούτοις.

ΣΕΛΙΔ. 309, στ. 15, Ὄντες.] Ἐξ ΕΔ, ΑΤ, Ὄντας.—στ. 18, Καὶ δή.] ΔΓ ἡ διόρθωσις, Καὶ ἤδη.—Ἔφησαν.] Ἐξ ΕΔ, ΑΤ, Ἦσαν.—στ. 21, Παραστρατοπεδεύσασθαι.] Οὐκ ἀπιθάνως ὑπετόπασέ τις τῶν ΠΡ γραπτέον εἶναι, Παραςρατοπεδεύσας. Ἀλλὰ τηνικαῦτα καὶ τὸν προηγούμενον ἴσως σύνδεσμον περιαιρετέον, ἵν' ᾖ ἡ συνάρτησις, Ἐπειδὴ ἠπεί-

γετο ὁ Κράσσος διαγωνίσασθαι, παραςρατοπεδεύσας τοῖς πολεμίοις, ὤρυττε τάφρον.

ΣΕΛΙΔ. 310, στ. 4, Οἱ γὰρ διαφυγόντες ἐμπεσόντες αὐτῷ διεφθάρησαν.]'Εξ ΗΔ, ΛΤ, Οἱ γὰρ διαπεσόντες αὐτῷ διεφθάρησαν· ὁ δὲ νοῦς, Οἱ διαφυγόντες τὸν Κράσσον, ἐμπεσόντες τῷ Πομπηΐῳ, διεφθάρησαν, ὥσπερ ἐξέφρασε καὶ ὁ Α, Pour ce que ceulx qui eschapperent de ceste derniere bataille, tumberent entre ses mains, et les acheva de desfaire, καὶ ὁ Ἰταλὸς μεταφραστὴς, Per essere stati interamente da esso distrutti que' che, scampati dalla battaglia, a incontrarsi vennero in lui. Οὕτω γὰρ αὐτὸς Πλούταρχος ἐν τῷ Πομπηΐου Βίῳ (§ 21) ἐρεῖ· « Πεντακισχί- » λιοι, ΦΕΥΓΟΝΤΕΣ ἐκ τῆς μάχης, ἘΝΈΠΕΣΩΝ ΕἸΣ ΑΥ̓ΤῸΝ, οὓς » ἅπαντας ΔΙΑΦΘΕΙ΄ΡΑΣ, ἔγραψε πρὸς τὴν σύγκλητον κ. τ. λ. ».— στ. 10, Οούαν δὲ καλούμενον . . . ἐν τῷ Μαρκέλλου βίῳ γέγραπται.] Ὄβαν ἀλλαχοῦ ὠνόμασε τὸν θρίαμβον Πλούταρχος. Ἔπιθι τὸν βίον Μαρκέλλου (§ 22, Πλουτάρχ. Μέρ. Β, σελ. 223) καὶ τὰ ἐκεῖ (σελ. 438) σημειωθέντα.—στ. 19, Ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης.] ΔΓ, 'Επὶ ταύτης τῆς φιλοφροσύνης.—στ. 24, 'Απὸ μυρίων τραπεζῶν.] Τυπογραφικὸν ἴσως ἁμάρτημα τὸ παρὰ τῷ Α, de mille tables, ἀντὶ τοῦ de dix mille tables.—στ. 27, Ὀνάτιος.] Γάϊον τοῦτον ἀλλαχοῦ (Πομπ. § 23) ὀνομάζει Πλούταρχος.—στ. 28, Προελθών.] ΔΓ, Προσελθών· καθὰ φέρεται καὶ ἐν τῷ Πομπηΐου βίῳ (§ 23).

ΣΕΛΙΔ. 311, στ. 9, 'Ατελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν . . . καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι τὸν πρᾳότατον.] Οἱ ΗΡ παρῄνουν ἢ τὸ, Ἔχοντι, τρέπειν εἰς τὸ, Ἔχων, ἢ τὰς λέξεις, Οὔτε γὰρ βουλῆς... ἐποιήσατο, διὰ μέσου ἀναγινώσκειν. Τοῦθ' ἡμεῖς προειλόμεθα, κατὰ χώραν ἐάσαντες τὸ Ἔχοντι. Ἀλλὰ τούτου μᾶλλον ἄπορον ἕτερόν ἐςι, τὸ, Πρᾳότατον. Εἰ γὰρ καὶ ἔςιν ἀμωσγέπως καὶ βουλῆς ἐξέτασιν, καὶ ἱππέων ἐπίσκεψιν, καὶ πολιτῶν ἀποτίμησιν, ἀνεπαχθῶς τοῖς πολίταις ἐπιτελέσαι, ἀλλ' οὐκ ἐπὶ τοσοῦτόν γε, ὥςε καὶ πρᾳότητος χρῄζειν τὴν τιμητείαν ὑπολαμβάνειν, ὅπερ ἐμφαίνει τοῦ χωρίου ἡ γραφὴ καὶ ἡ συνάρτησις. Τιμητοῦ γὰρ ἀρετὴ οὐ προηγουμένως τὸ πρᾷον, ἀλλὰ τὸ φιλοδίκαιον εἶναι, καὶ ἀγαπητὸν εἰ μὴ προσείη τοῦτο καὶ τὸ ἀκριβοδίκαιον. Σκοπητέον οὖν μήποτε ἀντὶ τοῦ Πρᾳότατον, γραπτέον, Πρακτικώτατον (τουτέςιν, ἐνεργότατον, ἐπιμελέστατον ἐν τῷ πράττειν, καὶ τὸν καιρὸν τῶν πραγμάτων ἥκιςα καθυφιέντα), ἀντιθέτως πρὸς τὸ, Ἄπρακτος, ἵν' ᾖ ἡ τοῦ λόγου συνάρτησις, « Ἡ δὲ τιμητεία παντάπασιν ἀτελὴς

» καὶ ἈΠΡΑΚΤΟΣ αὐτῷ διῆλθεν... καίτοι συνάρχοντα Ῥωμαίων ἔχοντι » τὸν ΠΡΑΚΤΙΚΩΤΑΤΟΝ. » Καὶ ταῦτα μὲν εἰκάζοντι μᾶλλον ἢ διαβεβαιουμένῳ λελέχθω μοι. Καὶ γὰρ εἴτις καὶ τὸ Πραότατον καλῶς ἔχειν ἰσχυρίζοιτο κατὰ τοιόνδε τινὰ νοῦν, Ἄπρακτος αὐτῷ διῆλθεν ἡ τιμητεία, καίτοι συνάρχοντα πραότατον, τουτέστιν ἥκιστα ταῖς πράξεσιν αὐτοῦ ἐναντιούμενον, ἔχοντι, οὐδ' ἐκεῖνος ἂν ἀπίθανα λέγειν δόξειε.—στ. 18, Καὶ προσῆλθεν ἄνθρωπος ὀνομάζων ἀπὸ τῆς συνωμοσίας.] Ἢ γραπτέον... ὀνομάζων αὐτὸν ἀπὸ τῆς συνωμοσίας, ἢ προσυπακουστέον τὴν ἀντωνυμίαν, ἀναφορικῶς πρὸς τὸν Κράσσον. Ὁ νοῦς, Καὶ προσῆλθέ τις τῶν συνωμοτῶν ὀνομάζων τὸν Κράσσον, τουτέστι λέγων εἶναι συνωμότην καὶ τὸν Κράσσον.—στ. 23, Ἐπιστολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, καὶ ζητουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν.] Ὅτι μὲν ἡμάρτηται τοῦ χωρίου ἡ γραφὴ ἐδήλωσε μὲν καί τις τῶν ΠΡ, παραινῶν γράφειν, «Ἐπιστολὴν κο» μίζοντα ΠΑΡᾺ τοῦ Κατιλίνα ΚΑΤΑΣΕΣΗΜΑΣΜΈΝΗΝ, ὡς ἤδη κ.τ.λ. δηλοῦσι δὲ καὶ οἱ μεταφρασταὶ βιαίως πάνυ μετατοπίσαντες τὴν θηλυκὴν μετοχὴν, καὶ οὕτως ἑρμηνεύσαντες, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Ἐπιστολὴν κομίζοντα περὶ τοῦ Κατιλίνα, ὡς ἤδη βεβαιοῦντα τὴν ζητουμένην συνωμοσίαν· ὅπως δὲ χρὴ διορθοῦν, οὐκ ἔχω λέγειν ἐν τῷ παρόντι.

ΣΕΛΙΔ. 312, στ. 6, Προσκείμενος ἀεὶ, καί.] ΔΓ, Προσκείμενος, καί· δίχα τοῦ ἐπιῤῥήματος.—στ. 11, Ἡ κατέλυσε.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΓ, Ἣ κατέλυσε.—στ. 14, Ὕπατος ἀπεδείχθη λαμπρῶς.] Ἐξ ΕΔ οἱ ΠΡ τὸ Λαμπρῶς, ΑΤ, Λαμπρός. Περὶ δὲ τῆς διαφορᾶς τοῦ ἐπιῤῥήματος καὶ τοῦ ὀνόματος τοῦδε, ἔπιθι τοῦ ἀλλαχοῦ (Πλουτάρχ. Μέρ. Β, σελ. 461) εἰρημένα.—στ. 21, Ὥστε μὴ μόνοις ἐλαττοῦσθαι τούτοις, προὔχοντα τοῖς ἄλλοις ἑαυτὸν, οὐκ ἀνῆκεν, οὐδ' ἐλώφησε κ. τ. λ.] Ἐξ ΠΔ, ΑΤ, Ὥστε μόνοις ἐλαττοῦσθαι προὔχοντα τοῖς ἄλλοις, ἑαυτὸν οὐκ ἀνῆκεν, οὔτ' ἐλώφησε. Συνᾴδει δὲ τῇ διορθώσει καὶ ὁ Α, ἐκφράσας, à fin que lui estant superieur en toutes autres choses, il NE lui fut inferieur en celle là SEULE. Ὁ γὰρ νοῦς, Ἐρασθεὶς καὶ ζηλώσας ὁ Κράσσος τὰ τρόπαια καὶ τοὺς θριάμβους τοῦ Καίσαρος, ἵνα μὴ, προέχων τοῖς ἄλλοις ἐκείνου, κατὰ μόνα ταῦτα (τὰ τρόπαια δηλονότι καὶ τοὺς θριάμβους) ἐλάττων ᾖ. Οἱ ΠΡ διορθοῦν παρῄνεσαν οὕτως, Ὡς τέως τούτοις δοκοῦντα μόνοις ἐλαττοῦσθαι, προὔχοντα τοῖς ἄλλοις αὐτὸν, οὐκ ἀνῆκεν, οὔτ' ἐλώφησε. Ὁ δὲ Ἰταλὸς μεταφραστὴς, ἑρμηνεύσας, Cosichè

veggendosi minore ad esso in QUESTI SOLI, et in tutto il resto maggiore, COMPORTAR NOL SEPPE, et non si quietò mai etc.' οὕτως ἔοικεν ἢ ἀναγνῶναι, ἢ αὐτὸς διορθῶσαι, Ὥςε ΜΌΝΟΙΣ ἐλαττοῦσθαι τούτοις, προὔχοντα τοῖς ἄλλοις ἑαυτὸν, ΟΥ̓Κ ἬΝΕΓΚΕΝ, οὐδ' ἐλώφησεν.—στ. 24, Λούκαν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Λουκίαν.—στ. 29, Ἐνταῦθα.] Εἰς ταῦτα, γράφειν τινὲς παρῄνεσαν, οὐκ ἀπιθάνως· καὶ γὰρ ἐν τοῖς πρόσθεν (σελ. 406) ὡσαύτως συνέχεαν οἱ ἀντιγραφεῖς τὸ, Ἐνταῦθα, μετὰ τοῦ, Εἰς ταῦτα.

ΣΕΛΙΔ. 313, στ. 11, Συμφέρει μετιέναι.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Μετιέναι συμφέρει.—στ. 12, Πεπαύσεσθαι.] Ἴσ. γρ. Παύσεσθαι.—στ. 20, Μονονοὺ βίᾳ προῆγεν.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Μονονοὺ προῆγεν.—στ. 27, Μετὰ τῶν ἄλλων.] Μετὰ τῶν φίλων, ἔοικεν ἀναγνῶναι ὁ Α. — στ. 30, Εἰς τὴν οἰκίαν.] Τὴν τοῦ Δομιτίου, ὡς ἐξεδέξατο ὁ Ἰταλὸς μεταφραςής. Ὁ δ' Α ἀορίςως, Εἰς οἰκίαν, ἢ Εἴς τιν' οἰκίαν, dedans une maison.

ΣΕΛΙΔ. 314, στ. 1, Τὸ οἴκημα.] Τὸ τοῦ Δομιτίου, κατὰ τὸν Ἰταλὸν μεταφραστὴν (l' abitazion di Domizio.) Ὁ δὲ Α ἔοικεν ἀναγνῶναι, ἢ ἀναγνωςέον εἶναι ὑπειληφέναι, Τὸ βῆμα, la tribune aux harengues.—στ. 3, Ἐπέδοσαν.] Ἐκ τοῦ Ἀππιανοῦ, ΑΤ, Ἀπέδοσαν. Ἐντεῦθεν γὰρ, ὡς καὶ οἱ ΠΡ ἐσημειώσαντο, μέχρι τέλους τοῦ βίου Κράσσου, τὰ αὐτὰ ταῖς αὐταῖς σχεδὸν λέξεσιν εὕρηται καὶ ἐν τῇ τοῦ Ἀππιανοῦ Παρθικῇ ἱστορίᾳ, οὐκ Ἀππιανοῦ σφετερισαμένου τὰ Πλουτάρχεια, ἀλλὰ τῶν ἀντιγραφέων ταῦτα κακῶς τοῖς Ἀππιανείοις ἐγκαταμιξάντων.—στ. 5, Ἔλαχε.] Ἀππιανὸς, Ἔλαβε.—στ. 7, Ἦν δ' οὐκ ἀκούσιος.] Ἀππ. Ἦν δὲ ἀσπάσιος.—στ. 13, Κενά.] Ἐκ τοῦ Ἀππ. οἱ ΠΡ, ΑΤ, Καινά.—στ. 20, Παρθικός.] Ἐκ τοῦ Ἀππ. οἱ ΠΡ, ΑΤ, Πάροικος.—στ. 21, Πρὸς τοῦτον.] ΠΡΔ, ΑΤ, Πρὸς τοῦτο.—Ἐπτόητο.] Ἐκ τοῦ Ἀππ. ΑΤ, Ἐπτόηται.—στ. 29, Ὁρώμενος πρὸ αὐτοῦ.] Ἐκ τοῦ Ἀππ. οἱ ΠΡ, ΑΤ, Ὁρμώμενος πρὸς αὐτούς.

ΣΕΛΙΔ. 315, στ. 1, Προϊοῦσιν.] Ἐξ ΕΔ οἱ ΠΡ, ΑΤ, Προσιοῦσιν.—στ. 3, Τῶν ἄλλων.] Ἐξ ΗΔ ἡ προσθήκη τοῦ ἄρθρου.—στ. 4, Ὑπηρέτης ἀνῆκε.] ΠΡΔ, ΑΤ, Ὑπηρέτης οὐκ ἀνῆκε. Παρὰ δὲ τῷ Ἀππιανῷ, Ὑπηρέτης ἀφῆκε.—στ. 29, Ἀπολλώνιός τις ἐτυράννει.] ΔΓ καὶ Ἀππ. Ἀπολλώνιος ἐτυράννει.—στ. 30, Διήρπασε τά.] Ἀππ. Διήρπασέ τε τά.

ΣΕΛΙΔ. 316. στ. 8, Δεξάμενος.] Μεταμέλει μοι πεισθέντι τοῖς

ΠΡ γράψασι Δ ε ξ ό μ ε ν ο ς, ΑΤ, Δεξάμενος.—στ. 11, Μέγιστον ἁμάρτημα τῶν γενομένων.] Ἐκ τοῦ Ἀππ. ΑΤ, Μεγίστων ἁμαρτημάτων γενομένων.—στ. 16, Γυμνασιῶν.] ΠΡΔ (παρὰ τὸ, Γ υ μ ν α σ ί α) ΑΤ, Γυμνασίων (παρὰ τὸ, Γυμνάσιον).—στ. 17, Ἱερᾷ πόλει.] Λέγεται καὶ συνθέτως, Ἱ ε ρ α π ό λ ε ι.—στ. 18, Θεοῦ.] Τῆς Ἥρας, περὶ ἧς διὰ μακρῶν ὁ Λουκιανὸς, ἐν τῷ ἐπιγραφομένῳ Π ε ρ ὶ τ ῆ ς Σ υ ρ ί η ς θ ε ο ῦ συντάγματι.

ΣΕΛΙΔ. 317, στ. 3, Τὸ μὲν Κράσσου.] Ἐκ ΔΓ καὶ τοῦ Ἀππ. ΑΤ, Τὸ Κράσσου.—στ. 4, Τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον.] ΔΓ, ἡ διόρθωσις, Τ ο ὺ ς ἄ ν δ ρ α ς τ ο ὺ ς ἐ κ ε ῖ φ ρ ο υ ρ ο υ μ έ ν ο υ ς μ ᾶ λ λ ο ν. Ἀππιανὸς δὲ, Τ ο ὺ ς ἄ ν δ ρ α ς ἐ μ φ ρ ο ύ ρ ο υ ς μ ᾶ λ λ ο ν.—στ. 8, Πρότερον.] Προσέθηκαν οἱ ΠΡ τὴν λέξιν ἐκ τοῦ Ἀππιανοῦ.—στ. 10, Ὑρώδην.] Παρὰ δὲ τῷ Ἀππ. Ὀ ρ ώ δ η ν, ὃ καὶ ἄμεινον.—στ. 12, Αὐτόπται μέν.] Προσέθηκαν τὸν σύνδεσμον οἱ ΠΡ ἐκ ΔΓ καὶ τοῦ Ἀππιανοῦ.—στ. 16, Καινά.] Παρὰ δὲ τῷ Ἀππ. Πτηνά.—στ. 18, Ὅπλα.] Ἐξ ΕΔ (οὐκ ἀναγκαίας ἴσως), ΑΤ, Ὅπλων.—Τὰ μέν... τὰ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα.] Ἀππ. Τὸ μὲν ... τὸ δὲ πρὸς μηδὲν ἐνδιδόναι πεποιημένον.—στ. 20, Ὑπέπιπτε.] Ἀππ. Ὑπήρειπε.

ΣΕΛΙΔ. 318, στ. 5, Ἔπειθε.] Ἐκ ΔΓ καὶ τοῦ Ἀππ. ΑΤ, Ἔπεισε. Τὸ μὲν γὰρ κατ' ἀόριστον, Ἔ π ε ι σ ε, ταὐτὸν ἐνθάδε γε δύναται τῷ, Ἐ π ο ί η σ ε· τὸ δὲ κατὰ παράτασιν Ἔ π ε ι θ ε, τῷ Π α ρ ῄ ν ε ι.—στ. 9, Τὴν μέν.] Ἐκ τοῦ Ἀππ. προσέθηκα τὸν σύνδεσμον.—στ. 10, Βοηθείας.] Ἀππ. Παρασκευῆς.—Οὐ μετρίως.] Ἐκ τοῦ Ἀππ. προσέθηκαν οἱ ΠΡ τὴν ἄρνησιν.—στ. 15, Πολλὰ δὲ καὶ ἤστραπτεν.] Ἀππ. Πολλὰ δὲ κατήστραπτεν.—στ. 21, Ἀπὸ ταυτομάτου.] Ἀππ. Ἀπ' αὐτομάτου.—στ. 22, Μετρουμένοις.] Τουτέστι, Μέτρῳ λαμβάνουσι.—στ. 23, Πρῶτα.] Ἀππ. Πρῶτον.—Καὶ ἅλας.] Ἀππ. Κ α ὶ μ ά ζ α ν.—στ. 24, Νέκυσιν.] Ἀππ. Ν ε κ υ ε ί ο ι ς.—στ. 29, Τέλος δὲ τόν.] Ἀππ. Τ ε λ έ σ α ς δ ὲ τ ό ν.

ΣΕΛΙΔ. 319, στ. 8, Ἀπὸ σκοπιᾶς ἐπανελθόντες.] Ἀππ. Ἀποσκοπήσαντες, ἐπανελθόντες.—στ. 11, Ἔτι μᾶλλον.] Λείπουσι παρὰ τῷ Ἀππιανῷ.—στ. 17, Παρέξειν.] Ἐκ τοῦ Ἀππ. ΑΤ, Παρασχεῖν.—στ. 19, Σχόντας.] Ἀππ. Ἔ χ ο ν τ α ς.—στ. 22, Ἀριάμνης.] Ἀππ. Ἄ κ β α ρ ο ς.—στ. 28, Παραπέμψας.] Ἄμεινον παρὰ τῷ Ἀππ. Π α ρ α τ ρ έ ψ α ς.—στ. 29, Ἠπείρων.] Ἄμεινον παρὰ τῷ Ἀππ. Υ π ω ρ ε ι ῶ ν.—στ. 30, Περιελαυνόμενον.] παρὰ τῷ Ἀππ. μετὰ συνδέσμου, Κ α ὶ π ε ρ ι ε λ α υ ν ό μ ε ν ο ν.

ΣΕΛΙΔ. 320, στ. 1, Συμφέρεσθαι.] ΔΓ, Προσφέρεσθαι.—Ὁ βάρβαρος.] Παρὰ δὲ Ἀππ, Ὁ Ἄκβαρος.—στ. 5, Δεῆσον.] ΠΡΔ. ΑΓ, Δεησόντων.—Οὐδὲ ποθῶν.] Ἀππ. Καὶ ποθῶν.—στ. 6, Τῶν χρημάτων καὶ σωμάτων εἰς.] Ἀππ. Τῶν χρημάτων ἐς.—στ. 7, Ἀναπτάσθαι.] Ἀππ. Ἀναπτέσθαι.—στ. 10, Ὑμῖν.] Ἐκ τοῦ Ἀππ. οἱ ΠΡ, ΑΤ, Ἡμῖν.—στ. 12, Ὑρώδης.] ΔΓ, Ἡρώδης. Ἀππ. Ὀρώδης.—στ. 13, Ἀρταουάσδην.] Ἀππ. Ἀρταβάζην.—στ. 15, Οὐ γὰρ ἦν ἂν τοῦ αὐτοῦ.] ΠΡΔ, ΑΤ, Οὐ γὰρ ἦν αὐτοῦ. Ἀππιανὸς δὲ, Οὐ γὰρ ἦν τοῦ αὐτοῦ.—στ. 16, Ἀρταουάσδῃ.] Ἀππ. Ἀρταβάζῃ.—στ. 17, Τὰς... χώρας.] Ἐξ ΗΔ, ΑΤ, Ταῖς... χώραις. Ἀππιανὸς δὲ, Τὰς... κώμας.—Πάνυ.] Ἀππ. Πάνυ μοι.—στ. 19, Μάχης.] Ἀππ. Ἄλλως.—στ. 22, Δεινότητι.] Ἀππ. Νεότητι.—Κατ' αὐτόν.] ΔΓ καὶ Ἀππ. Καθ' αὑτόν.—στ. 23, Ἔτι δέ.] ΔΓ, Ἐπὶ δέ.—Ὡς οὐδείς.] Ἀππ. Ὅσος οὐδείς.—στ. 28, Κατὰ γένος μὲν οὖν ἐξ.] Ἀππ. Καὶ κατὰ γένος μὲν ἐξ.—Ἐκέκτητο βασιλεῖ.] Γραπτέον, οἶμαι, ὡς παρήνεσέ τις τῶν ΠΡ, Ἐκέκτητο τὸ βασιλεῖ.—στ. 29, Γινομένῳ.] Ἐκ τοῦ Ἀππ. ΑΤ. Γενομένῳ.—Ὑρώδην.] Ἀππ. Ὀρώδην.

ΣΕΛΙΔ. 321, στ. 2, Τοὺς ἀντιστάντας.] Ἐκ ΔΓ οἱ ΠΡ, ΑΤ, Τοὺς ἀντιστάτας. Ἀππ. δὲ, Τοὺς τότε ἀντιστάντας.—στ. 6, Εὐχείρωτον.] Ἐκ τοῦ Ἀππ. ΑΤ, Εὐχειρώτατον.—στ. 7, Τότ' οὖν ὁ βάρβαρος.] Ἀππ. Τότε δ' οὖν ὁ Ἄκβαρος.—στ. 11, Δίψει.] ΔΓ, Δίψῃ. Ἀμφοτέρως γὰρ λέγεται, Δίψα καὶ Δίψος.—στ. 13, Παρεῖχεν.] Ἀππ. Παρέχειν.—στ. 14, Διαβλαστάνουσαν.] Ἀππ. Βλαστάνουσαν.—στ. 15, Θινῶν τινων ἐρήμων περιεχόντων.] Διαγραπτέον ἔδοξέ μοι εἶναι τὸ, Τινῶν. Παρὰ δὲ τῷ Ἀππιανῷ, Δεινῶν ἐρήμων περιεῖχε.—στ. 17, Ἐπεὶ δὲ καὶ παρ' Ἀρταουάσδου.] Ἀππ. Ἐπειδὴ δὲ καὶ ἀπὸ Ἀρταβάζου.—στ. 19, Ὑρώδου.] Ἀππ. Ὀρώδου.—στ. 21, Ὑρώδην. Ἀππ. Ὀρώδην.—στ. 26, Ἀρταουάσδῃ.] Ἀππ. Ἀρταβάζῃ.—στ. 30, Φαρμάκοις καὶ γοητείαις.] Ἀππ. Φαρμάκοις ἢ γοητείαις.

ΣΕΛΙΔ. 322, στ. 1, Βύθιον.] ΠΡΔ, ΑΤ, Βυθόν.—Ὁδὸν ὁδεύειν... προσήκουσαν.] Ἀππ. Ὁδεύειν ὁδοὺς... προσηκούσας.—στ. 4, Μικρὸν ἔτι καρτερῆσαι.] Ἀππ. Μικρὸν ἐπικαρτερῆσαι.—στ. 7, Σκιάς.] ΔΓ. Σκηνάς.—Δηλαδὴ καί.] Ἀππ. Δηλαδὴ συνεχῆ καί.—στ. 8, Τὴν Ἀράβων διεξιόντες καὶ Ἀσσυρίων μεθορίαν.] Ἀππ. Τὴν Ἀράβων καὶ Ἀσσυρίων μεθορίαν διεξιόντες.—στ. 9, Βάρβαρος.] Ἀππ. Ἄκβαρος.—στ. 14, Στρατηγοῖς.] Ἀππ. Στρα-

τηγόν.—στ. 21, Μαχουμένους.] ΠΡΔ, ΑΤ, Μαχομένους.—στ. 22, Πλήθει πολλῷ καὶ θάρσει.] Ἀπ. Πλήθει καὶ θάρσει πολλῷ.—Ἅπαντες μὲν οὖν ἐθορυβήθησαν.] Ἀπ. Τοῦτο πάντας μὲν ἐθορύβησεν.—στ. 23, Διὰ σπουδῆς.] Ὅ τε Α καὶ ὁ Ἰταλὸς μεταφραστὴς ἡρμήνευσαν αἰτιολογικῶς, Διὰ σπουδὴν, τουτέστι, διὰ τὸ σπουδάζειν. Ἔχει μέντοι ὀρθῶς τὸ Διὰ σπουδῆς, ἐπιῤῥηματικῶς ἐνταῦθα ὡς καὶ τὸ Σπουδῇ ἐκλαμβανόμενον. Ὁ νοῦς, Παρέταττε τοὺς στρατιώτας κατεσπευσμένως, οὐ πάνυ φρενήρης ὢν διὰ τὸν φόβον.—στ. 26, Πρὸς τὰς κυκλώσεις.] Διὰ τὸν φόβον τοῦ κυκλωθῆναι ὑπὸ τῶν ἐναντίων.—στ. 28, Ἐποίησε.] Ἀπ. Ἐποίει.—Εἰς δώδεκα σπείρας προερχομένης.] Ἐκ ΔΓ καὶ τοῦ Ἀπ. ΑΤ, Ἐν δώδεκα σπείραις περιερχομένης.

ΣΕΛΙΔ. 323, στ. 9, Πλῆθος.] Ἐκ ΔΓ καὶ τοῦ Ἀπ. οἱ ΠΡ, ΑΤ (ἐνάρθρου), Τὸ πλῆθος.—στ. 10, Κράσσος δὲ, τῷ παιδί.] Ἀπ. Κράσσῳ δὲ τῷ παιδί.—στ. 17, Κατέκρυπτε.] Ἐκ τοῦ Ἀπ. ΑΤ, Κατέκρυβε.—στ. 20, Ἐπίμπλατο.] Ἀπ. Ἐνεπίμπλατο.—στ. 22, Ἑαυτούς.] Λείπει παρὰ τῷ Ἀπ. ἡ λέξις.—στ. 23, Περιτείναντες ἠχείοις χαλκοῖς.] Ἀπ. Περιτείνοντες ἥλοις χαλκοῖς.—στ. 26, Ἀκοή.] Ἀπ. Ἡ ἀκοή.—στ. 27, Μάλιστα.] Ἀπ. Μάλιστα πάντων.—στ. 28. Διὰ τὸν ἦχον.] Ἀπ. Δέει διὰ τὸν ἦχον.

ΣΕΛΙΔ. 324, στ. 1, Πυριλαμπές.] Ἐξ ΕΔ, ΑΤ, Περιλαμπές.—στ. 2, Σκεπάσμασιν.] Ἐκ ΔΓ και τοῦ Ἀπ. ΑΤ. Ὑφάσμασιν.—Ὁ δὲ Σουρήνας...τῇ δὲ κατ᾽ ἀνδρείαν.] Ἀπ. Μέγιστος δὲ ὁ Σουρήνας καὶ κάλλιστος, αὐτὸς δὲ τῇ κατ᾽ ἀνδρειαν.—στ. 6, Ἐπι τὸ φοβερὸν τῶν ἀνασίλλων κομώντων.] Ἀπ. Ἐπὶ τὸ φοβερὸν τῶν ἐναντίων ἀνασιλλοκομώντων. Ἴσ. γρ. Ἐπὶ τὸ φοβερὸν ἀνασίλλῳ κομώντων, τουτέστιν Ἐπι τῷ φοβεῖν τοὺς ἐναντίους κομῶντων ἀνασίλλῳ. Ἔστι δὲ τὸ Ἀνάσιλλον (ἢ Ἀνάσιλον), ὡς ἐξηγεῖται ὁ Ἐτυμολόγος (σελ. 100) « τρίχωμα τὸ ἀπὸ μετώπου ἐπὶ τὴν κορυ» φὴν ἀνεστραμμένον»· ταὐτόν πως ᾧ καὶ οἱ ἀρχαῖοι Γαλάται εἰώθεσαν χρῆσθαι· κἀκεῖνοι γὰρ ἀπὸ τῶν μετώπων ἐπὶ τὴν κορυφὴν καὶ τοὺς τένοντας ἀνέσπων τὰς τρίχας, ὥστε τὴν πρόσοψιν αὐτῶν φαίνεσθαι Σατύροις καὶ Πασὶν ἐοικυῖαν, ὥς φησι Διόδωρος ὁ Σικελιώτης (Ε, § 28).—Καὶ πρῶτον μὲν διενοοῦντο.] Ἀπ. Πρῶτον μὲν οὖν διενοοῦντο.—στ. 9, Παρεστηκός.] Ἀπ. Συνεστηκός.—στ. 10, Ἐλάνθανον.] Ἀπ. Ἐλάμβανον.—στ. 13, Καὶ ταχὺ συμπαρέντες.] Οὕτως οἱ ΠΡ, ΑΤ, Ταχὺ καὶ συμπαρέντες. Περιττὸς μὲν-

